*M* (in app. Dion.) = Monacensis 310; p. XXI.
*L* (in app. Dion.) = Leidensis Vossianus 76; p. XXI.
*B* (in app. Dion.) = Barberinus I 4.
*E* (in app. Dion.) = Laurentianus LVI 16.
*T* (in app. Dion.) = Pii II 47 in biblioth. Alexandrino-Vatic.
*B* (in app. rhetor.) = Parisinus 1983.

## 2. Alia compendia.

Flor. = Hephaestionis editio princeps, Florentiae, per heredes Iuntae 1526; p. XII.
Turn. = Heph. enchir. ed. Adr. Turnebus. Paris. 1553; p. XXIV.

Pauw = Heph. enchir. ed. J. C. de Pauw. Traiect. ad Rh. 1726.
AV = Anecdota varia graeca et latina. ed. R. Schoell et Guil. Studemund. vol. I. Berol. 1886.
AP = Anecdota Graeca Parisiensia ed. Cramer. Oxon. 1837—41.
AO = Anecdota Graeca Oxoniensia ed. Cramer. Oxon. 1835—37.
GL = Grammatici Latini ed. H. Keil. Lips. 1857—74.
GG = Grammatici Graeci recogniti. Lips. (vol. III Scholia in Dionysii Thracis artem grammatic. ed. Hilgard 1901; vol. IV Theodosii canones, Georgii Choerobosci scholia. ed. Hilgard. 1894).
RhG = Rhetores Graeci ed. Walz.
Tract. Harl. = Tractatus Harleianus ed. Studemund. ind. lect. Vratisl. 1887/8.
Ar. Quint. = Aristides Quintilianus de musica. ed. Alb. Iahnius. Berol. 1882.
Choer. in Theod. vide: GG.
BA = M. Consbruch: de veterum περὶ ποιήματος doctrina; in Breslauer philol. Abhandlungen. vol. V 3. Vratisl. 1890.
Pr = M. Consbruch: Zur Überlieferung von Hephaest. ἐγχειρ. π. μ. Halis Saxon. 1901. Progr. gymnas.
Caes. = Iul. Caesar: emendationes Hephaestioneae, in indic. lect. Marburg. 1869 et 1869/70.
Den. = C. Denig: quaestiones Hephaestioneae. Bensheim 1886. Progr. gymnasii.
LdM = W. Hoerschelmann: Ein griechisches Lehrbuch der Metrik. Dorpat. 1888.
schol. vetera in Pindari carmina ed. Drachmann. vol. I Lips. 1903.
ad Eustathium conferendus Grossmann: de doctr. metr. reliquiis ab Eustathio servatis. D. i. Argentor. 1887.
ad scholia Homerica conferendus Rauscher: de scholiis Homericis ad rem metricam pertinentibus, in Dissert. philol. Argentor. vol. XI. Argentor. 1894.

Adscripsi in margine enchiridio et scholiis$^{A}$ paginas editionum Westphalianae (Scriptor. metr. gr. vol. I Lips. 1866) et alterius Gaisfordianae (Oxon. 1855), scholiis$^{B}$ Westphalianae et Hoerschelmannianae (schol. Heph. alt. Dorpati 1882), Choerobosco Westphalianae et Hoerschelmannianae (in: Anecd. Varia ed. R. Schoell et Studem. p. 33—88), Trichae editionis Westphalianae (l. c. p. 253—302).

# CONSPECTUS

eorum quae hoc volumine continentur.

# ΗΦΑΙΣΤΙΩΝΟΣ ΕΓΧΕΙΡΙΔΙΟΝ ΠΕΡΙ ΜΕΤΡΩΝ.

# ΗΦΑΙΣΤΙΩΝΟΣ
## ΕΓΧΕΙΡΙΔΙΟΝ ΠΕΡΙ ΜΕΤΡΩΝ.

### I.

### ⟨*Περὶ βραχείας.*⟩

*(1) Βραχεῖά ἐστι συλλαβὴ ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον μὴ ἐπὶ τέλους λέξεως, οὕτως ὡς μὴ εἶναι μεταξὺ τούτου τοῦ φωνήεντος καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ, ἀλλ' ἤτοι ἓν ἢ μηδὲ ἕν.*

### *Περὶ μακρᾶς.*

*(2) Μακρά ἐστι συλλαβὴ ἡ ἔχουσα μακρὸν φωνῆεν ἢ μηκυνόμενον ἢ μίαν τῶν καλουμένων διφθόγγων, οὕτως ὡς ἑξῆς εἶναι σύμφωνον ἤτοι τελικὸν αὐτῆς τῆς συλλαβῆς ἢ τῆς ἑξῆς ἀρκτικόν [οἷον θη̅ς θω̅ς κα̅ι να̅υ̅ς].*

5 sqq. ad syllabarum doctrinam cf. Dion. Hal. de comp. verb. c. 15 p. 57, 9; Dion. Thr. § 9. 8. 10 (cum scholiis); Sext. Empir. adv. math. I p. 626, 28 sqq. (Bekk.); M. Vict. GL VI 26—31. 34—40; Atil. Fort. VI 279; Ter. Maur. VI p. 364; Diomed. I 427—30; Charis. I 11—16; Dosith. VII 386, 9; Donat. IV 368, 18; Ar. Quint. 29, 10—31, 7. | 5—9 schol.[B] c. 2; schol. in Dion. Thr. GG III 349. 4—7. 510, 30—33. | 11—2, 1 schol. in Dion. Thr. 509, 19—22.

4 περὶ βραχείας scripsi, om. *ADI*; cf. proll. Long. 5 *A* in mg. ἔτι τῆς ὁρισμός: cf. proll. Long. | 6 τέλους *A* proll. Long. Choer., τέλει *DI* | 10 περὶ μακρᾶς *A*, om. *DI* 14 οἷον — ναῦς seclusi Pr. 30, desunt in schol. in Dion. Th. 509, 21; οἷον θῆς θῶς ναῦς καὶ *H* Gaisf.

*εἰ δὲ μή, οὐκ εἰσιν ἄντικρυς μακραί, ἀλλὰ κοιναί,* ὡς [ *ἑξῆς ῥηθήσεται.*

*(3) Θέσει μακραὶ γίνονται, ὅταν βραχέος ὄντος ἢ βραχυνομένου φωνήεντος σύμφωνα πίπτῃ μεταξὺ αὐτοῦ καὶ τοῦ τῆς ἑξῆς συλλαβῆς φωνήεντος πλείονα ἑνὸς ἁπλοῦ.* 4 *γίνεται δὲ τοῦτο κατὰ πέντε τρόπους.*

*ἤτοι γὰρ λήξει εἰς δύο σύμφωνα οἷον*

*Τίρυνς οὐδέ τι τεῖχος ἐπήρκεσε* (adesp.),

*καὶ κεῖνος ἐν σάλεσσι* ⟨*πολλοῖς*⟩ *ἥμενος μάκαρς*
*ἀνήρ* (Alcm. 10),

*καὶ Τιμοκρέοντος ἐκ τῶν ἐπιγραμμάτων* (9) [4]

*ᾧ ξυμβουλεύειν χὲρς ἄπο, νοῦς δὲ πάρα,*

*καὶ Ἐμπεδοκλῆς* (56)

*ἅλς ἐπάγη ῥιπῆσιν ἐωσμένος ἠελίοιο.*

*ἢ ἐν τῇ ἑξῆς ἐστι ταῦτα συλλαβῇ οἷον Ἕ-κτωρ [δ' ἐν κλισίῃσιν]. ἔνθα καὶ δεῖ παρατηρεῖν, μὴ τὸ μὲν πρότερον ἄφωνον ᾖ, τὸ δὲ δεύτερον ὑγρόν· αἱ γὰρ τοιαῦται κοιναί, ὡς ἑξῆς εἰρήσεται.* [5]

*ἢ λήγει μὲν εἰς ἕν, ἔχει δὲ καὶ τὴν ἑξῆς ἀρχομένην ἀπὸ ἑτέρου οἷον ἄλ-λος,*

3 cf. Quint. inst. or. IX 4, 84—86; Mar. Vict. VI 29, 27—30, 2; Mall. Theod. VI 587, 5—12; At. Fort. VI 279, 27. ‖ 8—14 schol. in Dion. Thr. GG III 206, 32 (*μάκαρς Τίρυνς ἅλς*). 346, 21 (*χέρς*); Choer. in Theod. can. GG IV 1 p. 17, 8.

3 *θέσει δὲ I* ‖ 4 sq. *καὶ τῆς ἑξῆς συλλαβῆς φωνήεντος A*, *καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ φωνήεντος DI*; cf. schol.[A] ‖ 5 post *ἁπλοῦ* add. *ἢ ἓν διπλοῦν H* Gaisf. ‖ 6 *κατὰ πέντε τρόπους DI*, *καὶ ἀεὶ ῥαιδίως A*; cf. Caesar i. l. I 5 ‖ 9 *κῆνος* Apoll. Dysc. GG I 59, 15 | *σάλεσσι D*, *σάλεσιν AI* | *πολλοῖς* add. Apoll. | *ἥμενος D* Apoll., *ἡμένος A*, *κείμενος I* | ante *καὶ* add. *καὶ* Turn., sed saepe exempla coniunctione non addita enumerantur ‖ 12 *ὦ DI*, om. *A* | *χέρσ' ADI* ‖ 14 *ἐπάγη* ex *ἐπάγει* corr.? *P*, *ἐπάγει ADI* ‖ 15 *ἐστι A*, *ὦσι DI* ‖ 15 sq. verba *δ' ἐν κλισίῃσιν*, quae non sunt apud Homerum (cf. *Ω* 413. 553. *Λ* 61), del. Hotchkis.

ἢ εἰς διπλοῦν λήγει οἷον ἔξ,
ἢ τὴν ἑξῆς ἔχει ἀπὸ διπλοῦ ἀρχομένην οἷον ἔξω.

## *Περὶ κοινῆς.*

5 *(4)* Κοινὴ γίνεται συλλαβὴ κατὰ τρόπους τρεῖς·

[6] ἤτοι ὅταν μακρῷ φωνήεντι ἢ μηκυνομένῳ ἢ διφθόγγῳ ἐπιφέρηται φωνῆεν οἷον

Ἄνδρα μοι ἔννεπε μοῦσα (α 1),
πλάγχθη ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον (α 2),
τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα (Δ 109).

ῥᾷον μὲν οὖν γίνεται ἡ τοιαύτη κοινή, εἴγε ἡ συλλαβὴ εἰς μέρος λόγου ᾖ πεπερατωμένη ὡς ἐν τοῖς προκειμένοις παραδείγμασι, σπανιώτερον δὲ ἐπὶ μέσης λέξεως· οὐ μὴν ἀλλ' ὅμως εὑρίσκεται καὶ μάλιστα ἐν τοῖς ἄλλοις

[7] μέτροις· ἐν μὲν ἰαμβικῷ Αἰσχύλος ἐν Νιόβῃ (155)

Ἴστρος τοιαύτας παρθένους [λοχεύεται].

[8] ἐν δὲ ἰωνικῷ τῷ ἀπὸ μείζονος Σωτάδου ἐξ Ἀδώνιδος τόδε

τίνα τῶν παλαιῶν ἱστοριῶν θέλετ' ἐσακοῦσαι·

ἐν δὲ ἀντισπαστικῷ Ἀνακρέοντος (1)

ἤ κου νῦν ἐπὶ Ληθαίου·

6 *(5)* ἐν δὲ τοῖς ἔπεσι σπανιώτερον, οὕτως ὥστε τὸ τοῦ

4 sqq. cf. Dion. Thr. § 10 p. 20, 4—22, 2; Ar. Quint. 30, 1 sqq.; Mar. Vict. VI 27, 10 sqq. ‖ 10—11 schol. in Dion. Thr. 350, 2—3 ῥᾷον μέντοι γίνεται ἡ τοιαύτη κοινή, ἐὰν εἰς μέρος λόγου ᾖ πεπερατωμένη ἡ μακρά. ‖ 15 Eustath. ad κ 495 p. 389, 42.

1 ε̅ξ̅ *I*, ἐξί (sic) *D* ‖ 2 ἔξω volg., sed cf. Dion. Thr. 19, 3 ‖ 3 περὶ κοινῆς *A*, περὶ κοινῆς συλλαβῆς *D*, om. *I* ‖ 5 διχρόνῳ μηκυνομένῳ *D* ‖ 8 ἔπερσεν add. *DI* ‖ 15 λοχεύεται del. Wilam. ἐξεύχεται τρέφειν ὅ θ' ἁγνὸς Φᾶσις Choer.[U], μνηστεύεται Eustath. ad κ 495 p. 389, 42 ‖ post 15 add. *CP* καὶ Σοφοκλῆς (Ai. 1118) 'οὐδ' ἂν τοιαύτην γλῶσσαν' καὶ μὴν καὶ Ἀριστοφάνης (Ran. 13) 'εἴπερ ποιήσω' ‖ 16 τῷ om. *DI* | τόδε om. *I* ‖ 17 ἐπακοῦσαι *D* Choer.[U] ‖ 19 ἵκου *DI* ‖ 20 τὸ] ἐπὶ *D*

Ἀρχελάου ὄνομα Σοφοκλῆς ἐν ταῖς ἐλεγείαις οὐκ ᾤετο ἐγχωρεῖν οὔτε εἰς ἔπος οὔτε εἰς ἐλεγεῖον· φησὶ γοῦν (1)

Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν·

καὶ Παρθένιος δὲ ἐπικήδειον εἰς Ἀρχελαΐδα γράφων ἐλεγειακὸν τὸν τελευταῖον μόνον στίχον ἀντὶ ἐλεγείου ἰαμβικὸν ἐποίησεν, ἐν ᾧ τὸ ὄνομα ἐρεῖν ἔμελλεν (2)

ἀμυσχρὸν οὔνομ' ἔσσετ' Ἀρχελαΐδος.

διὰ τοῦτο καὶ παρ' Ὁμήρῳ συστέλλομεν τὴν

Πηνελέοιο ἄνακτος (Ξ 489).

Ῥίνθων μὲν γὰρ καὶ ἐν ἰάμβῳ ἐπισημασίας ἠξίωσε τὸ τοιοῦτον· ἐν γὰρ Ὀρέστῃ δράματί φησιν (10)

ὅ σε Διόνυσος αὐτὸς ἐξώλη θείη

εἶτα

Ἱππώνακτος τὸ μέτρον· οὐδέν μοι μέλει.

(6) ὅμως μέντοι καὶ ἐν ἔπεσιν εὑρίσκεται, ὡς παρὰ Θεοκρίτῳ (11, 18).

ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα,

καὶ παρ' Ὁμήρῳ (Ν 275)

9 cf. Eustath. ad *Β* 494 p. 213, 25 ‖ 13 Choer. in Theod. IV 2 p. 79, 7 ‖ 17 schol. in Dion. Thr. 350, 5 ὡς 'παρὰ πόντον ὁρῶν ἄειδε τοιαῦτα'. σπανίως δὲ παρὰ τῷ ποιητῇ 'οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;' καὶ 'ἀνιπτόποδες χαμαιεῦναι' καὶ 'σύες χαμαιευνάδες ἑρχατόω το' (§ 15). καὶ ἴσως διὰ τὸ φαντασίαν τινὰ παρέχειν ἀπηρτίσθαι τὴν λέξιν ἐν τῷ

2 ἐλεγεῖον *DI*, ἐλέγειαν *A* | verba ἐγχωρεῖν οὔτε — ἐλεγεῖον ex poetae alicuius elegia adscita censuit Bergk, verba οὔτε — ἐλεγείαν Turn. exhibet quasi partem versus | ὁ Σοφοκλῆς add. *DI* ‖ 7 ἀμυσχρὸν suprascr. ἀμαυρὸν *D* | ουνομ' ἔρχετ' suprascr. εἶχετ' *D* ‖ 9 πηνελάοιο *I*, πηνελόποιο corr. in -λάοιο *D* ‖ 10 supra ἐπισημασίας scr. σημείω *D* ‖ 12 σε om. *DI* | θείης *AH* ‖ 13—14 εἶτα scripsi et a versu seclusi coll. Choer., εἶθ' *DI*, ἴθ' *A* Denig, εἶδ' *H*, εἰ δ' Wilam. | Ἱππόνακτος Wilam., Ἱπποάνακτος Denig, sed cf. Choer. in Theod. GG IV 2 p. 79, 7 sqq. = Herodian II 790, 10 sqq. ‖ post 14 add. *CP* καὶ Εὐριπίδης ἐν Ἑκάβῃ (1108) 'πάθη ταλαίνης ἐξαπαλλάξαι ζωῆς' ‖ 17 ὑψηλᾶς Choer., ὑψηλὰς codd. | εἰς *I* | ὁρῶν γὰρ *C*, ὁρῶν ἄρ' Denig.

7 *οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;*

*καὶ παρ' Ἀνακρέοντι ἐν ἐλεγείαις* (95)

*οὐδέ τί τοι πρὸς θυμόν, ὅμως γε μὲν ὡς ἀδοιάστως·*

*ἐπὶ μὲν γὰρ τῶν τοιούτων* (*Π* 235)

*σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι*

*καὶ* (*κ* 243)

*ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν*

*ἴσως διὰ τὸ φαντασίαν τινὰ παρέχειν τοῦ ἀπηρτίσθαι τὴν λέξιν ἐν τῷ χαμαι, ὡς μία ἡ χαμαὶ ἀκούεται. — Τῇ μέντοι γε $\overline{υι}$ διφθόγγῳ ἐὰν παρακολουθήσῃ τὸ τοιοῦτον, τελείως τραχὺς ὁ στίχος γίνεται οἷον*

*Ἕκτορ υἱὲ Πριάμοιο* (*Η* 47, *Λ* 200, *Ο* 244).

*(7) Δεύτερος δέ ἐστι τρόπος, ὅταν βραχεῖ ἢ βρα-*
[2] *νομένῳ φωνήεντι ἐπιφέρηται ἐν τῇ ἑξῆς συλλαβῇ σύμφωνα δύο, ὧν τὸ μὲν πρῶτον ἄφωνόν ἐστι, τὸ δὲ δεύτερον ὑγρόν, οἷον ὅ-πλον, ἄ-κρον,*

*Πάτροκλέ μοι δειλῇ* (*Τ* 287).

*ὅταν δὲ τὸ προηγούμενον ἡμίφωνον ᾖ, οὐκέτι κοινή ἐστιν ἡ προκειμένη, ἀλλὰ τελείως μακρά. — Προτάσσεται δὲ ἡμίφωνον ὑγροῦ τὸ μὲν $\overline{μ}$ τοῦ $\overline{ν}$ οἷον ἀμνός, τὸ δὲ $\overline{σ}$ τοῦ $\overline{μ}$ οἷον ἐσμὸς, καὶ τὸ $\overline{σ}$ τοῦ $\overline{λ}$ κατὰ πάθος ὡς ἐν τῷ μάσλης καὶ σπανίως τοῦ ν ὡς ἐν τῷ Πάσνης*

*χαμαί ἐχρήσατο τῇ τοιαύτῃ κοινῇ. ἐὰν δὲ ἐν τῇ $\overline{υι}$ διφθόγγῳ κοινὴ πέσῃ, τελέως τραχὺν ποιήσει τὸν στίχον . . . ὡς ἐν τῷ „Ἕκτορ υἱὲ Πριάμοιο"*. 17 Dion. Thr. p. 21, 3.

3 *μένω σ'* Bergk | 6 *χάμιν* add. *I* 6—7 *καὶ — χαμαιευνάδες* om. *D* | 9 *τῷ μαι* Hoersch. | 11 *ὁ στίχος τραχύς D* 12 *Ἕκτωρ* codd. *δαΐφρονος ποῖον ἔειπας* add. *I*; non est apud Homerum 13 *δὲ* om. *DI* *βραχυνομένῳ* suprascr. *διχρόνῳ D* 14 *ἐφεξῆς D* | 17 *τὸ* ante *Πάτροκλέ* add. *DI* *κεχαρισμένε* add. *I* | *δειλή A* 18 *τὸ* om. *I* *κοινή* om. *D* post *ᾖ* in *IM* rubro scripta *ζ ξ ψ. λ. μ. ν. ρ. σ.* | 19 *τελέως A* | 20 *οἷον*] *ὡς ἐν τῷ DI* 21 *ἱσμός* codd.

*καὶ Μάσνης, ἃ δὴ ὀνόματα παρὰ Ξάνθῳ εἰσὶν ἐν τοῖς Λυδιακοῖς. — (8) Ἤδη μέντοι ἡ διὰ τοῦ* $\overline{μν}$ *σύνταξις ἐποίησέ που καὶ βραχεῖαν, ὡς παρὰ Κρατίνῳ ἐν Πανόπταις* (154)

*ἀλλοτριογνώμοις ἐπιλήσμοσι μνημονικοῖσι*

*καὶ παρ' Ἐπιχάρμῳ ἐν Μεγαρίδι* (91)

*εὔμνος καὶ μουσικὰν ἔχουσα πᾶσαν φιλόλυρος*

† *ἠχὴ καὶ παρὰ Καλλιμάχῳ* (27)

*τὼς μὲν ὁ Μνησάρχειος ἔφη ξένος.*

*Ἐὰν μέντοι ἐν τῇ προτέρᾳ συλλαβῇ τελικὸν ᾖ τὸ ἄφωνον, τῆς δὲ δευτέρας ἀρκτικὸν τὸ ὑγρόν, οὐκέτι γίνεται κοινὴ συλλαβή, ἀλλὰ ἄντικρυς μακρά, ὡς παρὰ Ἀλκαίῳ* (95)

*ἔκ μ' ἐλάσας ἀλγέων.*

[*ἐκ ῥ' ἀσαμίνθου βάντες*]

*(9) φησὶ δὲ ὁ Ἡλιόδωρος τὸ* $\overline{μ}$ *ἐπιφερόμενον ἀφώνῳ ἧττον τῶν ἄλλων ὑγρῶν κοινὰς ποιεῖν ἐν τοῖς ἔπεσι* ⟨*τὰς*⟩ *συλλαβάς· ʽδιὰ τοῦτο καὶ Κρατῖνος ἐν τοῖς Χείρωσι πεποίηκε* (235)

*σκῆψιν μὲν Χείρωνες ἐλήλυμεν ὡς ὑποθήκας*

*ἀντὶ τοῦ ἐλήλυθμεν'· ὅπερ ἐξηλέγξαμεν ψεῦδος ὄν. πρὸς γὰρ τῷ μυρίαν εἶναι τὴν χρῆσιν παρὰ τοῖς ἄλλοις*

5 Choer. in Theod. GG IV 2 p. 78, 18; Herodian II 790, 19 || 9 Choer. in Theod. GG IV 2 p. 78, 17; Herod. II 790, 18, schol. in Dion. Thr. 350, 19—351, 1. Prisc. GL II 52, 11. 10, 17. 23, 12 | 16 Ar. Quint. 30, 19—31, 4

2 $\overline{μν}$] $\overline{νμ}$ *D* || 7 *μοισικὰν* Choer. | *ἔχουσα* *A* Choer., *ἔχοισα* *DI* | *φιλόλυρος* corr. ex *φιλόχορος* *D* | *ἤχή* (sic) *D*, *ἠχὴ* *I*, *ἠχῆι* *A*, *ἢ δὴ* ex. gr. tentavit Wilam., del. Arnaldus || 12 *ἀλλ'* *I* | 14 *ἐκ* *I* | *ἔλασας* Bergk || 15 del. Studem. ut ex scholiis desumptum; cf. ρ 90. ϑ 456. γ 468. ψ 163. ω 370; *καὶ παρ' Ὁμήρῳ* ante versum addid. Gaisf. || 18 *τὰς* add. Wilam. || 20 post *μὲν* add. *ὢ* *A* | *ὦς* *A* || 21 *ἐλήλυθμεν* *P*, *ἐληλύθαμεν* *ADI* | 22 *τῷ* *DI*, *τὸ* *A*

*ἐδείξαμεν ἔτι καὶ παρ' αὐτῷ τῷ Κρατίνῳ πολλάκις οὖσαν, ὡς ἐν Κλεοβουλίναις* (87)

*ἔστιν ἄκμων καὶ σφῦρα νεανίᾳ εὔτριχι πώλῳ*

*καὶ ἐν Πανόπταις* (153)

*κρανία διϭϭὰ φορεῖν, ὀφθαλμοὶ δ' οὐκ ἀριθματοί*

*καὶ ἐν Ὥραις* (260)

*οὐδὲ πρὸς εἶδος ἄρ' ἦν οὐδὲν προσιδόντι τεκμαρτόν·*

7] *ἄλλως τε καὶ τὸ ἐλήλυμεν ἐδείξαμεν καὶ ἐν ἄλλοις μέτροις συνήθως αὐτοῖς λεγόμενον, ὡς παρὰ Ἀχαιῷ ἐν Κύκνῳ* (24)

*Κύκνου δὲ πρῶτα πρὸς δόμους ἐλήλυμεν,*

*παρ' ᾧ καὶ τὸ δεύτερόν ἐστιν ἀκολούθως πρόσωπον* (43)

*τοιοῦδε φωτὸς πρὸς δόμους ἐλήλυτε.*

*(10) Τρίτος δέ ἐστι τρόπος, ὅταν βραχεῖα συλλαβὴ τελικὴ λέξεως ᾖ, μὴ ἐπιφερομένων τῶν τῆς μακρᾶς ποιητικῶν συμφώνων, ἀλλ' ἤτοι ἑνὸς ἢ μηδενός, ὡς ἐν τῷ*

*οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον* (Ξ 421),

*ἢ*

*αὐτὰρ ἐπεὶ Δαναῶν γένετο ἰαχή τε* (*M* 143 sq. = *O* 395 sq.),

15 schol. in Dion. Thr. 209, 23 (= 511, 14—17) *ὁ τρίτος τρόπος τῆς κοινῆς συλλαβῆς οὕτω γίνεται, ὅταν βραχεῖα συλλαβὴ τελικὴ λέξεως ᾖ μὴ ἐπιφερομένων ἐκείνων τῶν συμφώνων τῶν τὴν μακρὰν ποιούντων, ἀλλ' ἤτοι ἑνὸς ἢ μηδενός . . . ὡς ἐν τῷ ‚οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον' καὶ ‚ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε' καὶ ‚ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα' καὶ ἐν τῷ ‚καὶ μέν οἱ Λύκιοι τέμενος τάμον'.*

2 *κλεοβουλῖνες* (sic) *I* ‖ 4 *καὶ*] *καὶ πάλιν I* ‖ 5 *κρανία* Kock, *κράνια* codd. | *ἀριθμητοί* Kock | 6 *καὶ*] *καὶ πάλιν I* ‖ 9 *αὐτοῖς*] *Ἀττικοῖς* Bergk (*M Rh* 1842 p. 377), cf. schol.[A] ‖ 11 *δρόμους D* ‖ 14 *δρόμους D* ‖ 15 post *τρόπος* add. *κοινῆς συλλαβῆς I* ‖ 19 *υἷες ἀχαιῶν* add. *I* ‖ 20 *ἢ* om. *I* ‖ 21 *θροός τε* add. *I*, sed ap. Hom. *φόβος τε*

*Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης* (Ξ 1),
*ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται* (ι 109),
*καὶ μέν οἱ Λύκιοι τέμενος τάμον* (Ζ 194).

*ἐνταῦθα καὶ εἰς μέρος λόγου ἡ κοινὴ ἔληξεν καὶ τοῦ* [1 *ποδὸς τελευταία ἐστίν· αἱ γὰρ ἄλλαι κοιναὶ ἃς εἶπον ἀρκτικαὶ ποδὸς ἦσαν, αὕτη δὲ καὶ τοῦ ποδὸς ληκτική* [*και μεν*].

## II.

### *Περὶ συνεκφωνήσεως.*

*(1) Συνεκφώνησίς ἐστιν, ὁπόταν δύο συλλαβαὶ σύμφωνον μὴ ἔχουσαι μεταξὺ ἀλλήλων ἀντὶ μιᾶς παραληφθῶσι.*

*(2) Τρόποι δέ εἰσι τῆς συνεκφωνήσεως οἵδε·* [1 *ἢ γὰρ δύο μακραὶ εἰς μίαν μακρὰν παραλαμβάνονται οἷον*

*ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας* (*Ε* 349)

*καὶ*

*βουκόλ' ἐπεὶ οὔτε κακῷ* (υ 227)·

*ἢ βραχεία καὶ μακρὰ εἰς μίαν μακρὰν*

1 cf. Diomed. I 429, 27. ‖ 10 ad. cap. II cf. schol. in Dion. Thrac. 210, 14—211, 2, schol.[B] c. 16. 17. Eustath. ad A 1 p. 11, 26—45. 10, 40 sqq. Ar. Quint. 33, 1—6. Mar. Vict. VI 66, 18; ex graecis commentariolis e. g. AV I 240. 244. An. Ambr. ibid. 213 sqq. ‖ 12—14 schol. in Dion. Thrac. 352, 11—12 ‖ 18 cf. A V I 177, 20. 184, 9. schol.[B] 21, 19.

5 *ἔξοχα πάντων* add. *I*, sed ap. Hom. *ἔξοχον ἄλλων* ‖ 6 *καὶ* . . . 7 *ἐστίν*] *καὶ εἰς πόδα*. Studem. ‖ 7 *ἐστίν* scripsi, *ἔληξεν* codd., *ἦν* Wilam. ‖ 9 *και μεν* delevi (cf. schol.[A] *εἰς τὸ μεν*) ‖ 17 *οἷον AD*, *ὡς τὸ I* ‖ 18 *ἢ A* | *ὑπεροπεύεις* add. *I*, *ἠπεροπεύεις* Hom. ‖ 20 *οὔτ' ἄφρονι φωτὶ ἔοικας* add. *I* ‖ 21 post *μακρὰν* add. *I* ,*ἐπειδὴ νῆας τε καὶ Ἑλλήσποντον ἵκοντο*' *καὶ πάλιν*

πλέων ἐπὶ οἴνοπα πόντον (α 183)·
ἢ δύο βραχεῖαι εἰς μίαν μακρὰν (ι 283)
νέα μέν μοι κατέαξε Ποσειδάων [ἐνὶ πόντῳ]·
⟨ἢ μακρὰ καὶ βραχεῖα εἰς μίαν μακρὰν (Β 544)
θώρηκας ῥήξειν δηίων ἀμφὶ στήθεσσιν·⟩
(3) ἢ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν, ὅπερ ἐν τοῖς ἄλλοις εὑρίσκεται μέτροις, ὡς παρὰ Σωτάδῃ ἐν τῇ Ἰλιάδι
σείων μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον,
ἐν δὲ τοῖς ἔπεσι σπανίως· ὥστε Κριτίας ἐν τῇ εἰς Ἀλκιβιάδην ἐλεγείᾳ οὐκ ᾤετο ἐγχωρεῖν τοῦ Ἀλκιβιάδου τὸ ὄνομα· φησὶ γὰρ (3)
καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ·
νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.
Ἔστι μέντοι καὶ ἐν ἔπει, ὡς παρὰ Κορίννῃ ἐν τῷ πέμπτῳ (9)
ἢ διανεκῶς εὕδῃς; οὐ μὰν πάρος ἦσθα Κόριννα,
καὶ παρὰ Πραξίλλῃ ἐν διθυράμβοις ἐν ᾠδῇ ἐπιγραφομένῃ Ἀχιλεὺς (1)
ἀλλὰ τεὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

5 schol.[B] 23, 3. A V I 213, 26 || 8 Demetr. de eloc. p. 41, 20 || 21 schol.[B] 21, 26

1 fort. coll. schol. in Dion. Thrac. addendum καὶ ,ὑμῖν μὲν θεοὶ δοῖεν' (Pr. 43) || 2 verba μακρὰν ν. μ. μ. κ. Π. ἐ. π. ἢ (6) δ. β. ἐ. μ. in *A* in mg, om. *CP*, in textu in *DI* || 3 νέα — πόντω post 8, 21 μακρὰν *HN* | μέν μοι] μέντοι *D* | ἐνὶ πόντῳ del. Wilam., ἐνοσίχθων Homerus || 4—5 om. codd., addidi (Pr. 42) coll. Choer. et schol. in Dion. Thr. 210, 21 || 9 ὥστε Denig, ὥσπερ codd. || 12 ἀθηναῖον (sic) *A*, ἀθηναίον *I*, ἀθηναῖον στεφανώσω om. *D* || 14 ἐλεγείω τοὔνομα ἐφαρμόζειν *D* || 16 ἐν ἔπεσιν *P*, Caesar | ἐν πέμπτῃ Choer. || 18 εὕδῃς *A*, εὕδεις *DIH* | ἦσθα Κόριννα om. *D* || 20 ἀχιλεὺς *A*, ἀχιλλεὺς *DI*

*(4) Τὰ μὲν γὰρ τοιαῦτα* [2

*ὦκα ἑκατόγχειρον καλέσασ᾽* (*Α* 402)

*καὶ*

*θῖνα ἐφ᾽ ἁλὸς πολιῆς* (*Α* 350. *Ν* 682. *Ξ* 31)

*οὐ μᾶλλον συνεκφώνησιν ἔχει ἢ συναλοιφήν.*

*(5) Ἔστι δὲ ὅπου καὶ βραχεῖα καὶ κοινὴ ἀντὶ βραχείας παραλαμβάνονται ὡς ἐν τῷ*

*δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι* (*Γ* 152) 11

*καὶ*

*χρυσέῳ ἀνὰ σκήπτρῳ* (*Α* 15. 374).

## III.

## *Περὶ ποδῶν.*

*(1) Ἐκ τῶν συλλαβῶν εἰσιν οἱ πόδες· ὧν δισύλλαβοι μὲν τέσσαρες·*

*δίχρονος εἷς, ἐκ δύο βραχειῶν, [ὁ] πυρρίχιος.* [3

*τρίχρονοι δὲ δύο·*

*ἐκ μακρᾶς καὶ βραχείας, τροχαῖος·*

*ἐκ βραχείας καὶ μακρᾶς, ἴαμβος.*

8 schol.[B] 22, 2 | 8 et 10 AV I 178, 31 sq. 213, 12. 14 || 11 ad cap. III cf. schol.[B] c. 20. Dion. Hal. de comp. verb. c. 17; Quint. IX 4, 79. Mar. Plot. VI 497. Diom. I 474. Mar. Vict. VI 44, 10. At. Fort. VI 280, 9. Ter. Maur. VI 366 v. 1359. Iul. Sever. VI 641. A V I 99. 222. 232. — Is. Tzetz. A P I 68

2 *ὦκα* Wilam., *ὦχ᾽ DIH*, *ὡς A* | *ἐς μακρὸν* add. *D*, *εἰς μακρὸν ὄλυμπον* add. *I* || 4 *θῖνα*] *θῖν᾽* codd. | *I* add. *ὁρόων ἐπὶ οἴνοπα πόντον*; ap. Hom. *A* 350 *ὁράων ἐπ᾽ ἀπείρονα πόντον* || 5 *συναλιφήν A* || 6 *καὶ* (prius) om. *I* || 7 *παραλαμβάνεται DIH* || 8 *ἱεῖσι D*, *ἱεῖσσι A* || 10 *I* add. *καὶ ἐλίσσετο πάντας ἀχαιούς* = *A* 15 || 13 *συλλαβῶν* ab *A*[1] corr. ex *ποδῶν* || 15 *δίχρονος δὲ A*, *δίχρονος μὲν DI* | *ὁ* delevi | schemata syllabarum in *ADI* nulla | 17 *ἐκ μὲν μακρᾶς D* | ante *τροχαῖος* add. *ὁ DI* || 18 *ἐκ δὲ D* | *ὁ ἴαμβος DI*

*τετράχρονος δὲ εἷς, ἐκ δύο μακρῶν, σπονδεῖος.*
(2) *Τρισύλλαβοι δὲ οἱ τούτων διπλασίονες ὀκτώ·*
*τρίχρονος εἷς, ἐκ τριῶν βραχειῶν, τρίβραχυς ὁ*
*καὶ χορεῖος.*
*τετράχρονοι δὲ τρεῖς·*
*ἐκ μακρᾶς καὶ δύο βραχειῶν, δάκτυλος·*
*ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, ἀμφί-*
*βραχυς·*
*ἐκ δύο βραχειῶν καὶ μακρᾶς, ἀνάπαιστος.*
*πεντάχρονοι δὲ οἱ ἴσοι τούτοις τρεῖς·*
*ἐκ βραχείας καὶ δύο μακρῶν, βακχεῖος·*
*ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ἀμφίμακρος*
*ἢ κρητικός·*
.3 *ἐκ δύο μακρῶν καὶ βραχείας, παλιμβάκχειος.*
*ἑξάχρονος δὲ εἷς, ἐκ τριῶν μακρῶν, μολοττός.*
(3) *Τετρασύλλαβοι δὲ οἱ τούτων διπλασίονες ις′, ὧν*
*τετράχρονος εἷς, ἐκ τεσσάρων βραχειῶν, προκε-*
*λευματικός·*
*πεντάχρονοι δὲ τέσσαρες·*
*ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν, παιὼν πρῶτος·*
*ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν,*
*παιὼν δεύτερος·*
*ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας,*
*παιὼν τρίτος·*
*ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, παιὼν τέταρτος.*
*ἑξάχρονοι δὲ ἕξ·*
*ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, Ἰωνικὸς ἀπ᾽*
*ἐλάττονος·*

1 *ὁ σπονδεῖος DI* ‖ 2 *οἱ* om. *I* ‖ 3 *τρίχρονος εἷς* Flor. Is. Tzetz. A P I 68, 12; in codd. *εἷς* post *τρίβραχυς* ‖ 10 *οἱ* om. *I* ‖ 17 *προκελευματικὸς A* (semper), *προκελευσματικὸς* rell. ‖ 20 *παιών I*, *παίων* (semper) *AD* Tzetz. A P I 68, 32 sqq.

*ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, ἀντίσπαστος·*

*ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, Ἰωνικὸς ἀπὸ μείζονος·*

*ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, τροχαϊκὴ ταυτοποδία ἢ διτρόχαιος·*

*ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ἰαμβικὴ ταυτοποδία ἢ διΐαμβος·*

*ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς, χορίαμβος.*

*ἑπτάχρονοι δὲ τέσσαρες·* 14

*ἐκ βραχείας καὶ τριῶν μακρῶν, πρῶτος ἐπίτριτος·*

*ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν, δεύτερος ἐπίτριτος ἢ καὶ τροχαϊκὴ ἑπτάσημος, ὁ καὶ Καρικός·*

*ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς, τρίτος ἐπίτριτος ἢ ἰαμβικὴ ἑπτάσημος, ὁ καὶ Ῥόδιος·*

*ἐκ τριῶν μακρῶν καὶ βραχείας, τέταρτος ἐπίτριτος ἢ ἀντισπαστικὴ ἑπτάσημος, ὁ καὶ μονογενής.*

*ὀκτάχρονος δὲ* ⟨*εἷς*⟩, *ἐκ τεσσάρων μακρῶν, σπονδειακὴ ταυτοποδία ἢ δισπόνδειος.* [

21 *μονογενής* Choer. 62, 20. An. Ambr. AVI 229, 27.

3 et 1 inter se mutantur in *D*; cf. de ordine pedum Hoersch. LdM 37 ‖ 6 *διτροχαῖος A* ‖ 12 *μακρῶν τριῶν I* ‖ 14 *καὶ* del. Pauw ‖ 16 *ἢ* om. *A* ‖ 22 *εἷς* add. Studem. | *σπονδιακὴ A* ‖ 23 *ἢ δισπόνδειος I* (Is. Tzetz. API 69, 26), om. *AD* ‖ 22—23 *ὀκτάχρονος—δισπόνδειος* om. *H*

## IV.

### *Περὶ ἀποθέσεως μέτρων.*

*(1) Ἀκατάληκτα καλεῖται μέτρα, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει, οἷον [ὡς] ἐπὶ δακτυλικοῦ* (Alcm. 45)

*Μῶσ' ἄγε Καλλιόπα θύγατερ Διός,*

17] *(2) καταληκτικὰ δέ, ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα, οἷον ἐπὶ ἰαμβικοῦ* (Sapph. 103)

*χαίροισα νύμφα, χαιρέτω δ' ὁ γαμβρός·*

*ἐνταῦθα γὰρ ἡ βρος τελευταία συλλαβὴ ἀντὶ ὅλου ποδὸς ἰαμβικοῦ κεῖται.* [15 *Ἐὰν δὲ τρισύλλαβος ᾖ ὁ ποὺς ὁ τὸ μέτρον συνιστάς, δύναται καὶ παρὰ δύο συλλαβὰς εἶναι τὸ καταληκτικόν, οἷον ἐπὶ δακτυλικοῦ* (Archil. 104)

*ἐν δὲ Βατουσιάδης·*

*ἐνταῦθα γὰρ ἡ δης συλλαβὴ ἀντὶ τρισυλλάβου κεῖται [δακτυλικοῦ]. Ἐπὶ δὲ τῶν τοιούτων τὸ μὲν παρὰ συλλαβὴν καλεῖται καταληκτικὸν εἰς δισύλλαβον, τὸ δὲ παρὰ δύο συλλαβὰς καταληκτικὸν εἰς συλλαβήν.*

*(3) Βραχυκατάληκτα δὲ καλεῖται, ὅσα ἀπὸ διποδίας ἐπὶ τέλους ὅλῳ ποδὶ μεμείωται, οἷον ἐπὶ ἰαμβικοῦ* (fr. lyr. adesp. 45)

1 ad cap. IV cf. An. Chis. p. 20, 23. At. Fort. VI 281, 10. Mar. Vict. VI 60, 26. Diom. I 502, 6 | 3—4 schol. in Hermog. RhG VII 936, 5 VI 169, 1—2 | 5 idem versus p. 22, 14 | 6—7 schol. in Hermog. RhG VII 936, 2 VI 169, 5—6, | 13 idem versus 22, 4 et 71, 8

2 haec usque ad 14, 14 secl. Denig | 4 *οἷον* N Choer.[c] et excerpt. Paris. (cod. Paris. 2881), *οἷον ὡς* codd. rell. | 5 *μῶσαγε* (sic) *AD*, *μῶσαγε I* | 8 *χαίροισα* Turn., *χαίροις ὦ* codd. cf. Theocr. 18, 49 | 9 *ἀντὶ ὅλου H*, *ἀντὶ τοῦ ὅλου ADI* | 12 *καταληκτὸν D* | 13 *βατουσιάδης D* | 15 *δακτυλικοῦ* del. Gaisf.: *ἀντὶ δακτύλου κεῖται τρισυλλάβου* exc. Paris. | 17 *συλλαβὰς καλεῖ D*, exc. Par. *καταληκτὸν D*

*ἄγ᾽ αὖτ᾽ ἐς ᾽οἶκον τὸν Κλεησίππω·*

*ἐνταῦθα γὰρ ὁ σιππω ποὺς ἀντὶ ὅλης ἰαμβικῆς κεῖται διποδίας.*

*(4) Ὑπερκατάληκτα δὲ ὅσα πρὸς τῷ τελείῳ προσέλαβε μέρος ποδός, οἷον ἐπὶ ἰαμβικοῦ* (fr. lyr. adesp. 46)

*εἶμ᾽ ὦτε πυσσάκω λυθεῖσα·*

*τοῦτο μὲν οὖν συλλαβῇ [πλείονι] περιττεύει· δύναται* [9 *δὲ καὶ δισυλλάβῳ περιττεύειν, ὁπόταν ἑκάτερος τῶν ἐν τῇ συζυγίᾳ ποδῶν τρισύλλαβος ᾖ, οἷον ἐπ᾽ ἀναπαιστικοῦ* (Telesilla 1)

*ἅδ᾽ Ἄρτεμις, ὦ κόραι·*

*τοῦτο γὰρ πρὸς τῇ ὁλοκλήρῳ συζυγίᾳ δισύλλαβον ἔχει [τὸν τελευταῖον], ὅπερ ἀναπαίστου μιᾷ ἐνδεῖ συλλαβῇ.*

*Καλοῦνται δὲ ταῦτα πάντα ἀποθέσεις. —*

*(5) Παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλ-* 10 *λαβή, ὥστε δύνασθαι εἶναι αὐτὴν καὶ βραχεῖαν καὶ μακράν, οἷον* (*B* 1)

*ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ*
*εὗδον παννύχιοι· Δία δ᾽ οὐκ ἔχε νήδυμος ὕπνος·*

*ἐν μὲν γὰρ τῷ προτέρῳ μακρά ἐστιν ἡ τελευταία συλλαβή, ἐν δὲ τῷ δευτέρῳ βραχεῖα.*

*(6) Πᾶν μέτρον εἰς τελείαν περατοῦται λέξιν· ὅθεν*

11 idem versus p. 35, 10 exemplum est ionici a maiore || 15 Ar. Quint. 31, 4 || 22—p. 15, 8 Eustath. ad Ξ 265 p. 223, 29 sqq. Mar. Vict. VI 56, 2

1 *κλεησίππω A*, *κλεησίππω I*, *καλεησίππω D*, *καλησίππω* exc. Par. || 2 *ὁ*] *ἡ DI* || 6 *ὦτε πυσσάκω* Wilam., *ὦ ταπυσσάκωλυθεῖσα A*, *ὦτ᾽ ἀπυσσάλω λυεῖσα I*, *ὥστ᾽ ἀπισσάλω λυεῖσα D*, *ὥστ᾽ ἀπὸ πυσσάλω λυεῖσα H* || 7 *πλείονι* delevi, deest ap. Choer. 66, 5 *δὲ καὶ* Wilam., *μὲν οὖν ADI*, *μὲν οὖν καὶ H* || 11 *ἅδε AD*, *ἃ δὲ I* | *κόρα D* || 12 *ἔχει* scripsi, *ἔσχε* codd. || 13 *τὸν τελευταῖον* delevi ut ex scholiis illapsum (cf. schol.[A]), *τὸ τελευταῖον* exc. Par. || 15 *ἄλλο κεφάλαιον* in schol. *A*, in textu *DI* || 16 *τὴν αὐτὴν D* || 19 *ἔσχε D* || 22 *περαιοῦται* Eustath.

9] *ἐπίληπτά ἐστι τὰ τοιαῦτα Σιμωνίδου ἐκ τῶν ἐπιγραμμάτων* (131)

*ἦ μέγ' Ἀθηναίοισι φόως γένετ', ἡνίκ' Ἀριστογείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος,*

*καὶ πάλιν Νικομάχου τοῦ τὴν περὶ τῶν ζωγράφων ἐλεγείαν πεποιηκότος* (PLGII⁴ p. 316)

*οὗτος δή σοι ὁ κλεινὸς ἀν' Ἑλλάδα πᾶσαν Ἀπολλόδωρος· γινώσκεις τοὔνομα τοῦτο κλύων·*

*ταῦτα μὲν οὖν ἐγένετο διὰ τὴν τῶν ὀνομάτων ἀνάγκην — οὐ γὰρ ἐνεχώρει —, ἔνια δὲ καὶ παίζουσιν οἱ κωμικοί, ὡς Εὔπολις Βάπταις* (73)

*ἀλλ' οὐχὶ δυνατόν ἐστιν· οὐ γὰρ ἀλλὰ προβούλευμα βαστάζουσι τῆς πόλεως μέγα.*

17

## V.

10] *Περὶ ἰαμβικοῦ.*

*(1) Τὸ ἰαμβικὸν δέχεται κατὰ μὲν τὰς περισσὰς χώρας [τουτέστι πρώτην, τρίτην, πέμπτην] ἴαμβον,*
11] *τρίβραχυν, καὶ σπονδεῖον, δάκτυλον, ἀνάπαιστον, κατὰ δὲ τὰς ἀρτίους [τουτέστι δευτέραν, τετάρτην, ἕκτην] ἴαμβον καὶ τρίβραχυν καὶ ἀνάπαιστον· τοῦτον δὲ παρὰ*

15 ad c. V cf. schol.^B c. 7. 12 ‖ 17—21 schol. in Hermog. Rh G VII 934, 3—8 (= Io. Sic. VI 164, 11—16); G L VI 562, 11 (Iuba)

1 *εἰσι* D ‖ 3 *γένεθ' ἡνίκ* D ‖ 4 *κτεῖναι* (ε supra) I ‖ 12 *ἀλλὰ* Bentley, *ἄλλο* codd. ‖ 16 *περὶ τοῦ ἰαμβικοῦ* H, *περὶ τοῦ ἰαμβικοῦ μέτρου* I, *περὶ ἰαμβικῶν* D ‖ 17 *περιττὰς* DI, *πρώτας* A ‖ 18 *τρίτην καὶ* DI; glossemata in 18 et 20 delevi (Pr. 30) ‖ 19 *καὶ* Choer., *ἢ* A, om. DI | post *δάκτυλον* add. *καὶ* D ‖ 20 *τετάρτην καὶ* DI ‖ 21 *δὲ*] *δὲ τὸν ἀνάπαιστον* DI | *παρὰ μὲν* D Choer.^K

*τοῖς κωμικοῖς συνεχῶς, παρὰ δὲ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς σπανιώτερον. Ὅτε μὲν οὖν ἀκατάληκτόν ἐστιν, ἐπὶ τῆς τελευταίας τὸν ἴαμβον δέχεται μόνον ἢ πυρρίχιον διὰ τὴν ἀδιάφορον, ὅταν δὲ καταληκτικόν, τὸν ἴαμβον παραλήγοντα — ἢ σπανίως τρίβραχυν —, ὥστε γίνεσθαι τὴν κατάκλειδα ἤτοι ἀμφίβραχυν ἢ βακχεῖον.*

*(2) Ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ ἀκατάληκτα μὲν δίμετρα, οἷον τὰ Ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται* (89)

*ἐρῶ τε δηὖτε κοὐκ ἐρῶ*
*καὶ μαίνομαι κοὐ μαίνομαι·*

*τρίμετρα δὲ* (Anacr. 84)

*ἔστε ξένοισι μειλίχοις ἐοικότες*

*τετράμετρον δὲ οἷον τὸ Ἀλκαίου* (56)

*δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι.*

*(3) Καταληκτικὸν δὲ δίμετρον τὸ καλούμενον Ἀνακρεόντειον οἷον* (Anacr. 92)

*ὁ μὲν θέλων μάχεσθαι,*
*πάρεστι γάρ, μαχέσθω·*

*τρίμετρον δὲ οἷον τὸ Ἀρχιλόχου* (116)

*ὄγμος κακοῦ δὲ γήραος καθαιρεῖ·*

*τετράμετρον δὲ οἷον τὸ Ἱππώνακτος* (90)

*εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα.*

16 Mar. Plot. VI 520, 6. Caes. Bass. VI 263, 15. At. Fort. VI 293, 10. Mar. Vict. VI 81, 23. Oxyrh. Pap. II p. 46 col. X | 21 At. Fort. VI 299, 15 || 22 Mar. Vict. VI 135, 15

3 *τῆς* om. *D* | *ἐπιδέχεται I* || 4 *ὅταν AH* Choer.[U], *ὅτε DI* || 6 *γενέσθαι* Choer., *γινώσκεσθαι D* | *κατάκλειδα A* (semper) || 8 *ἐν ἑαυτῷ D* || 9 *οἷον AI*, *οἷα D* || 10 *δηὖτε A*, *δηὖτε I*, *δοῦτε D* || 13 *ἔστε* Turn., *ἔσται* [ε] *I*, *ἔσται* rell. || 14 *τετράμετρον A*, *τετράμετρα IH*, in *D* ligatura incerta | *τὸ τοῦ DI* || 17 *οἷον* om. *DI* || 20 *τὸ τοῦ DIH* || 23 *ἔμοι A*

(4) Ἔστιν ἐπίσημον ἐν τοῖς ἀκαταλήκτοις καὶ τὸ χωλὸν καλούμενον, ὅπερ τινὲς μὲν Ἱππώνακτος, τινὲς δὲ Ἀνανίου εὕρημά φασι, διαφέρει δὲ τοῦ ὀρθοῦ, ᾗ ἐκεῖνο μὲν τὸν τελευταῖον ἴαμβον ἔχει ἢ πυρρίχιον διὰ τὴν ἀδιάφορον, τοῦτο δὲ ἢ σπονδεῖον ἢ τροχαῖον. τὸ δὲ χωλὸν οὐ δέχεται τοὺς παραλήγοντας τρισυλλάβους
[34] πόδας, οὔτε δάκτυλον οὔτε τρίβραχυν οὔτε ἀνάπαιστον, ἀλλὰ μάλιστα μὲν ἴαμβον, ὅτε καὶ εὐπρεπές ἐστιν, (Callim. 92)

19 ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω,

ἔσθ' ὅτε δὲ καὶ σπονδεῖον, ὅτε καὶ τραχύτερον γίνεται, (Hipp. 48)

εἰς ἄκρον ἕλκων, ὥσπερ ἀλλᾶντα ψύχων.

[35] VI.

## Περὶ τροχαϊκοῦ.

(1) Τὸ τροχαϊκὸν κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται
20 τροχαῖον, τρίβραχυν καὶ δάκτυλον, κατὰ δὲ τὰς ἀρτίους

1 schol. in Hermog. Rh G VII 936, 10—12. Mar. Plot. VI 522, 15. Heliodorus apud Prisc. de metr. Ter. G L III 426, 16 sqq. Ioa. Tzetz. A O III 309, 20 sqq. ‖ 3 ὀρθόν Dion. Hal. de comp. verb. c. 25 p. 129, 3 ‖ 6 Caes. Bass. VI 257, 21 ‖ 10 Iuba ap. Rufin. G L VI 563, 4 ‖ 14 ad c. VI cf. schol.[B] c. 8 ‖ 14—p. 18, 5 Tract. Harl. (Dem. Tricl.) p. 21, 19—22 ‖ 16 schol. in Hermog. Rh G VII

5 codices interpolati *HN* ante τὸ inser. καὶ ὅτι ἐκεῖνο μὲν ἐπὶ τῶν παραληγόντων μετὰ τῶν δισυλλάβων δύο, ἰάμβου καὶ σπονδείου, δέχεται καὶ τρισυλλάβους τὸν δάκτυλον, τὸν τρίβραχυν καὶ τὸν ἀνάπαιστον. Stud. prop. ⟨καὶ ὅτι ἐκεῖνο μὲν τοὺς παραλήγοντας πόδας καὶ δισυλλάβους δέχεται καὶ τρισυλλάβους⟩; cf. B A V 3, p. 10 sq. ‖ 6 τοὺς ex τὴν corr. *A*[1] ‖ 8 ὅτι *DI* ‖ 10 ἀκούσασθ' *A*, ἀκούσαθ' rell. | hic versus apud Bergkium Hippon. 13 ‖ 13 εἰς] ἐπ' schol.[B] p. 11, 1 | ἀλλᾶντα *A*, ἀλλάντα *I*, ἁ λάντα (sic) *D* | in *D* sequitur in textu interpretamentum infra inter scholia ad 16, 8 et 17, 1 receptum ‖ 15 περὶ τοῦ τροχαϊκοῦ μέτρου *I* ‖ 17 καὶ om. Tract. Harl. \ post τρίβραχυν in *A* ἀνάπαιστον sed punctis deletum, in H ἴαμβον | ἀρτίας *I*

*τούτους τε καὶ σπονδεῖον καὶ ἀνάπαιστον. Καταληκτικὸν δὲ ὅτε ἐστί, τὸν παραλήγοντα μάλιστα μὲν τροχαῖον δέχεται, ἔστι δὲ ὅτε καὶ τρίβραχυν· [καὶ] ἐὰν δὲ ᾖ βραχυκατάληκτον, οὐ βούλεται τὸν παραλήγοντα τετράσημον ἔχειν.*

*(2)"Εστι δὲ ἐπίσημα ἐν αὐτῷ καταληκτικά· δίμετρον μὲν καταληκτικὸν τὸ καλούμενον Εὐριπίδειον ἢ Ληκύθιον, οἷόν ἐστι* (Eur. Phoen. 239 sq.)

*νῦν δέ μοι πρὸ τειχέων*
*θούριος μολὼν Ἄρης·*

*τρίμετρον δὲ καταληκτικόν, οἷόν ἐστι τὸ Ἀρχιλόχου* (99), *ὅ τινες ἀκέφαλον ἰαμβικὸν καλοῦσι,*

*Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην.*

*τετράμετρον δὲ καταληκτικὸν οἷον* (Archil. 60)

*Ἐρξίη πῆ δηὖτ' ἄνολβος ἀθροΐζεται στρατός.*

*τοῦτο δὲ τὸ τετράμετρον γίνεται καὶ χωλὸν τοῦ παρατελεύτου ποδὸς σπονδείου γενομένου, οἷόν ἐστι καὶ τὸ* (Hipp. 78)

*Μητροτίμῳ δηὖτέ με χρὴ τῷ σκότῳ δικάζεσθαι.*

*καὶ τῷ πενταμέτρῳ δὲ καίπερ ὄντι ὑπερμέτρῳ πολλοὺς*

935, 26 *τροχαϊκὸν εἰς τὰς περιττὰς χώρας δέχεται τροχαῖον καὶ τρίβραχυν καὶ δάκτυλον, κατὰ δὲ τὰς ἀρτίους αὐτούς τε τούτους καὶ σπονδεῖον καὶ ἀνάπαιστον· καταληκτικὸν δε ὅ* (lege *ὅτε*) *ἔστιν τὸν παραλήγοντα μάλιστα μὲν τροχαῖον δέχεται, δὲ ἔστιν* (lege *ἔστι δὲ*) *ὅτε καὶ τρίβραχυν* (cf. Io. Sic. VI 164, 16—18).
6 Mar. Plot. VI 530, 22—25 ‖ 7 At. Fort. VI 302, 20 ‖ 8 schol. in Pind. Ol. I p. 12, 14; 13, 19 ‖ 12 *ἀκέφαλον* G L VI 631, 1 (Iuba). 621, 14. Mar. Vict. VI 135, 30. Ter. M. VI 395 v. 2349. p. 397, 2420 ‖ 13 schol. in Pind. Ol. XI p. 348, 14 ‖ 15 idem versus An. Chis. A V I 206 ‖ 19 Io. Sic. RhG VI 240, 16

3 *καὶ* (post.) om. Tract. Harl., del. Wilam. | *δὲ* om. *DI* ‖ 8 *οἷον ἔστι AH*, *οἷον ἔστι τὸ DI* ‖ 12 *ἴαμβον H* et schol.[B] p. 11, 10 ‖ 16 *τὸ μέτρον DI* | *παρατελευταίου DI* ‖ 17 *οἷον—τὸ* om. *I* ‖ 17 *τὸ*—p. 19, 2 *Καλλιμάχου* om. *D*

21 *κεχρῆσθαι συμβέβηκεν, οἷόν ἐστι καὶ τὸ Καλλιμάχου* (115)

*ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρῆς Χίου*

*(3)* *Ἔστι δὲ ἐν αὐτῷ ἐπίσημον καὶ τὸ δίμετρον βραχυκατάληκτον, τὸ καλούμενον Ἰθυφαλλικόν· ᾧ πρῶτος μὲν Ἀρχίλοχος κέχρηται, συζεύξας αὐτὸ δακτυλικῷ τετραμέτρῳ οὕτως* (Arch. 100)

[39] *οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα· κάρφεται γὰρ ἤδη.*

*οἱ δὲ μετὰ ταῦτα καὶ ἐπήγαγον αὐτὸ ἰαμβείῳ, ὥσπερ ὁ Καλλίμαχος* (117)

*Ἑρμᾶς ὅ περ Φεραῖος αἰνείων θεός*
*ἔμμι τῶ φυγαίχμα.*

*(4)* *ὁμοίως δὲ καὶ τὸ τετράμετρον βραχυκατάληκτόν ἐστιν ἐπίσημον, οἷον* (fr. com. an. 39)

*οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχὸν ὄντ' ἐφ' ὑμῖν·*

*καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρόν ἐστιν ἔνδοξον, οἷον τουτὶ τὸ Ἀνακρέοντος* (76)

*κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα.*

*Τὰ μὲν οὖν ἐπισημότατα ἐν αὐτῷ ταῦτά ἐστι.*

6 *ἰθυφαλλικόν* Mar. Vict. VI 85, 28. Atil. Fort. VI 293, 18. 298, 9. Caes. Bass. VI 255, 10. Ter. Maur. VI 380 v. 1839. Mar. Plot. VI 529, 13

3 *διατμήξας* Anthol. Palat. XIII 9, *διανήξας* codd. et schol.[B] p. 12, 3 ‖ 6 *ἰθυφαλικόν DI* ‖ 7 *μὲν* om. *D* | *ἐχρήσατο I* ‖ 9 *θάλεις I, θάλλης H* ‖ 10 *ἤδη*] *ὅδε D* | idem exemplum p. 22, 10; 50, 17 ‖ 11 fort. *μετ' αὐτὸν* ut 47, 11. 16 | *καὶ* om. *D* | *αὐτὸ ἰαμβείω* corr. ex *αὐτῶ ἰαμβεῖον D* ‖ 13 *ὁπερ* (sic) *AD* | *αἰνείων AI, αἰνιῶν D, αἰνεῖ ὢν* Caesar, *αἰνέει* Turn. | *ὁ Περφεραῖος Αἰνίων θεὸς* Wilam. (Herm. 40, 138) ‖ 14 *ἔμμε D, ἐμμὶ* Schneider ‖ 17 *ἀμιψίαν DI, Ἀμυνίαν* Meineke | *ὑμῖν A, ἡμῖν DIH* Kock ‖ 19 *τὸ*] *τοῦ D*; cf. p. 30, 3 ‖ 20 *χρυσίπεπλε* D ‖ 21 *αὐτῶ DIH, ταυτῶ A*

*(5) Τῷ δὲ δακτύλῳ τῷ κατὰ τὰς περιττὰς ἐμπίπτοντι χώρας ἥκιστα οἱ ἰαμβοποιοὶ ἐχρήσαντο ποιηταί, σπανίως δὲ καὶ οἱ τραγικοί, οἱ δὲ κωμικοὶ συνεχῶς ὥσπερ* [4 *καὶ ἐν τῷ ἰαμβικῷ τῷ ἐπὶ τῆς ἀρτίου ἀναπαίστῳ·* 22 *ἑκάτερον γὰρ ἄλογον· οὔτε γὰρ ἐν τῷ ἰαμβικῷ ἐχρῆν ἀνάπαιστον ἐπὶ τῆς ἀρτίου χώρας, ἐφ' ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ λύσις ἐστὶν ὁ ἀνάπαιστος, οὔτε ἐν τῷ τροχαϊκῷ ἐπὶ τῆς περιττῆς τὸν δάκτυλον, ἐφ' ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ ὁμοίως λύσις ὁ δάκτυλος.*

*(6) Ἔτι μέντοι καὶ ἐν τοῖς καταληκτικοῖς καὶ ὁ τρίβραχυς ἐγχωρεῖ, καθάπερ προειρήκαμεν, οὐ μόνον ὁ τροχαῖος, ὥς τινες οἴονται· παράδειγμα τόδε* (fr. com. an. 38)

*τῶν πολιτῶν ἄνδρας ὑμῖν δημιουργοὺς ἀποφανῶ·*

*τῆς γὰρ κατάκλειδος οὔσης ἀποφανῶ δῆλον ὡς ὁ παρακείμενος πούς ἐστιν ἀποφα, τρίβραχυς ὡς προείρηται.*

## VII.

### *Περὶ δακτυλικοῦ.*

*(1) Τὸ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν πλὴν τῆς τελευταίας· ἐπὶ ταύτης* [4 *δέ, εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει ἢ διὰ τὴν*

16 ad c. VII cf. schol.[B] c. 9. 13. 16—19

4 *καὶ ἐν*] *κἂν* *AI*, *καὶ* (om. *ἐν*) *D* ‖ 5 *γὰρ* in *A* supra lineam | *ἐχρῆν* ⟨*εἶναι*⟩ vel ⟨*ἔχειν*⟩ Barham ‖ 6 *ἐπὶ τῆς ἀρτίου* *I*, *ἐπ' ἀρτίου* *A* (in rasura, in qua olim plura fuerant), *CPD* | 8 *τὸν* fort. delend. ‖ 10 *τοῖς* om. *D* | post *καταληκτικοῖς* inserendum videtur ⟨*παραλήγων*⟩ cf. 18, 3 | *καὶ* (alterum) in *A* supra lineam ‖ 11 *ὁ* om. *D* ‖ 14 *κατάκλειδος* *A* ‖ 15 ante *πoὺς* add. *εἰ* *D* | *ἔστιν ἀποφα* *ADI*, *ἄποφα ἐστιν* *H* | *αποφα* del. Studem. | *ὡς προείρηται* om. *H* ‖ 17 *περὶ τοῦ δακτυλικοῦ μέτρου* *I* ‖ 20 *δακτυλικὸν* $I^1$, ab $I^2$ in *δακτυλον* corr.

*ἀδιάφορον κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ' αὐτοῦ μεμειωμένα ἤτοι συλλαβῇ ἢ δύο συλλαβαῖς· καὶ τὸ μὲν καλεῖται καταληκτικὸν εἰς συλλαβήν, τὸ δὲ καταληκτικὸν εἰς δισύλλαβον.*

*(2) Ἐπισημότατα δ' ἐστὶν ἐν αὐτῷ τό τε ἑξάμετρον καταληκτικὸν εἰς δισύλλαβον, τὸ καλούμενον ἔπος, οἷον* (*Α* 1)

*μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος,*

23 (*ἐπὶ γὰρ τῆς ἐσχάτης λέξεως τῆς λῆος λείπει ὁ δάκτυ-*
[42] *λος μιᾷ συλλαβῇ*) *καὶ τὸ πεντάμετρον καταληκτικὸν εἰς δισύλλαβον, τὸ καλούμενον Σιμίειον, οἷον*

*χαῖρε ἄναξ ἕταρε ζαθέας μάκαρ ἥβας,*

*καὶ τὸ τετράμετρον εἰς δισύλλαβον καταληκτικόν, ᾧ πρῶτος μὲν ἐχρήσατο Ἀρχίλοχος ἐν ἐπῳδοῖς* (98)

*φαινόμενον κακὸν οἴκαδ' ἄγεσθαι·*

*ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ καὶ ὅλα ᾄσματα συνέθηκεν* (67)

*ἀδύμελες χαρίεσσα χελιδοῖ*

*καὶ* (68)

*μνᾶται δηῦτε φαλακρὸς Ἄλεξις.*

*Ταῦτα μὲν οὖν τῶν εἰς δισύλλαβον καταληκτικῶν παραδείγματα.*

2 Excerpt. Paris. (cod. Par. 2881 f. 141) *μεμειωμένον ἢ συλλαβῇ καὶ καταληκτικὸν εἰς δισύλλαβον καλεῖται ἢ δύο συλλαβαῖς καὶ καλεῖται καταληκτικὸν εἰς συλλαβήν* ‖ 11 Mar. Plot. VI 511, 7 ‖ 13 Mar. Plot. VI 514, 17. Mar. Vict. VI 73, 13 ‖ 18 Mar. Plot. VI 514, 23

3 *συλλαβήν*] scribend. videtur *δισύλλαβον*, cf. 23, 1. 24, 18. 19 et excerpt. Par. ‖ 4 *δισύλλαβον*] scribend. videtur *συλλαβήν* ‖ 5 *ἐπισημότατον* *DI* ‖ 7 *οἷον* om. *I* ‖ 9 fort. *ἐπὶ*—10 *συλλαβῇ* ex scholiis insertum ‖ 9 *λήξεως* *AH* ‖ 10 *πεντάμετρον δὲ* *I* ‖ 11 *σιμμίειον* codd. | *οἷον* om. *I* ‖ 12 *ετα. ρε* (sic) *A*, *ἑτάρε* *DI*, Ἕκατε Wilam. ‖ 13 *τὸ* *H*, om. *ADI* ‖ 16 *ὅλα* *DI*, *ἄλλα* *A* [illegible] *μελες* *A*, *ἀδυμελὲς* *DI* ‖ 19 *καὶ* om. *I* ‖ 20 *φαλακρ*[illegible] *φαλακρὶς* *D* ‖ 21 *καταληκτικὸν* *A*

*(3) Τῶν δὲ εἰς συλλαβὴν τῷ μὲν πενθημιμερεῖ [πρὸς δύο ποσὶν οὐσῶν τῶν συλλαβῶν] Ἀρχίλοχος κέχρηται ἐν ἐπῳδῷ* (104)

*ἐν δὲ Βατουσιάδης,*

*τῷ δὲ ἑφθημιμερεῖ Ἀλκμὰν* (49)

*ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας.*

*(4) Καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρον Ἀρχίλοχος ἔνδοξον ἐποίησε διὰ τὸ προτάξαι αὐτὸ τροχαϊκοῦ τοῦ καλουμένου ἰθυφαλλικοῦ, οὕτως* (100)

*οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα· κάρφεται*
*γὰρ ἤδη.*

*Ἀλκμὰν δὲ καὶ ὅλας στροφὰς τούτῳ τῷ μέτρῳ κατεμέτρησε* (45)

*Μῶσ' ἄγε Καλλιόπα, θύγατερ Διός,*
*ἄρχ' ἐρατῶν ἐπέων, ἐπὶ δ' ἵμερον*
*ὕμνῳ καὶ χαρίεντα τίθει χορόν.*

*Ταῦτα μὲν οὖν κοινὰ δακτυλικά.*

*(5) Τὰ δὲ Αἰολικὰ καλούμενα τὸν μὲν πρῶτον ἔχει πόδα πάντως ἕνα τῶν δισυλλάβων ἀδιάφορον, ἤτοι σπονδεῖον ἢ ἴαμβον ἢ τροχαῖον ἢ πυρρίχιον, τοὺς δὲ ἐν μέσῳ δακτύλους πάντας, τὸν δὲ τελευταῖον πρὸς τὴν ἀπόθεσιν δάκτυλον μὲν ἢ κρητικὸν διὰ τὸ τῆς τελευταίας ἀδιάφορον, ἐὰν ἀκατάληκτον ᾖ, ἐὰν δὲ κατα-*

2 schol. (Thom.-Tricl.) Arist. Nub. 275. — Mar. Plot. VI 512, 10 sqq. Ter. Maur. VI 379 v. 1807 ‖ 14 Max. Plan. RhG V 510, 2 sqq. ‖ 18 *Αἰολικά*] Mar. Vict. VI 70, 18. 111, 1

1 *πρὸς* — 2 *συλλαβῶν* ut glossema seclusi; *π. δ. π. οὔσης* (sive *μιᾶς*) *συλλαβῆς* Caesar ‖ 4 idem versus p. 13, 13 ‖ 5 *Ἀλκμάν*] immo Anacreon, quod scripsit fort. Heph. Wilam. ‖ 10 *θάλεις* *D* | idem versus p. 19, 10. 50, 3 ‖ 14 *μῶσάγε* *AD*, *μῶσαγε* *I* | idem versus p. 13, 5 ‖ 15 *ἐρατ'* *D* ‖ 16 *ὕμνον* Max. Plan. ‖ 18 *περὶ αἰολικῶν* *H* in textu (*A* in scholiis), *περὶ τοῦ αἰολικοῦ καλουμένου μέτρου* *I* ‖ 21 — 22 *πρὸς τὴν ἀπόθεσιν* om. excerpt. Paris. (cod. Paris. 2881)

ληκτικόν, καὶ τὰ ἀπὸ τούτου μεμειωμένα εἰς δισύλλαβον καὶ συλλαβήν.

(6) Τὸ μὲν οὖν Αἰολικὸν ἔπος τὸ καταληκτικὸν τοιοῦτόν ἐστι (Alc. 46)

κέλομαί τινα τὸν χαρίεντα Μένωνα καλέσσαι
εἰ χρὴ συμποσίας ἐπ' ὄνασιν ἐμοὶ γεγενῆσθαι.

πεντάμετρα δὲ καταληκτικὰ εἰς δισύλλαβον (Sapph. 104)

τίῳ σ', ὦ φίλε γαμβρέ, καλῶς εἰκάσδω;
ὄρπακι βραδινῷ σε μάλιστ' εἰκάσδω.

[45] τὸ δὲ τετράμετρον (Sapph. 98)

θυρωρῷ πόδες ἐπτορόγυιοι
τὰ δὲ σάμβαλα πεντεβόηα
πίσυγγοι δὲ δέκ' ἐξεπόνασαν.

(7) Τῶν δὲ ἀκαταλήκτων τὸ μὲν πεντάμετρον καλεῖται Σαπφικὸν τεσσαρεσκαιδεκασύλλαβον, ᾧ τὸ δεύτερον ὅλον Σαπφοῦς γέγραπται (Sapph. 33)

[46] ἠράμαν μὲν ἐγὼ σέθεν, Ἄτθι, πάλαι πόκα.

τὸ δὲ τετράμετρον ἀκατάληκτόν ἐστι τοιοῦτον·

ἔρος δαὖτέ μ' ὁ λυσιμελὴς δόνει
γλυκύπικρον ἀμάχανον ὄρπετον (Sapph. 40). —
Ἄτθι, σοὶ δ' ἔμεθεν μὲν ἀπήχθετο
φροντίσδην, ἐπὶ δ' Ἀνδρομέδαν πότῃ (Sapph. 41).

14 Mar. Plot. VI 511, 25 sqq. Mar. Vict. VI 110, 35. Ter. Maur. VI 389 v. 2148 ‖ 21 Ter. Maur. VI 390 v. 2154

1 καὶ] ἔστω καὶ excerpt. Paris. ‖ ἀπὸ] ἐπὶ *D* ‖ 5 κέλλομαι *D* | καλέσσαι *D*, καλέσαι rell. ‖ 6 ἐπ *A* ‖ 8 καλῶς γε ἱλάσδω *D* ‖ 9 ὅρπακι *A M*, ὅρπακι rell. | μάλησ' *A* ‖ 11 ἐπτορόγυιοι Hotchkis, ἐπταθο. ῥρόγυιοι *A*, ἐπταθόργυιοι (ορ superscr.) (sic) *D*, ἑπτα θόργυιοι *I*, ἐπταρόγιοι *H* ‖ 12 πενταβόεια *D I* ‖ 13 ὀπίσυγγοι *D* | ἐξεπόνησαν *D I* ‖ 15 ὧ *A D*, ὃ *I* ‖ 17 ἠράμαν *I*, ἠράμην *D* | Ἄτθι Bentley, ἅτοι *A*, ἅτε *D I* | πότα Blomfield ‖ 19 ἔρως *D I* | δονεῖ *D I* ‖ 20 γλυκὺ πικρὸν *A D* ‖ 21 ἀτθί σοι *A*, ἀτθίς σοι *D I* | ἐμέθεν *D I* ‖ 22 φροντίσδην Bentley, φροντίς δ' ἦν codd. | πότῃ *A*, πότε *D I*

*(8)* Ἔστι δέ τινα καὶ *λογαοιδικὰ* καλούμενα δακτυ-
λικά, ἅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις δακτύλους ἔχει,
τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν. ἔστι δὲ αὐτῶν
ἐπισημότατα τό τε πρὸς δύο δακτύλοις ἔχον τροχαϊκὴν [47
συζυγίαν, καλούμενον δὲ Ἀλκαϊκὸν δεκασύλλαβον
(Alc. 69)

καί τις ἐπ' ἐσχατιαῖσιν οἴκεις,

καὶ τὸ πρὸς τρισί, καλούμενον Πραξίλλειον (Prax. 5)

ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα
παρθένε τὰν κεφάλαν, τὰ δ' ἔνερθε νύμφα.

## VIII.

### *Περὶ ἀναπαιστικοῦ.*

*(1)* Τὸ δὲ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται
σπονδεῖον, ἀνάπαιστον, σπανίως δὲ καὶ προκελευματι- 26
κόν, παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ δάκτυλον. Εἰσὶ [48
δὲ αὐτοῦ ἀποθέσεις ἓξ κατὰ συζυγίαν διαιρουμένου·
ὑπερκατάληκτος εἰς δισύλλαβον, ὑπερκατάληκτος εἰς
συλλαβήν, ἀκατάληκτος, καταληκτικὴ εἰς δισύλλαβον,
καταληκτικὴ εἰς συλλαβήν, βραχυκατάληκτος.

*(2)* Ἐπισημότατον δὲ ἐν αὐτῷ ἐστι τὸ τετράμετρον

5 Mar. Vict. VI 111, 31 ‖ 13 ad c. VIII cf. schol.[B] c. 10 ‖ 13—19 Tract. Harl. (D. Tricl.) p. 20, 6—10 ‖ 15 schol. Aristoph. (R) Plut. 487 ‖ 16 Ar. Quint. 34, 2

4 *δακτύλους D* ‖ 7 *οἴκοις DI, οἰκεῖς MH* ‖ 10 *κεφάλαν A, κεφαλὰν DI* ‖ 12 *περὶ τοῦ ἀναπαιστικοῦ μέτρου I* ‖ 14 *σπονδεῖον καὶ ἀνάπαιστον* Tract. Harl. | *δέχεται ἀνάπαιστον καὶ σπονδεῖον* Choer. | *καὶ DI* Choer. excerpt. Paris., om. *A* ‖ 14—15 post *προκελευματικόν* add. Ritschl (op. I 275) *καὶ ἴαμβον* ‖ 15 *καὶ*] *καὶ ἴαμβον καὶ H* schol.[B] 15, 7. Tract. Harl. (Ioa. Tzetz. A O III 311, 20) ‖ 17 *ὑπερκατάληκτον* et sic deinceps neutrum *H* excerpt. Paris. schol.[B] 15, 7. Tract. Harl.

*καταληκτικὸν εἰς συλλαβήν, τὸ καλούμενον Ἀριστοφάνειον* (Nub. 962)

*ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο·*

*κέκληται δὲ Ἀριστοφάνειον οὐκ Ἀριστοφάνους αὐτὸ εὑρόντος πρώτου, ἐπεὶ καὶ παρὰ Κρατίνῳ ἐστί* (220)

*χαίρετε δαίμονες οἱ Λεβάδειαν Βοιώτιον οὖθαρ ἀρούρης,*

49] *ἀλλὰ διὰ τὸ τὸν Ἀριστοφάνην πολλῷ αὐτῷ κεχρῆσθαι·* *(3) καὶ πρὸ Κρατίνου παρ' Ἐπιχάρμῳ, ὃς καὶ ὅλα δύο δράματα τούτῳ τῷ μέτρῳ γέγραφε, τούς τε Χορεύοντας καὶ τὸν Ἐπίνικον. Ἀριστόξενος δὲ ὁ Σελινούντιος Ἐπιχάρμου πρεσβύτερος ἐγένετο ποιητής (οὗ καὶ αὐτὸς Ἐπίχαρμος* (88) *μνημονεύει ἐν Λόγῳ καὶ Λογίνᾳ*

*οἱ τοὺς ἰάμβους καὶ τὸν † ἄριστον τρόπον,*
*ὃν πρᾶτος εἰσηγήσαθ' Ὡριστόξενος)*

27 *καὶ τούτου τοίνυν τοῦ Ἀριστοξένου μνημονεύεταί τινα τούτῳ τῷ μέτρῳ γεγραμμένα* (CGF p. 87)

*τίς ἀλαζονίαν πλείσταν παρέχει τῶν ἀνθρώπων; τοὶ μάντεις·*

50] *(4) τὸ μέντοι τὸν σπονδεῖον ἔχον, ἀλλὰ μὴ τὸν ἀνάπαιστον παραλήγοντα εἰσὶν οἳ Λακωνικὸν καλοῦσι, προφερόμενοι παράδειγμα τὸ*

1 *Ἀριστοφάνειον*] Dion. Hal. de comp. verb. c. 25 p. 127, 1. 128, 6 ‖ 5 Suidas s. v. *Ἀριστοφάνης* ‖ 21 Steph. Byz. s. v. *Τελμησσός* ‖ 23 Schol.[A] Choer. 73, 12. Mar. Vict. VI 98, 22 sqq.

7 *οἱ* *D* ‖ 9 *τὸ* om. *D* | *αὐτῷ κεχρῆσθαι πολλῷ* *I* ‖ 10 *δύο* om. *D* ‖ 12 *ἐπίνικον* *AC*, *ἐπινίκιον* *DI* ‖ 14 *λογγῖνος* *ID* (in *D* ex *λογγίνῳ* corr.?) ‖ 15 *καττὸν ἀρχαῖον* Porson ‖ 16 *πρῶτος* *DI* ‖ 19 *ἀλαζονίαν* *AD* Choer., *ἀλαζονείαν* *I* | *πλείσταν* om. *D* ‖ 20 *τοι* codd. ‖ 23 *παράδειγμα τὸ* Caesar, *παραδείγματα* codd.

*ἄγετ' ὦ Σπάρτας ἔνοπλοι κοῦροι ποτὶ τὰν Ἄρεως κίνασιν·*

ὅτι μέντοι καὶ ἐν τῷ Ἀριστοφανείῳ καλουμένῳ ἀδιαφόρως εὑρίσκεται ὁ παραλήγων ἀνάπαιστος ἢ σπονδεῖος, δηλώσει Κρατῖνος· εἰς γὰρ τοὺς Ὀδυσσέας εἰσβάλλων (138) τούτῳ τῷ μέτρῳ ἐχρήσατο

*τίνες αὖ πόντον κατέχουσ' αὖραι; νέφος οὐράνιον τόδ' ὁρῶμαι,*

ἐποίησε δέ τινα στίχον καὶ σπονδείῳ τῷ παραλήγοντι κεχρημένον (139)

*ὡς ἂν μᾶλλον τοῖς πηδαλίοις ἡ ναῦς ἡμῶν πειθαρχῇ.*

Περὶ μὲν οὖν τοῦ τετραμέτρου ταῦτα.

(5) Τῷ δὲ τριμέτρῳ Σιμίας ὁ Ῥόδιος ὅλον ποιημάτιον ἔγραψεν

*Ἱστία ἁγνά, ἀπ' εὐξείνων μέσα τοίχων.*

(6) Τὸ δὲ δίμετρον καταληκτικὸν καλεῖται μὲν παροι- [5
μιακὸν διὰ τὸ παροιμίας τινὰς ἐν τούτῳ τῷ μέτρῳ
εἶναι

*πότε δ' Ἄρτεμις οὐκ ἐχόρευσεν* (paroem. Gr. ed. Leutsch II p. 229) —

*καὶ κόρκορος ἐν λαχάνοισιν* (paroem. Gr. I p. 100. 257) —,

ἀλλὰ παροιμίαι εἰσὶ καὶ ἐπικαὶ καὶ ἰαμβικαὶ καὶ οὐ 28
τούτου τοῦ μέτρου μόνου· ὥστ' οὐκ εἰκότως αὐτὸ

17 schol. in Pind. Ol. I p. 13, 17 ‖ 22 schol. Arist. (V) Vesp. 239

2 *Ἄρεος* *DI* | *κίνησιν* *I* | hunc versum inter Tyrtaei fragm. (16) posuit Bergk, inter carmina popularia (20) rectius Hiller ‖ 7 *αὖ*] *οὖν* *D* ‖ 8 *ὁρῶμεν* *D* ‖ 10 *κεχρημένος* Denig, sed cf. 56, 11 ‖ 13 om. *I* ‖ 14 *σιμίας* *I*, *σιμμίας* *AD* ‖ 16 *ἀπ*] *σ' ἅτ'* Bergk | *εὐξείνων* *A* | *μέσα* ex *μέτα* vel hoc ex illo *D* ‖ 20 *πότε δ'*] *ποῦ γὰρ ἡ* paroem.

*μόνον παροιμιακὸν καλοῦσι. Κρατῖνος δὲ ἐν Ὀδυσσεῦσι* (144) *συνεχεῖ αὐτῷ ἐχρήσατο·*

*σιγᾶν νυν ἅπας ἔχε σιγᾶν*
*καὶ πάντα λόγον τάχα πεύσει·*
*ἡμῖν δ' Ἰθάκη πατρίς ἐστι,*
*πλέομεν δ' ἅμ' Ὀδυσσεῖ θείῳ.*

*(7) Πρῶτος δὲ Ἀρχίλοχος ἐχρήσατο τῷ μεγέθει τούτῳ, ἐν τοῖς τετραμέτροις προτάξας αὐτὸ τοῦ ἰθυφαλλικοῦ· τὸ γὰρ* (79)

*Ἐρασμονίδη Χαρίλαε*

2] *ἐφθημιμερές ἐστιν ἀναπαιστικόν· ἐχρήσατο δὲ τῷ πρώτῳ ποδὶ καὶ ἰάμβῳ, ὡς καὶ ἐκ τοῦ παραδείγματός ἐστι δῆλον, καὶ σπονδείῳ* (Archil. 82)

*Δήμητρί τε χεῖρας ἀνέξων,*

*ἀναπαίστῳ δὲ τῷ πρώτῳ ἐπὶ δύο μόνων στίχων κεχρῆσθαι δοκεῖ* (79, 2)

*ἐρέω πολὺ φίλταθ' ἑταίρων*

*καὶ* (80)

*φιλέειν στυγνόν περ ἐόντα·*

*ταῦτα δὲ ἀμφότερα κατὰ συνεκφώνησιν ἴαμβον ἔχει τὸν πρῶτον πόδα.*

*(8) Τῷ δὲ ἀναπαιστικῷ ὑποστέλλοιτο ἂν καὶ τὸ προ-*
29 *κελευματικὸν ὑπ' ἐνίων καλούμενον, οἷον τὸ τετρά-*
58] *μετρον τοῦτο τὸ Ἀριστοφάνειον* (Aristoph. fr. 698)

*τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν·*

22 Mar. Vict. VI 98, 17

26, 25—27, 1 *παροιμιακὸν μόνον αὐτὸ καλοῦσι* D, *π. μ. τοῦτο κ.* I | 3 *σιγᾶν νυν* D, *σιγὰν νῦν* AI | *ἔσχε* D ‖ 4 *πεύσῃ* DIH ‖ 5 *πατρὶς ἔστι* A ‖ 6 *ὀδυσεῖ* A, *ὀδυσσεῖ* DI ‖ 8 *τοῖς μέτροις* DI ‖ 10 *χαρίλαε*] *περίλαε* D ‖ 12 *ὡς ἐκ* (om. *καὶ*) D ‖ 18 *καὶ πάλιν* I ‖ 22 *προκελευσματικὸν* DI ‖ 25 *ἐπέσσυτο* D

*ἄγετ' ὦ Σπάρτας ἔνοπλοι κοῦροι ποτὶ τὰν Ἄρεως κίνασιν·*

ὅτι μέντοι καὶ ἐν τῷ Ἀριστοφανείῳ καλουμένῳ ἀδιαφόρως εὑρίσκεται ὁ παραλήγων ἀνάπαιστος ἢ σπονδεῖος, δηλώσει Κρατῖνος· εἰς γὰρ τοὺς Ὀδυσσέας εἰσβάλλων (138) τούτῳ τῷ μέτρῳ ἐχρήσατο

*τίνες αὖ πόντον κατέχουσ' αὖραι; νέφος οὐράνιον τόδ' ὁρῶμαι,*

ἐποίησε δέ τινα στίχον καὶ σπονδείῳ τῷ παραλήγοντι κεχρημένον (139)

*ὡς ἂν μᾶλλον τοῖς πηδαλίοις ἡ ναῦς ἡμῶν πειθαρχῇ.*

Περὶ μὲν οὖν τοῦ τετραμέτρου ταῦτα.

(5) Τῷ δὲ τριμέτρῳ Σιμίας ὁ Ῥόδιος ὅλον ποιημάτιον ἔγραψεν

*Ἱστία ἀγνά, ἀπ' εὐξείνων μέσα τοίχων.*

(6) Τὸ δὲ δίμετρον καταληκτικὸν καλεῖται μὲν παροι- [1 μιακὸν διὰ τὸ παροιμίας τινὰς ἐν τούτῳ τῷ μέτρῳ εἶναι

*πότε δ' Ἄρτεμις οὐκ ἐχόρευσεν* (paroem. Gr. ed. Leutsch II p. 229) —
*καὶ κόρκορος ἐν λαχάνοισιν* (paroem. Gr. I p. 100. 257) —,

ἀλλὰ παροιμίαι εἰσὶ καὶ ἐπικαὶ καὶ ἰαμβικαὶ καὶ οὐ 28 τούτου τοῦ μέτρου μόνου· ὥστ' οὐκ εἰκότως αὐτὸ

17 schol. in Pind. Ol. I p. 13, 17 ‖ 22 schol. Arist. (V) Vesp. 239

2 Ἄρεος *DI* | κίνησιν *I* | hunc versum inter Tyrtaei fragm. (16) posuit Bergk, inter carmina popularia (20) rectius Hiller ‖ 7 αὖ] οὖν *D* ‖ 8 ὁρῶμεν *D* ‖ 10 κεχρημένος Denig, sed cf. 56, 11 ‖ 13 om. *I* ‖ 14 σιμίας *I*, σιμμίας *AD* ‖ 16 ἀπ] σ' ἄτ' Bergk | εὐξείνων *A* | μέσα ex μέτα vel hoc ex illo *D* ‖ 20 πότε δ'] ποῦ γὰρ ἡ paroem.

*μόνον παροιμιακὸν καλοῦσι. Κρατῖνος δὲ ἐν Ὀδυσσεῦσι* (144) *συνεχεῖ αὐτῷ ἐχρήσατο·*

*σιγάν νυν ἅπας ἔχε σιγάν*
*καὶ πάντα λόγον τάχα πεύσει·*
*ἡμῖν δ' Ἰθάκη πατρίς ἐστι,*
*πλέομεν δ' ἅμ' Ὀδυσσέϊ θείῳ.*

(7) *Πρῶτος δὲ Ἀρχίλοχος ἐχρήσατο τῷ μεγέθει τούτῳ, ἐν τοῖς τετραμέτροις προτάξας αὐτὸ τοῦ ἰθυφαλλικοῦ· τὸ γὰρ* (79)

*Ἐρασμονίδη Χαρίλαε*

2] *ἐφθημιμερές ἐστιν ἀναπαιστικόν· ἐχρήσατο δὲ τῷ πρώτῳ ποδὶ καὶ ἰάμβῳ, ὡς καὶ ἐκ τοῦ παραδείγματός ἐστι δῆλον, καὶ σπονδείῳ* (Archil. 82)

*Δήμητρί τε χεῖρας ἀνέξων,*

*ἀναπαίστῳ δὲ τῷ πρώτῳ ἐπὶ δύο μόνων στίχων κεχρῆσθαι δοκεῖ* (79, 2)

*ἐρέω πολὺ φίλταθ' ἑταίρων*

*καὶ* (80)

*φιλέειν στυγνόν περ ἐόντα·*

*ταῦτα δὲ ἀμφότερα κατὰ συνεκφώνησιν ἴαμβον ἔχει τὸν πρῶτον πόδα.*

(8) *Τῷ δὲ ἀναπαιστικῷ ὑποστέλλοιτο ἂν καὶ τὸ προ-*
29 *κελευματικὸν ὑπ' ἐνίων καλούμενον, οἷον τὸ τετρά-*
58] *μετρον τοῦτο τὸ Ἀριστοφάνειον* (Aristoph. fr. 698)

*τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν·*

22 Mar. Vict. VI 98, 17

26, 25—27, 1 *παροιμιακὸν μόνον αὐτὸ καλοῦσι D, π. μ. τοῦτο κ. I* | 3 *σιγᾶν νυν D, σιγὰν νῦν AI* | *ἔσχε D* ‖ 4 *πεύση DIH* ‖ 5 *πατρὶς ἔστι A* ‖ 6 *ὀδυσεῖ A, ὀδυσσεῖ DI* ‖ 8 *τοῖς μέτροις DI* ‖ 10 *χαρίλαε*] *περίλαε D* ‖ 12 *ὡς ἐκ* (om. *καὶ*) *D* ‖ 18 *καὶ πάλιν I* ‖ 22 *προκελευσματικὸν DI* ‖ 25 *ἐπέσσυτο* D

*τρίμετρα δὲ οἷον τὸ Ἀνακρέοντος* (31)

*δακρυόεσσάν τ' ἐφίλησεν αἰχμάν·*

*τετράμετρα δέ, ἃ καὶ συνεχέστερά ἐστιν, οἷα ταυτὶ τὰ Σαπφοῦς* (60)

*δεῦτέ νυν ἄβραι Χάριτες καλλίκομοί τε Μοῖσαι.*

*(3) Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν δι' ὅλου ᾄσματος ἐκ τριβραχέος καὶ ἰάμβου ποιῆσαι, ὡς εἶναι κοινὴν λύσιν τῆς τε χοριαμβικῆς καὶ τῆς ἰαμβικῆς* (Anacr. 24)

*ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις.*

*πολὺ δ' ἐστὶ καὶ τὸ πρὸς τῇ κατάκλειδι τὴν δευτέραν συζυγίαν ἰαμβικὴν ἔχον, οἷόν ἐστι παρὰ μὲν Ἀνακρέοντι* (23)

*ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λαμπρά,*

*παρὰ δὲ Ἀριστοφάνει ἐν Ἀμφιάρεῳ* (30)

*οἶδα μὲν ἀρχαῖόν τι δρῶν, κοὐχὶ λέληθ' ἐμαυτόν.*

*(4) Καὶ τῷ πενταμέτρῳ δὲ Καλλίμαχος ὅλον ποίημα τὸν Βράγχον συνέθηκε* (36)

*δαίμονες εὐυμνότατοι Φοῖβέ τε καὶ Ζεῦ Διδύ-*
*μων γενάρχαι.*

*Φίλικος δὲ ὁ Κερκυραῖος, εἷς ὢν τῆς Πλειάδος, ἑξαμέτρῳ συνέθηκεν ὅλον ποίημα*

*τῇ χθονίῃ μυστικὰ Δήμητρί τε καὶ Φερσεφόνῃ*
*καὶ Κλυμένῳ τὰ δῶρα.*

2 schol. in Hermog. Rh G VII 988, 11 ‖ 5 At. Fort. VI 301, 11 ‖ 17 Ter. Maur. VI 381 v. 1883 sqq. Mar. Plot. VI 536, 14. Serv. IV 463, 13. Mar. Vict. VI 86, 30 ‖ 21 Caes. Bass. VI 263, 23—264, 1. Mar. Plot. VI 536, 18. Mar. Vict. VI 86, 27

2 *δακρυόεσσά τε φίλησεν αἰχμήν* Rh G VII 988, 11 | *τεφίλησεν DI* ‖ 5 *δεῦτέ νυν I*, *δεῦτε νῦν AD* | *ἄβραι C* | *μοῖσαι DI*, *μοῦσαι A* ‖ 8 *τῆς* (alter.) om. *I*, *καὶ τῆς ἰαμβικῆς* om. *D* ‖ 11 *κατάκλειδι A* ‖ 15 *ἀμφιάρεω H*, *ἀμφιάρωι A*, *ἀμφιαράω DI* | *ἀρχαῖον τι δρῶν AD*, *ἀρχαῖον τ' ἰδών I* ‖ 21 *φίληκος I* ‖ 23 *μυστικὰ H*, *μυστικᾶ*, cui rubro acutus additus est *I*, *μυστικῇ AD*

# IX.

## *Περὶ χοριαμβικοῦ.*

*(1) Τὸ χοριαμβικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς· ὡς ἐπίπαν* 5] *δὲ ὅτε καταληκτικόν ἐστιν εἰς τὴν ἰαμβικὴν κατάκλειδα περαιοῦται, τουτέστιν εἰς ἀμφίβραχυν ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον· — περαιοῦται μὲν γὰρ καὶ εἰς τὴν ἰδίαν, τὸν δάκτυλον ἢ κρητικόν, οἷον δίμετρον μὲν τὸ* (fr. lyr. adesp. 69)

*ἱστοπόνοι μείρακες,*

*τρίμετρα δὲ* (fr. lyr. adesp. 70)

*οὐδὲ λεόντων σθένος οὐδὲ τροφαί,*

*τετράμετρα δὲ* (fr. lyr. adesp. 71)

*αἳ Κυθερήας ἐπιπνεῖτ' ὄργια λευκωλένου.*

6] *ἀλλὰ τῷ ταῦτα συνεχέστερα εἶναι, ἀπρεπέστερά ἐστι. — (2) Τὰ δὲ εἰς τὸν ἀμφίβραχυν ἢ βακχεῖον· οἷον δίμετρα μὲν τὰ ἐξ Αἰολοσίκωνος Ἀριστοφάνους* (10)

*οὐκ ἐτός, ὦ γυναῖκες,*
*πᾶσι κακοῖσιν ἡμᾶς*
*φλῶσιν ἑκάστοτ' ἄνδρες·*
*δεινὰ γὰρ ἔργα δρῶσαι*
*λαμβανόμεσθ' ὑπ' αὐτῶν.*

3 *τὸ* — 8 *κρητικόν* Tract. Harl. (Dem. Tricl.) p. 22, 23—26 ‖ 3 Mar. Vict. VI 86, 4 sqq. ‖ 6 Serv. IV 463, 5 ‖ 10 Mar. Plot. VI 534, 14 ‖ 14 schol. in Hermog. Rh G VII 988, 9

2 *περὶ χοριάμβου D*, *περὶ τοῦ χοριαμβικοῦ μέτρου I* ‖ 3 *καὶ* om. *D* ‖ 5 *ἐς A* | *κατάκλειδα A* (semper) ‖ 8 *μὲν τὸ DI*, *μὲν οἷον A* ‖ 11 *τρίμετρον δὲ H* | *δὲ οἷον I* ‖ 14 *αἱ A*, *ἐκ* Rh G VII 988, 9 | *κυθερήας C*, *κυθερῆας AP*, *κυθερείας DI* Rh G ‖ 16 *οἷον* om. *I* ‖ 20 *ἑκάστοτ φλῶσιν*, sed litteris *β* et *α* suprascriptis corr. *D* ‖ 22 *λαμβανόμεθ' D*

*οὐ μόνον τὴν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα, ἀλλὰ καὶ τὴν ταῖς ἰαμβικαῖς ἑπομένην· ἔστι δὲ ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς τρίβραχυν.* [6

*(2) Καὶ ἔστιν ἐπίσημα ἐν αὐτῷ τάδε· πενθημιμερὲς μὲν τὸ καλούμενον δοχμιακόν, οἷον* 33

*κλύειν μαίεται* [61
*τὸν ἐγχώριον·*

*ἐφθημιμερὲς δὲ τὸ καλούμενον Φερεκράτειον* (79)

*ἄνδρες πρόσχετε τὸν νοῦν* [6
*ἐξευρήματι καινῷ*
*συμπτύκτοις ἀναπαίστοις.*

*δίμετρον δὲ ἀκατάληκτον τὸ καλούμενον Γλυκώνειον, αὐτοῦ Γλύκωνος εὑρόντος αὐτό* (fr. lyr. adesp. 79[a])

*κάπρος ἡνίχ' ὁ μαινόλης*
*ὀδόντι σκυλακοκτόνῳ*
*Κύπριδος θάλος ὤλεσεν·*

*δίμετρον δὲ ὑπερκατάληκτον τὸ καλούμενον Σαπφικὸν ἐννεασύλλαβον ἢ Ἱππωνάκτειον, οἷον* (Hipp. 92)

*καὶ κνίσῃ τινὰ θυμιήσας.*

*(3) Τῶν δὲ τριμέτρων τὸ μὲν καταληκτικὸν τὸ μόνην*

6 ad dochmiaca cf. praeter scholia Et. M. p. 285, 25. An. Ambros. A V I 233, 21. 234, 19. Ar. Quint. 26, 9. Mar. Vict. VI 88, 24. Mar. Plot. VI 538, 5. Quintil. IX 4, 97 ‖ 12 *συμπτύκτοις*] Mar. Plot. VI 515, 21 ‖ 13 schol. in Pind. Ol. I p. 13, 13 (et alibi). Caes. Bass. VI 259, 2 ‖ 15 Mar. Plot. VI 537, 23

1—2 *κατὰ τὸν πρῶτον πόδα D* (ut scholion in mg. scriptum) ‖ 6 *οἷον* om. *I* ‖ 7 *μαίεται D* schol.[A], *μαίετε AI* ‖ 8 *τὸ I* ‖ 10 *πρόσχετε I*, *προσέχετε AD* ‖ 11 *καὶ νῷ A* | eosdem versus affert p. 55, 11 ‖ 13 *δὲ* om. *D* ‖ 17 *θάλλος A* | *ὤλεσεν A*, *ὤλεσσεν DI* ‖ 20 *κνίση A*, *κνίσσῃ DI* | *θωμηίσας I* ‖ 21 *διμέτρων A*

*τὴν πρώτην ἀντισπαστικὴν ἔχον, τὰς δὲ ἑξῆς ἄλλας ἰαμβικὰς Φαλαίκειον καλεῖται, οἷον* (Kratin. 321)

*χαῖρ' ὦ χρυσόκερως βαβάκτα κήλων,*
*Πάν, Πελασγικὸν Ἄργος ἐμβατεύων·*

34 *τὸ δὲ ἀκατάληκτον τὸ μόνην τὴν τελευταίαν ἔχον ἰαμ-*
3] *βικὴν καλεῖται Ἀσκληπιάδειον, οἷον τὸ Ἀλκαίου* (33)

*ἦλθες ἐκ περάτων γᾶς, ἐλεφαντίναν*
*λαβὰν τῶ ξίφεος χρυσοδέταν ἔχων·*

*τὸ δὲ μέσην μὲν ἔχον τὴν ἀντισπαστικήν, τρεπομένην κατὰ τὸν ἕτερον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλά-*
4] *βου σχήματα, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς, ὧν ἡ πρώτη καὶ ἀπὸ σπονδείου ἄρχεται, Ἀλκαϊκὸν καλεῖται δωδεκασύλλαβον, οἷον* (Alc. 62)

*κόλπῳ σ' ἐδέξανθ' ἀγναὶ Χάριτες Κρόνῳ.*

*(4) Τῶν δὲ τετραμέτρων τὸ μὲν καταληκτικὸν καθαρόν ἐστι τὸ τοιοῦτον* (Sapph. 62)

*κατθνάσκει Κυθέρη' ἀβρὸς Ἄδωνις· τί κε θεῖμεν;*
*καττύπτεσθε κόραι καὶ κατερείκεσθε χιτῶνας·*

*τὸ δὲ τὴν δευτέραν ἰαμβικὴν ἔχον καλεῖται Πριάπειον, οἷον* (Anacr. 17)

2 Caes. Bass. VI 260, 32. Mar. Vict. VI 118, 10. 148, 9 sqq. Diom. I 509, 11. Oxyrh. pap. II 44 col. III et 45 col. VIII ‖ 6 Mar. Vict. VI 109, 1. At. Fort. VI 295, 19. 296, 9. Diom. I 508, 5. Oxyrh. pap. II p. 47 col. XIV ‖ 11 *ἀντισπαστικὸν ἑκατέρωθεν ἔχον τὰς ἰαμβικάς* schol. in Pind. Ol. I p. 15, 1 ‖ 19 Mar. Plot. VI 539, 10. At. Fort. VI 291, 24. Mar. Vict. VI 150, 32 sqq.

2 *καλεῖται φαλαίκειον* *D* ‖ 3 cf. Choer. 78, 4 *Κρατίνου ἐστί* | *βαβάκτα γάλλων* *I* ‖ 4 *πὰν* *D*, *παν* *A*, *πᾶν* *I* | *ἐμβατεύων* ultimum textus verbum in *D* ‖ 5 *τὸ ⟨μὲν⟩ μόνην* Studem. ‖ 9 *μὲν* om. *I* ‖ 10 *ἕτερον*] *πρότερον* Hotchkis | *τὰ* om. *IM*, add. $M^1$ | *δισυλλάβου* $M^1H$, *τετρασυλλάβου* *AI*; cf. p. 31, 18 ‖ 17 *κατθνάσκει* Hotchkis, *καταθνάσκει* (η supra ει) (sic) *AP*, *καταθνάσκει* rell. | *κύθερι* (ι ex η corr.) *A*, *κυθέρη* *CP*, *κυθέρει'* *IH* ‖ 18 *κατερείκεσθε* Pauw, *κατερύκεσθε* *AH*, *κατερρύκεσθε* *I* ‖ 19 *τὸ δὲ — πριάπειον* om. *I*, add. $M^1$ in mg.

*ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,* [61
*οἴνου δ' ἐξέπιον κάδον· νῦν δ' ἁβρῶς ἐρόεσσαν*
*ψάλλω πηκτίδα, τῇ φίλῃ κωμάζων † παιδὶ ἄβρῃ.*

*πολυσχημάτιστον μὲν οὖν αὐτὸ ποιοῦσιν, ἀλλὰ τό γε καθαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον. — (5) Ἔστι δὲ πυκνὸν καὶ τὸ τὴν δευτέραν μόνην ἀντισπαστικὴν ἔχον, ᾧ μέτρῳ ἔγραψεν ᾄσματα καὶ Σαπφὼ ἐπὶ † τῆς τοῦ* 35 *ἑβδόμου* (90)

*γλυκῆα μᾶτερ, οὔ τοι δύναμαι κρέκην τὸν ἴστον*
*πόθῳ δαμεῖσα παιδὸς βραδίναν δι' Ἀφροδίταν.*

*(6) Τὸ δὲ ἀκατάληκτον καλεῖται Σαπφικὸν ἑκκαιδεκασύλλαβον, ᾧ τὸ τρίτον ὅλον Σαπφοῦς γέγραπται,* [6 *πολλὰ δὲ καὶ Ἀλκαίου ᾄσματα* (85)

*Νύμφαις ταὶς Διὸς ἐξ αἰγιόχω φαῖσι τετυγμέναις.*

*Σιμίας δὲ καὶ τῷ ὑπερκαταλήκτῳ κέχρηται*

*τὸν στυγνὸν Μελανίππου φόνον αἱ πατροφόνων ἔριθοι,*

*ὅπερ καὶ καλεῖται Σιμιακόν. —*

*(7) Ὁ δὲ Ἀλκαῖος* (48[a]) *καὶ πενταμέτρῳ ἀκαταλήκτῳ ἐχρήσατο*

*Κρονίδα βασιλῆος γένος Αἶαν, τὸν ἄριστον πέδ' Ἀχιλλέα.*

4 Priapium . . . *πολυειδές* Diom. I 505, 18

1 *ἠρίστησα μὲν H* Athen. XI 472[e], *ἠριστήσαμεν AI* ‖ 2 *κάδδον I* ‖ 3 *κωμάζων I, κωμάζον A* | *παιδὶ ἀβρῇ AI, ποδὶ ἄβρῇ H*, in corruptela latet nomen proprium Wilam., *πάϊδ' ἀβρῇ* Hotchkis ‖ 7 *τῆς τοῦ A, τε τοῦ H, τοῦ C, τῆς P, τελευτῆς τοῦ* Bergk ‖ 9 *γλυκῆα A, γλυκεῖα IH* | *κρέκην A, κρέκειν IH* | *ἰστὸν A, ἱστὸν I* | 10 *βραδινὰν I* ‖ 11 *ἑξκαιδεκασύλλαβον AI* ‖ 14 *αἰγιόχω I, αἰγιόχου AH* | *φαῖσι AP, φασὶν C, φασὶ I* ‖ 21 *Αἴαν H* | *πέδ'* Casaub. (cf. Choer. 78, 14), *παῖδ'* codd.

## XI.

### *Περὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος.*

*(1) Τὸ δὲ ἀπὸ μείζονος ἰωνικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπί-*
7] *μικτον· ὅτε μέντοι ἀκατάληκτόν ἐστι, καθόλου σπανίως εἰς τὴν ἰωνικὴν περαιοῦται διὰ τὸ ἀπρεπῆ εἶναι τὴν ἰωνικὴν ἐπὶ τέλους οὖσαν.*

*(2) Ἔστι τοίνυν ἐπίσημα ἐν τῷ ἰωνικῷ ἑφθημιμερῆ μὲν τὰ τοιαῦτα, οἷς ἡ Τελέσιλλα* (1) *ἐχρήσατο,*

*ἅδ' Ἄρτεμις, ὦ κόραι,*
*φεύγοισα τὸν Ἀλφεόν,*

36 *καὶ δίμετρον ἀκατάληκτον τὸ καλούμενον Κλεομάχειον, ἐν ᾧ καὶ οἱ μολοσσοὶ ἐπὶ τῶν ἀρτίων χωρῶν ἐμπίπτουσι*
8] *καὶ οἱ χορίαμβοι, οἷον* (anthol. lyr. p. 504)

*τίς τὴν ὑδρίην ἡμῶν*
*ἐψόφησ'; ἐγὼ πίνων,*

*(3) καὶ τρίμετρα βραχυκατάληκτα τὰ καλούμενα Πραξίλλεια, ἃ τὴν μὲν πρώτην ἔχει ἰωνικήν, τὴν δὲ δευτέραν τροχαϊκήν, οἷά ἐστι τὰ τοιαῦτα Σαπφοῦς* (53)

*πλήρης μὲν ἐφαίνετ' ἁ σελάνα·*
*αἱ δ' ὡς περὶ βωμὸν ἐστάθησαν·*

*τὰ δὲ τρίμετρα ἀκατάληκτα διχῶς συνέθεσαν οἱ Αἰολεῖς· τὰ μὲν γὰρ ἐκ δύο ἰωνικῶν καὶ τροχαϊκῆς ἐποίησαν, οἷον* (Sapph. 54)

3—7 Tract. Harl. (Dem. Tricl.) p. 24, 15—17 ‖ 12 Mar. Vict. VI 89, 31. Mar Plot. VI 540, 17 ‖ 17 Mar. Vict. VI 91, 30. Mar. Plot. VI 538, 20. Oxyrh. pap. II p. 46 col. IX

2 *περὶ τοῦ ἀπὸ μείζονος ἰωνικοῦ I* ‖ 3 *δὲ* om. *H* ‖ 10 *ἅδ A*, *ἁ δ' I* ‖ 14 *οἷον* om. *I* ‖ 20 *ἐφαίνετ' ἅ* (sic) *A*, *ἐφαίνετ' ἁ I*, *ἐφαίνεθ' ἁ H* | *σελάννα* Bergk ‖ 21 *αἵ A* ‖ 23 *τροχαϊκῆς βάσεως H*

*Κρῆσσαί νύ ποθ' ὦδ' ἐμμελέως πόδεσσιν*
*ὤρχευντ' ἀπαλοῖσ' ἀμφ' ἐρόεντα βωμόν·*

*ἔνια δὲ ἐκ μιᾶς ἰωνικῆς καὶ δύο τροχαϊκῶν, οἷον* (Alc. 38)

*Τριβώλετερ· οὐ γὰρ Ἀρκάδεσσι λώβα.*

*(4) Τῶν δὲ τετραμέτρων ἐπισημότατόν ἐστι βραχυκατάληκτον τὸ καλούμενον Σωτάδειον· τοῦτο δὲ κατὰ τὰς τρεῖς χώρας δέχεται ἰωνικὴν συζυγίαν, ἢ τροχαϊκήν, ἢ τὴν ἐξ ἀναπαίστου καὶ πυρριχίου, ἢ τὴν ἐκ τριβράχεος καὶ τροχαίου, ἢ τὴν ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν, ἢ τὴν ἐξ ἓξ βραχειῶν, οἷον* [69

*Ἥρην ποτέ φασιν Δία τὸν τερπικέραυνον·* 37

*(5) καὶ τετράμετρα δὲ ἀκατάληκτα διαφόρως συνέθεσαν· ἢ γὰρ τρισὶν ἰωνικαῖς μίαν τροχαϊκὴν τὴν τελευταίαν ἐπήγαγον — καλεῖται δὲ Αἰολικόν, ὅτι Σαπφὼ πολλῷ αὐτῷ ἐχρήσατο — οἷον* (Sapph. 76. 77)

*εὐμορφοτέρα Μνασιδίκα τᾶς ἀπαλᾶς Γυρίννως· —*
*ἀσαροτέρας οὐδαμά πὤρανα σέθεν τυχοῖσαν·*

*(παρατηρεῖν δὲ χρή, ὅτι τὴν πρώτην συζυγίαν καὶ ἀπὸ βραχείας ἀρχομένην ποιοῦσιν, ὥσπερ καὶ ἐν τοῖς τριμέτροις* (Sapph. 54, 3) [70

*πόας τέρεν ἄνθος μαλακὸν μάτεισαι·)*

*ἐνίοτε δὲ ἐναλλὰξ τὰς ἰωνικὰς ταῖς τροχαϊκαῖς παρα-*

7 Demetr. de eloc. p. 41, 20. Dion. Hal. de comp. verb. c. IV p. 17, 1. Mar. Vict. VI 84, 25 || 12 Oxyrh. p. II p. 45 col. VII

1 *οὖδ' A*, fort. ab *A*[1] in *ωδ* corr. || 2 *ὠρχεῦντ' ἀπαλοῖσ AH*, *ὠρχεῦνθ' ἀπαλοῖσ I* || 5 *τριβωλέτερ' I* || 6 *τὸ βραχυκατάληκτον H* || 10 *τροχαίου H*, *τροχαικοῦ AI* || 11 *οἷον* om. *I* || 12 *Ἤρην I* | *φάσιν A*, *φασὶ I* || 14 fort. post *ἢ γὰρ* nonnulla interciderunt; cf. Tricha p. 293, 13 || 18 *ἀσαροτέρασουδαμ' ἀ. πὤρανα A*, *ἀσσαροτέρας οὐδάμαπ' ὤρανα I* | *τύχοισα* Bergk cf. ad versum 14 Choer. 80, 10 || 22 *μάτοισαι H* || 23 *παραλαμβάνουσιν*] *παραλλάττουσιν*? Studem.

*λαμβάνουσιν, ἀντὶ μὲν τῶν ἰωνικῶν ἔσθ' ὅτε τὰς δευτέρας παιωνικὰς παραλαμβάνοντες, ἀντὶ δὲ τῶν*
1] *ἑξασήμων τροχαϊκῶν ἔσθ' ὅτε τὰς ἑπτασήμους τροχαϊκάς, οἷον* (Sapph. 52)

*δέδυκε μὲν ἁ σελάννα καὶ πληιάδες· μέσαι δὲ*
*νύκτες, παρὰ δ' ἔρχεθ' ὤρα· ἐγὼ δὲ μόνα*
*καθεύδω.*

## XII.

### *Περὶ τοῦ ἀπ' ἐλάσσονος ἰωνικοῦ.*

*(1) Τὸ δὲ ἀπ' ἐλάσσονος ἰωνικὸν συντίθεται μὲν καὶ*
18 *καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς [διποδίας] οὕτως, ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς ἀεὶ γίνεσθαι πεντάσημον, τουτέστι τρίτην παιωνικήν, καὶ τὴν τροχαϊκήν, ὁπόταν προτάττοιτο τῆς ἰωνικῆς, γίνεσθαι ἑπτάσημον [τροχαϊκήν], τὸν καλούμενον δεύτερον ἐπίτριτον· ἔσθ' ὅτε δὲ ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον, τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν· ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν ἐν τοῖς ἀπ' ἐλάσσονος ἰωνικοῖς, ὥσπερ ἐν τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων.*

*(2) Καὶ ὅλα μὲν οὖν ᾄσματα γέγραπται ἰωνικά, ὥσπερ Ἀλκμᾶνι* (85[a])

10—21 Tract. Harl. (Dem. Tricl.) p. 25, 9—15 ‖ 10 Diom. I 506, 1—7. Mar. Vict. VI 93 ‖ 11 *ἐπίμικτον* Mar. Vict. VI 95, 8

4 *οἷον* om. *I* ‖ 5 *σελάννα* Bergk, *σελάνα* (sic) *A*, *σελάνα* rell. | *πληιάδες AH*, *πλειάδες I* | *μέσαι I*, *μέσσαι M* ‖ 10 *δὲ* om. Tract. Harl. ‖ 12 *διποδίας* seclusi ‖ 13 *τρίτην παιωνικὴν*] usitatius *τρίτον παιῶνα* (cf. Io. Tzetz. A O III 314, 3, schol.[A]), sed cf. infra v. 16 et 44, 23 ‖ 15 *τροχαϊκήν* seclusi ‖ 21 *τῶν* om. *I*

*Ἐκατὸν μὲν Διὸς υἱὸν τάδε Μῶσαι κροκόπεπλοι,*

*Σαπφοῖ* δὲ (88) [7

*τί με Πανδιονὶς ὤραννα χελιδών,*

*Ἀλκαίῳ* δὲ πολλά, ὥσπερ καὶ τόδε (59)

*ἔμε δείλαν, ἔμε πάσαν κακοτάτων πεδέχοισαν.*

(3) Τῶν δὲ ἐν τῷ μέτρῳ μεγεθῶν τὸ μὲν ἐπισημότατόν ἐστι τὸ τετράμετρον καταληκτικόν, οἷόν ἐστι τὸ Φρυνίχου τοῦ τραγικοῦ τουτί (14)

*τό γε μὴν ξείνια δούσαις, λόγος ὥσπερ λέγεται,*
*ὀλέσαι, κἀποτεμεῖν ὀξέϊ χαλκῷ κεφαλάν,*

καὶ παρὰ Φρυνίχῳ τῷ κωμικῷ (70) 39

*ἃ δ' ἀνάγκα 'σθ' ἱερεῦσιν καθαρεύειν φράσομεν·*

τοῦτο μέντοι καὶ γαλλιαμβικὸν καὶ μητρῳακὸν [καὶ ἀνακλώμενον] καλεῖται — ὕστερον δὲ ⟨καὶ⟩ ἀνακλώ- [7
μενον ἐκλήθη — διὰ τὸ πολλὰ τοὺς νεωτέρους εἰς τὴν μητέρα τῶν θεῶν γράψαι τούτῳ τῷ μέτρῳ (ἐν οἷς καὶ τὰ τοὺς τρίτους παιῶνας ἔχοντα καὶ παλιμβάκχειον καὶ τὰς τροχαϊκὰς ἀδιαφόρως παραλαμβάνουσι πρὸς τὰ καθαρά), ὡς καὶ τὰ πολυθρύλητα ταῦτα παραδείγματα δηλοῖ (fr. lyr. ad. 121)

14 Io. Tzetz. AO III 314, 10. Trich. 297, 18. Mar. Vict. VI 95, 25. 154, 18. Ter. Maur. VI 410 v. 2885

1 *ἑκατὸν A*, *ἑκατὸν I*, *ἕκατον* Ursin. ‖ 3 *ὠράνα* codd., corr. Is. Voss. ‖ 5 *πᾶσαν* codd., *πασᾶν* Turn. | *πεδ' ἔχοισαν C*, *π*$^{\varepsilon}$*αῖδ' ἔχοισαν A*, *παῖδ' ἔχοισαν IH* ‖ 9 *δούσας* Hermann ‖ 10 *κἀποτεμεῖν* Dorville, *καὶ ποτέμιν* codd. ‖ 11 *κωμι* ab *A*² in rasura; fuerat *τραγι* ‖ 12 *ἁ δ' ἀνάγκα 'σθ'* Tyrwhitt, *ἃ* (*ἁ I*) *δ' ἀνάγκασθ'* codd., *ἃ δ' ἄναγν' ἔσθ'* Nauck ‖ 13 *γαλιαμβικὸν* codd. | *καὶ ἀνακλώμενον* del. Gaisf. ‖ 14 *καὶ* addidi ‖ 14 *τὸ* post *δὲ* et 15 *μητρῳακὸν* post *ἐκλήθη* add. Westph., qui verba 14 *ὕστερον* — 16 *μέτρῳ* ut glossema seclusit ‖ 17 *τοὺς ⟨δευτέρους ἐπιτρίτους καὶ⟩ τρίτους* Arnaldus | *καὶ* (alt.)] *ἢ* Studem. ‖ 19 *παραδείγματα* del. Wilam. (Herm. 14, 196) ‖ 20 *δηλοῖ* Pauw, *δῆλον A*, *δῆλα I*

*Γαλλαὶ μητρὸς ὀρείης φιλόθυρσοι δρομάδες,*
*αἷς ἔντεα παταγεῖται καὶ χάλκεα κρόταλα.*

[74] *(4) Καὶ τῷ βραχυκαταλήκτῳ δὲ Ἀνακρέων ὅλα ᾄσματα συνέθηκεν* (47)

*μεγάλῳ δηὖτέ μ' ἔρως ἔκοψεν ὥστε χαλκεὺς*
*πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.*

*Τῶν δὲ τριμέτρων τὸ μὲν ἀκατάληκτον* (Sapph. 87)

*† ζαελεξάμαν ὄναρ Κυπρογενήᾳ*

*παρὰ τῇ Σαπφοῖ, παρὰ δὲ Ἀνακρέοντι* (50) *ἑτέρως ἐσχημάτισται*

40 *ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη*
*λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.*

[75] *τὸ δὲ καταληκτικόν* (Anacr. 55)

*Διονύσου σαῦλαι βασσαρίδες.*

[76] *(5) Τὸ δὲ ⟨δίμετρον τὸ⟩ ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι* (61)

*παρὰ δηὖτε Πυθόμανδρον*
*κατέδυν ἔρωτα φεύγων·*

*τῷ δὲ καθαρῷ ἐφθημιμερεῖ ὅλον ᾆσμα Τιμοκρέων συνέθηκε* (6)

*Σικελὸς κομψὸς ἀνὴρ*
*ποτὶ τὰν ματέρ' ἔφα.*

18 Timocratium Serv. IV 464, 15

1—2 Callimachi esse cens. Wilam. coll. Choer. 81, 23 ‖ post 2 exempla tertii paeonis vel palimbacchii cum ditrochaeo mixti intercidisse putat Westph. ‖ 8 *προςελεξάμαν I, προςεδεξαμαν* (δ corr. in λ) *H, ζὰ δ' ἐλεξάμαν* Ahrens | *Κυπρογενήᾳ* Bentley, *Κυπρογέννα A, Κυπρογενεία IH* ‖ 9 *ἑτέρως ἐσχημάτισται*] sed nihil fere interest inter 8 et 11. 12, quapropter vv. *ἑτέρ. ἐσχ.* post *καταληκτικόν* (13) pos. Wilam. ‖ 12 *οὐδάμα A, οὐδαμᾶ I, οὐδ' ἅμα MH* ‖ 14 *σαῦλαι* Micyllus coll. p. 37, 19 ‖ 15 *δίμετρον τὸ* inser. Mehlhorn; cf. Trich. 296, 2 ‖ 17 *Πυθόμανδρον*] *πυθόμαν δὲ I* ‖ 19 *καθαρῶ A, καθαρῶς I*

## XIII.

### *Περὶ παιωνικοῦ.* [77]

*(1) Τὸ δὲ παιωνικὸν εἴδη μὲν ἔχει τρία, τό τε κρητικὸν καὶ τὸ βακχειακὸν καὶ τὸ παλιμβακχειακόν· ὃ καὶ ἀνεπιτήδειόν ἐστι πρὸς μελοποιΐαν, τὸ δὲ κρητικὸν ἐπιτήδειον· δέχεται δὲ καὶ λύσεις τὰς εἰς τοὺς καλουμένους παιῶνας· καλεῖται δὲ καὶ ὑπ' αὐτῶν τῶν* [78] *ποιητῶν κρητικόν, ὥσπερ ὑπὸ Κρατίνου ἐν Τροφωνίῳ* (222)

*ἔγειρε δὴ νῦν, μοῦσα, κρητικὸν μέλος,*

*εἶτα ἐπιφέρει* (222)

*χαῖρε δή, μοῦσα· χρονία μὲν ἥκεις, ὅμως δ'*
*ἦλθες οὐ πρίν γε δεῖν, ἴσθι σαφές· ἀλλ' ὅπως.*

*(2) Ἐπιτηδεύουσι δὲ ἔνιοι τῶν ποιητῶν τοὺς πρώτους* 41 *καλουμένους παιῶνας παραλαμβάνειν πλὴν τῆς τελευταίας χώρας, εἰς ἣν τὸν κρητικὸν παραλαμβάνουσιν· οὕτω γοῦν τὸ πολυθρύλητον τετράμετρον συντιθέασιν, οὗ παραδείγματα ἐκ τῶν Ἀριστοφάνους Γεωργῶν* (110)

*ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική,*
*χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς χθονός.*

3 Mar. Vict. VI 96, 14. 31. Diom. I 501, 19. 506, 9. *παῖανος δύο εἴδη* Aristot. rhet. III 8 p. 190, 12 (R.); Cic. orat. 218. Dion. Hal. de comp. verb. c. XXV p. 130, 10 *κρητικὸν ῥυθμόν, εἴτ' ἄρα παιᾶνά τις βούλεται ... καλεῖν* sqq. — schol. Pind. Ol. I p. 15, 6 ‖ 3—9 *κρητικόν* Tract. Harl. (Dem. Tricl.) p. 26, 1—4 ‖ 10 Mar. Plot. VI 542, 20 ‖ 18 Diom. I 506, 11 ‖ 20 At. Fort. VI 291, 1. Mar. Plot. VI 542, 30

2 *περὶ τοῦ παιωνικοῦ μέτρου I* ‖ 3 *δὲ* om. Tract. Harl. ‖ 4 *καὶ* (primum) om. Tract. Harl. | *καὶ* (tertium) ] *μέντοι* Studem., fort. *ὅπερ* ‖ 6 *τὰς* om. excerpt. Paris. ‖ 8 *κρατίνῳ I* ‖ 13 *πρίν γε δεῖν* Porson, *πρίν ἐλθεῖν A*, *πρὶν ἐλθεῖν* rell. ‖ 16 *τὸν*] *τὸ I* ‖ 18 *παραδείγματα*] *παράδειγμα τὰ* Caesar

*(κέχρηται δὲ αὐτῷ καὶ ἐν ἄλλοις δράμασιν ὁ Ἀριστοφάνης καὶ ἐν Σφηξίν* (1275)

*ὦ μακάρι' Αὐτόμενες ὥς σε μακαρίζομεν,*

*καὶ Εὔπολις ἐν Κόλαξι* (160)

79] *φημὶ δὲ βροτοῖσι πολὺ πλεῖστα παρέχειν ἐγὼ*
*καὶ πολὺ μέγιστ' ἀγαθά· ταῦτα δ' ἀποδείξομεν·)*

*(3) ὅμως δ' ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης ἐποίησέ ⟨που⟩ τὸν τέταρτον παιῶνα ἀντὶ τοῦ πρώτου, οὐ τηρήσας τὸ πρῶτον †παρατήρημα,* (111)

*ἐν ἀγορᾷ δ' αὖ πλάτανον εὖ διαφυτεύσομεν.*

*ἐν δὲ ταῖς δευτέραις Θεσμοφοριαζούσαις* (334) *καὶ κρητικοὺς πολλάκις ἐν μέσοις τοῖς τετραμέτροις παρέλαβεν*

*μήτε Μούσας ἀνακαλεῖν ἑλικοβοστρύχους*
*μήτε χάριτας βοᾶν εἰς χορὸν Ὀλυμπίας·*
*ἐνθάδε γάρ εἰσιν, ὥς φησιν ὁ διδάσκαλος.*

42 *Σιμίας δὲ ἐπετήδευσεν ἔν τισι ποιήμασι τοὺς πλεί-*
80] *στους κρητικοὺς παραλαμβάνειν,*

*μᾶτερ ὦ ποντία κλῦθι νυμφᾶν ἁβρᾶν*
*Δῶρι, κυμοκτύπων ἥραν' ἁλίων μυχῶν,*

*καὶ πάλιν*

*σοὶ μὲν εὔιππος εὔπωλος ἐγχέσπαλος*
*δῶκεν αἰχμὰν Ἐνυάλιος εὔσκοπον ἔχειν.*

*(4) ἓν δὲ ποίημα ἐπετήδευσε συνθεῖναι, ὥστε ἀμφοτέρας τὰς ἑκατέρωθεν τοῦ κρητικοῦ μακρὰς λύσας τὸν ἐκ πέντε βραχειῶν παραλαμβάνειν πλὴν τῆς τελευταίας,*

1—2 om. *IM* ‖ 3 *μάκαρι I* | *ὡς I* ‖ 4 *καὶ] τούτω μὲν οὖν τῶ ὑστάτω κέχρηται Ἀριστοφάνης καὶ ἐν ἄλλοις δράμασι καὶ ἐν σφηγξίν· ἀλλὰ καὶ IM* | *IM* add. *φησὶ γοῦν οὕτωσ* ‖ 5 *πολὺ* in mg. add. $I^1$ ‖ 7 *ἐποίησέν που* Choer.[U], *ἐποίησε* codd. ‖ 9 *παράδειγμα?* Wissowa; exspectes *ἐπιτήδευμα* Wilam. ‖ 11 *δευτέραις* Hemsterhus., *προτέραις* codd. ‖ 14 *ἑλικοβοστρύχους AI* ‖ 15 *ἐς I* ‖ 19 *ποντία* Wilam., *πότνια* codd. | *νυμφᾶν ἁβρᾶν I*, *νύμφαν ἁβράν A* ‖ 20 *ἥραν'* Salmasius, *ἦραν* codd. ‖ 23 *δῶκεν* Turn., *ἔ. δωκεν A* (ut *ἔ* extrema litt. sit versus anteced.), *ἔδωκεν* rell. ‖ 25 *λύσεις I*

*ἐφ' ἧς τὸν τέταρτον παραλαμβάνει παιῶνα· — ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τῆς παρατελεύτου κέχρηται· —*

*σέ ποτε Διὸς ἀνὰ πύματα νεαρὲ κόρε νεβροχίτων.*

*συντιθέασι δέ τινες καὶ ἑτέρῳ τρόπῳ τὸ τετράμετρον, ὥστε τρεῖς εἶναι τοὺς καλουμένους τετάρτους παιῶνας, εἶτα τελευταῖον τὸν κρητικόν* (fr. lyr. ad. 107)

*θυμελικὰν ἴθι μάκαρ φιλοφρόνως εἰς ἔριν.*

(5) *Ὧι δὴ ἔφαμεν* (40, 14) *τρόπῳ συνεχῶς κεχρῆσθαι αὐτοὺς ἐπὶ τοῦ τετραμέτρου, ὥστε τοῖς τρισὶ παιῶσι τοῖς πρώτοις ἐπάγειν κρητικόν, τούτῳ καὶ ἐπὶ τοῦ πενταμέτρου Θεόπομπος ὁ κωμικὸς ἐχρήσατο ἐν Παισίν* (38), *ἀφ' οὗ καὶ Θεοπόμπειον καλεῖται,*

*πάντ' ἀγαθὰ δὴ γέγονεν ἀνδράσιν ἐμῆς ἀπὸ<br>συνουσίας.*

(6) *Δύναται δὲ καὶ μέχρι τοῦ ἑξαμέτρου προκόπτειν τὸ μέτρον διὰ τὸ τὸ τριακοντάσημον μὴ ὑπερβάλλειν, καὶ* 4 *εἴη ἂν ἑξάμετρον καταληκτικὸν τὸ καλούμενον . . . . . . τὸ τοῦ Ἀλκμᾶνος ἐκ μόνων ἀμφιμάκρων* (Alcm. 38)

*Ἀφροδίτα μὲν οὐκ ἔστι, μάργος δ' Ἔρως οἷα<br>⟨παῖς⟩ παίσδει<br>ἄκρ' ἐπ' ἄνθη καβαίνων, ἃ μή μοι θίγῃς, τῶ<br>κυπαιρίσκω.*

(7) *Δεδηλώσθω δὲ ὅτι καὶ ὅλα ᾄσματα κρητικὰ συντίθεται, ὥσπερ καὶ παρὰ Βακχυλίδῃ* (31 = 16 Blass)

*ὦ Περικλειτὲ δᾶλα ἀγνοήσειν μὲν οὔ σ' ἔλ-<br>πομαι·*

1 *οἷς I* | verba 1 *ἔσθ* — 2 *κέχρηται* delenda aut post 3 ponenda censuit Studem. ‖ 2 *παρατελευταίου I* ‖ 9 *τρισὶ* del. Skutsch ‖ 15 *ἑξαμέτρου*] litt. *ἑξ* in *A* in rasura, in qua fuerat *τετρα* ‖ 16 *δια τὸ τὸ IH*, alter. *τὸ* om. *A* ‖ 17 lacunam indicavi; intercidit nomen; verba *τὸ καλ.* del. Westph. ‖ 20 *παῖς* add. Bentley | *παίσδει* (η suprascr.) *A* ‖ 21 *ἄνθη H*, *ἄνθης A*, *ανθης I* ‖ 22 *τῶ κυπαιρίσκωι A* ‖ 24 *βακχυλλίδηι A* ‖ 25 *δᾶλα* Wilam., *δ' ἄλλ'* codd., *Περίκλειτε τἄλλ'* Bergk

*(8) Τὸ δὲ βακχειακὸν σπάνιόν ἐστιν, ὥστε, εἰ καί πού ποτε ἐμπέσοι, ἐπὶ βραχὺ εὑρίσκεσθαι, οἷον* (Aeschyl. 23)

*ὁ ταῦρος δ' ἔοικεν κυρίξειν † τιν' ἀρχὰν*
*φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν —†*

*Τοσαῦτα περὶ τῶν ἐννέα τῶν μονοειδῶν καὶ ὁμοιοειδῶν.*

## XIV.

### *Περὶ τῆς κατ' ἀντιπάθειαν μίξεως.*

*(1) Τῆς δὲ κατ' ἀντιπάθειαν μίξεως νῦν τὰ πυκνότατα παραθησόμεθα.*

83] *Ἐπιχοριαμβικὸν μὲν οὖν τὸ Σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον, οἷον* (Sapph. 1)

*Ποικιλόθρον' ἀθανάτ' Ἀφρόδιτα·*

44 *τοῦτο δὲ τὴν μὲν πρώτην συζυγίαν ἔχει τροχαϊκὴν ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν χοριαμβικήν, τὴν δὲ κατάκλειδα ἐξ ἰάμβου καὶ τῆς ἀδιαφόρου· ὥστε εἶναι τὰ πάντα δύο σχήματα περὶ τὴν τετάρτην συλλαβήν, πῆ μὲν βραχεῖαν γινομένην, πῆ δὲ μακράν. θάτερον μὲν οὖν σχῆμα, τὸ*

*Ποικιλόθρον', ἀθανάτ' Ἀφρόδιτα*

*πρόκειται· θάτερον δέ* (Sapph. 1, 5)

*ἀλλὰ τυίδ' ἔλθ' αἴ ποτα κἀτέρωτα·*

5 *ὁμοειδῆ* Dion. Hal. de comp. verb. c. 26 p. 136, 14; cf. Mar. Vict. VI 64, 25—29. Ar. Quint. 36, 9 ‖ 9 *κατ' ἀντιπάθειαν μέτρα δύο* Ar. Quint. p. 36, 15. Mar. Vict. VI 102, 9 sqq. Mar. Plot. VI 546, 1 ‖ 11 *Σαπφικὸν ἑνδεκασύλλαβον* schol. Aristoph. Nub. 1303 (Heliod.) ‖ 22 Prisc. GL II 28, 15

3 *ἔοικε A* | *κυρίξειν* Turn., *κηρύξειν A*, *κυρίζειν I* | *τίν' I* ‖ 12 *οἷον* om. *I* ‖ 13 *ποικιλόφρων* Choer.[K] | *ἀθανάτ' AI*, *ἀθάνατ' H* | *ἀφρόδιτα* scripsi coll. Choer. 85, 19—22, *ἀφροδίτα* codd. ‖ 14 *δὲ* om. *I* ‖ 20 *ἀφροδίτα* codd. ‖ 22 *ἐλθ A* | *ποτε I* | *κἀτέρωτα A*, *κατ' ἔρωτα I*: perverse Choer. 86, 15 *κἀτ' ἔρωτα*

ὥστ' εἶναι τὸν κανόνα τοιοῦτον,

βαβα βααβ αββ^α^

βαββ βααβ αβα^β^

ἔστι δὲ καὶ παρ' Ἀλκαίῳ — καὶ ἄδηλον ὁποτέρου ἐστὶν εὕρημα, εἰ καὶ Σαπφικὸν καλεῖται — οἷον (Alc. 5, 1) [

χαῖρε Κυλλάνας ὃ μέδεις, σὲ γάρ μοι.

τοιούτοις χρῶνται τρισὶν εἰς ἑκάστην στροφήν· εἶτα ἐπιφέρουσι τὸ τέταρτον πεντασύλλαβον, χοριαμβικὸν πενθημιμερές, συνεμπῖπτον δακτυλικῷ τῷ εἰς δεύτερον τροχαῖον, οἷόν ἐστι τὸ (Sapph. 1, 4)

πότνια θυμόν.

*(2)* Τοῦτο μὲν οὖν ἀπὸ τροχαϊκῆς ἐστὶν ἐπιχοριαμβικόν, ἀπὸ δὲ ἀντισπαστικῆς τὸ καλούμενον Πινδαρικὸν ἑνδεκασύλλαβον, ὃ τὴν μὲν πρώτην ἀντισπαστικὴν ἔχει, τὰ δὲ λοιπὰ ὁμοίως τῷ Σαπφικῷ χοριαμβικὴν καὶ ἰαμβικὴν κατάκλειδα, οἷον 4

Ὁ Μουσαγέτας με καλεῖ χορεῦσαι (Pind. fr. 116) —

ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ (Pind. fr. 117).

*(3)* Ἐπιωνικὸν δὲ ἀπὸ μείζονος τρίμετρον καταληκτικόν ἐστι, τὸ καλούμενον Ἀλκαϊκὸν ἑνδεκασύλλαβον, ὃ τὴν μὲν πρώτην συζυγίαν ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἀπὸ μείζονος ἢ δευτέραν παιωνικήν, τὴν δὲ κατάκλειδα ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου, οἷον

5—6 cf. Is. Tzetz. AP I 122, 27—28 ‖ 9 Mar. Plot. VI 516, 22

2 β^α^]β *AI* ‖ 3 αβα^β^] αβα *I*, βα·αα *A* ‖ 4 ἀλκαίῳ ex corr. *M*, Ἀλκαιῶνι *A*, ἀλκαίωνι *I* | ἄδηλον *I* (Is. Tzetz.), δῆλον *A* ‖ 5 εἰ καὶ *H* (Is. Tzetz.), καὶ εἰ *AI* Choer. ‖ 9 vv. τῷ — 10 τροχαῖον in Choerobosci codd. (87, 19) non fuisse videntur ‖ 7 τὸ τοιοῦτον *I* ‖ 14 ὃ] ὃ καὶ Choer.[K], ὅτι Choer.[U], sed cf. v. 21. 45, 16. 46, 5 ‖ 16 οἷον om. *I* ‖ 18 ἄγεις *I* ‖ 19 ἀπὸ μείζονος om. *I* ‖ 24 οἷον om. *I*

35] *ὦ' ναξ Ἄπολλον, παῖ μεγάλω Δίος* (Alc. 1) —
*Μέλαγχρος αἰδῶς ἄξιος εἰς πόλιν* (Alc. 21).

ὥστε εἶναι σχήματα μὲν αὐτοῦ τέσσαρα, κανόνα δὲ τοιόνδε·

αβαβ ββαα βαα$^β$
ββαβ ββαα βαα$^β$
αβαβ αβαα βαα$^β$
ββαβ αβαα βαα$^β$

*(4)* Τρίμετρον δὲ ἀκατάληκτον τὸ τούτου περιττεῦον συλλαβῇ τῇ τελευταίᾳ, καλούμενον δὲ Ἀλκαϊκὸν δωδεκασύλλαβον, οἷον (Alc. 55)

*ἰόπλοκ', ἀγνά, μελλιχόμειδε Σαπφοῖ,*

οὗ κανὼν οὗτος.

46 αβαβ ββαα βαβα$^β$
ββαβ αβαα βαββ$^α$

36] *(5)* Τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικόν, ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἢ δευτέραν παιωνικήν, τὴν δὲ τρίτην τροχαϊκὴν ἑξάσημον ἢ ἑπτάσημον, εἶτα τὴν ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου κατάκλειδα, οἷον

*τοοῦτος εἰς Θήβας πάϊς ἀρμάτεσσ' ὀχήμενος*
(fr. lyr. ad. 51) —
*Μᾶλις μὲν ἔννη λεπτὸν ἔχοισ' ἐπ' ἀτράκτῳ λίνον*
(fr. lyr. ad. 52).

1 At. Fort. VI 297, 10. Epimer. Hom. A O I 208, 17

2 *αἰδῶσ* (superscript ο) (i. e. *αἰδοῦσ?*) *A*, *αἰδὼς I* | *εἰς P*, *ἐσ ACI* ‖ 5 (exit.) *βαα I* ‖ 6 *βαα$^β$*] *βαβ I*, *βα:βα A* ‖ 7 (exit.) *βαα I* ‖ 11 *οἷον* om. *I* ‖ 12 *μελλιχόμειδε* a pr. m. corr. ex *μελλιχόμειδες A*, *μελλιχόμειδες CP* ‖ 14 *α$^β$*]*α AI* ‖ 15 *βαββ$^α$*] *βαβαβ I* ‖ 20 *τῆς*] om. *A* ‖ 22 *τοοῦτος* Wilam., *τεοῦτος A*, *τοιοῦτος* rell. | *ἀρμάτεσσι* codd. | *ὀχημένος* $M^2$, *χήμενος* $AIM^1H$ ‖ 24 *μᾶλις C*, *μάλις A*, *μόλις I* | *ἀπ' I* | *ἀτράκτωι A* | *λῖνον AI*

*κανὼν δὲ αὐτοῦ*

*αβαβ ββαα βαβα βαα*$^{\beta}$
*ββαβ αβαα βαββ βαβ*$^{\alpha}$.

*(6) Ἀπ' ἐλάσσονος δὲ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτόν ἐστι παρ' Ἀλκμᾶνι, ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικὴν ἑξάσημον ἢ ἑπτάσημον, τὰς δὲ ἑξῆς δύο ἰωνικὰς ἑξασήμους καθαράς, οἷον*

*περισσόν. αἲ γὰρ Ἀπόλλων ὁ Λύκηος* (Alcm. 83) —
*Ἰνὼ σαλασσομέδοισ' ἂν ἀπὸ μάσδων* (Alcm. 84).

*κανὼν δὲ αὐτοῦ*

*αβαβ ααββ ααββ*$^{\alpha}$
*ββαβ ααββ ααββ*$^{\alpha}$.

*(7) Καθαροῦ μὲν ὄντος τοῦ ἰωνικοῦ τοῦτο· ἀνακλωμένου δὲ ὄντος αὐτοῦ, προταχθεῖσα ἰαμβικὴ ἑξά-* [ *σημος ἢ ἑπτάσημος ποιεῖ τὸ τοιοῦτον, οἷον παρὰ Σαπφοῖ*

*ἔχει μὲν Ἀνδρομέδα καλὰν ἀμοιβάν* (58) — 4
*Ψάπφοι τί τὰν πολύολβον Ἀφροδίταν* (59)·

*κανὼν δὲ αὐτοῦ*

*αβαβ ααβα βαββ*$^{\alpha}$
*ββαβ ααβα βαββ*$^{\alpha}$.

1—3 om. *IM*$^{1}$ ‖ 2 *βα βαα*$^{\beta}$] *βα*$^{\beta}$ *A* ‖ 3 in *A* non sunt nisi haec *βα:βα:βα* ‖ 4 *ἀκατάληκτον* om. *I* ‖ 9 *σαλασσομέδοισ' ἂν* Porson, *σαλασσομέδοισὰν A*, *σάλας ὁμέδοισαν I* | *ἀπομάσδων AIM* ‖ 10 *αὐτοῦ οὗτος I* ‖ 11 in fine *ααββ I* ‖ 12 in fine *ααβα I* ‖ 14 *ἰαμβική*] *ἰαμβικὴ ἤτοι I* ‖ 17 *ἀνδρομέδα καλὰν H*, *ἀνδρομέδαν καλὰ AI* ‖ 18 *σαπφοῖ I* | *τι τάν I* ‖ 19 post *αὐτοῦ* add. *ὅδε I*, *οὗτος H*

32 τοῦτο δὲ καὶ ἀλαζονεύεται εὑρηκέναι Φίλικος λέγων

καινογράφου συνθέσεως τῆς Φιλίκου, γραμματικοί, δῶρα φέρω πρὸς ὑμᾶς·

ψεύδεται δέ· πρὸ γὰρ αὐτοῦ Σιμμίας ὁ Ῥόδιος ἐχρήσατο ἔν τε τῷ Πελέκει

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ,

κἀν ταῖς Πτέρυξιν

λεύσσετε τὸν γᾶς τε βαθυστέρνου ἄνακτ' Ἀκμονίδαν τ' ἄλλυδις ἑδράσαντα,

πλὴν εἰ μὴ ἄρα ὁ Φίλικος οὐχ ὡς πρῶτος εὑρηκὼς τὸ [59] μέτρον λέγει, ἀλλ' ὡς πρῶτος τούτῳ τῷ μέτρῳ τὰ ὅλα ποιήματα γράψας.

## X.

### *Περὶ ἀντισπαστικοῦ.*

(1) Τὸ ἀντισπαστικὸν τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα, τὰς δ' ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς, τὴν δὲ τελευταίαν, ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν. Ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς,

16 Mar. Vict. VI 88, 4 sqq. (Iuba). At. Fort. VI 288, 18. Mar. Plot. VI 537, 16. Diom. I 505, 13 ‖ 16—p. 32, 4 Tract. Harl. (Dem. Tricl.) p. 23, 17—21

1 φίληκος *I* ‖ 2 καινογράφου Blomfield; idem coni. Kaibel Oxyrh. pap. II p. 45, col. VII, καινογραφοῦσ codd. | φιλήκου (suprascr. ab *I'*: ι) *I* ‖ 4 καὶ γὰρ πρὸ *I* ‖ 5 τε om. *D* | πελύκει *I* ‖ 9 λεύσσετε Turn., λεύσετε codd., λεῦσσέ με Anth. Pal. XV 24; cf. Haeberlin: Carm. fig. Gr. p. 69 | βαθυστέρνου *H*, βαθύστερνον rell. ‖ 10 τ' ἄλυδις *DI*, ἄλλυδις *A* | ἑδράσαντα *D*, δράσαντα *A*, ἑδράσαντο *I* ‖ 12 an τὰ delendum? ‖ 15 περὶ τοῦ ἀντισπαστικοῦ μέτρου *I* ‖ 16 τὸ δὲ Choer.[U]

ὥστ' εἶναι τὸν [illegible] τοιοῦτον,

βεβα βααβ αββ^a
βεββ βααβ αβα^3

ἔστι δὲ καὶ παρ' Ἀλκαίῳ — καὶ ἄδηλον ὁποτέρου ἐστὶν εὕρημα, εἰ καὶ Σαπφικὸν καλεῖται — οἷον (Alc. 5, 1) [8

χαῖρε Κυλλάνας ὁ μέδεις, σὲ γάρ μοι.

τοιούτων γραφέντων τρισὶν εἰς ἑκάστην στροφήν· εἶτα [illegible] τὸ τέταρτον πεντασύλλαβον, χοριαμβικὸν [illegible] συνεκπῖπτον δακτυλικῷ τῷ εἰς δεύτερον [illegible], οἷον ἐστὶ τὸ (Sapph. 1, 4)

πότνια θῦμον.

[illegible] ἐστὶν ἐπιχοριαμβικόν, ἔστι δὲ [illegible] τὸ καλούμενον Πινδαρικὸν [illegible], ὃ τὴν μὲν πρώτην ἀντισπαστικὴν ἔχει, [illegible] τῷ Σαπφικῷ χοριαμβικὴν καὶ ἰαμβικὴν [illegible], οἷον 45

[illegible] (Pind. fr. 116) —
[illegible] Λατοῖ (Pind. fr. 117).

[illegible] δὲ ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν [illegible] Ἀλκαϊκὸν ἑνδεκασύλλαβον, ὃ τὴν [illegible] ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ [illegible], τὴν δὲ δευτέραν ἰωνικὴν ἀπὸ μείζονος ἢ [illegible], τὴν δὲ κατάκλειδα [illegible], οἷον

[illegible] | 9 Mar. Plot. VI [illegible]

[illegible] | 4 ἀλκαίῳ ex corr. [illegible] (Is. Tzetz.), δῆλον A || [illegible] Choer. | 9 vv. τῷ — 10 [illegible] non fuisse videntur || [illegible] Choer., sed cf. v. 21. [illegible] | 18 [illegible] I | 19 ἀπὸ μείζονος [illegible]

μὴ ἀπεοικὸς τῷ προσοδιακῷ γένηται τὸ ἀναπαιστικὸν, ὅπερ ἐστὶν ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ. δύναται δέ τις βιαζόμενος καὶ ἑξῆς ὄντων δύο σπονδείων, ὡς παρὰ Ἀρχιλόχῳ

ἀστῶν δ' οἱ μὲν κατ' ὄπισθεν

92] τὸν πρῶτον μολοσσὸν ποιήσας καὶ λαβὼν αὐτὸν ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, τὸν ἑξῆς χορίαμβον ποιῆσαι, εἰ μὴ ἄρα ἐν τῷ προσοδιακῷ ἡ συναίρεσις τοῦ ἰωνικοῦ, τουτέστιν ὁ μολοσσός, μὴ ἐμπίπτοι.

(6) Ὑπονοήσειε δ' ἄν τις καὶ τρίτην διαφορὰν εἶναι
50 τῷ Ἀρχιλόχῳ πρὸς τοὺς μετ' αὐτόν, καθ' ἣν ἀναπαίστῳ δοκεῖ τῷ πρώτῳ χρῆσθαι,

ἐρέω πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων (80) —
φιλέειν στυγνόν περ ἐόντα, μηδὲ διαλέγεσθαι (81),

ᾧ οὐκ ἐχρήσαντο ἐκεῖνοι. φαίνεται δὲ οὐδ' αὐτὸς κεχρημένος· δύναται γὰρ ἀμφότερα κατὰ συνεκφώνησιν εἰς ἴαμβον περιίστασθαι, ἡ δὲ φαντασία τοῦ ἀναπαίστου γέγονε διὰ τὴν ἰωνικὴν ἐν ἑκατέρῳ διαίρεσιν· ὥστε τὰς προειρημένας μόνας δύο διαφορὰς εἶναι τοῖς νεωτέροις πρὸς τὸν ἰαμβοποιὸν Ἀρχίλοχον. (7) Κρατῖνος δὲ ὅταν λέγῃ ἐν τοῖς Ἀρχιλόχοις (10)

93] Ἐρασμονίδη Βάθιππε τῶν ἀωρολείων,

τοῦτο τὸ μέτρον ἀγνοεῖ ὅτι οὐκ ἄντικρυς μιμεῖται τοῦ Ἀρχιλόχου τὸν Ἐρασμονίδην.

(8) Ἓν μὲν δὴ τοῦτο τῶν παρ' Ἀρχιλόχῳ ἀσυναρ-

1 ἀπε. τ. π. γ. ex 48, 21 recepi, ἀλλότριον γ. τ. ἀ. τοῦ προσοδιακοῦ codd. ‖ 2 ἰωνικοῦ *A*, ἰαμβικοῦ *I* ‖ 5 κατόπισθεν *I* ‖ 6 τὸν vel τὸ πρῶτον (i. e. τὸ ᾱ) scribendum videtur, τὸν ἀνάπαιστον *AI*, τὸν πρῶτον σπονδεῖον καὶ τὴν τοῦ δευτέρου συλλαβήν *H*; cf. schol. $K^2$ ἤγουν τὸν πρῶτον σπονδεῖον καὶ τὴν τοῦ δευτέρου συλλαβήν; τὸν πρῶτον σπονδεῖον καὶ τὴν ⟨πρώτην⟩ τοῦ δευτέρου συλλαβήν Hermann ‖ 17 ἀναπαίστου γέγονε *I*, ἀι παιστον γεγονέναι *A* ‖ 19 δύο μόνας *I*

τήτων· ἄλλο δὲ τὸ ἐκ δακτυλικῆς τετραποδίας καὶ τοῦ αὐτοῦ ἰθυφαλλικοῦ (Archil. 100)

οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα· κάρφεται γὰρ ἤδη·

γίνεται δὲ ὁ τελευταῖος τῆς τετραποδίας διὰ τὴν ἐπὶ τέλους ἀδιάφορον καὶ κρητικός (Archil. 115)

καὶ βήσσας ὀρέων δυσπαιπάλους οἷος ἦν ἐπ' ἥβης.

τοῦτο παρὰ τοῖς νεωτέροις πολὺ τὸ μέτρον ἐστίν, ὥσπερ καὶ παρὰ Καλλιμάχῳ (191)

τόν με παλαιστρίταν ὀμόσας θεὸν ἑπτάκις φιλήσειν, 51

παρὰ δὲ Κρατίνῳ ἐν τοῖς Σεριφίοις (211) οὐκέτι ἀκατάληκτόν ἐστι τὸ δακτυλικὸν τὸ ἡγούμενον τοῦ ἰθυ- [9 φαλλικοῦ, ἀλλὰ καταληκτικὸν εἰς δισύλλαβον,

χαίρετε πάντες ὅσοι πολύβωτον ποντίαν Σέριφον.

*(9)* Τρίτον δέ ἐστι παρὰ Ἀρχιλόχῳ ἀσυνάρτητον ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου (85)

ἀλλά μ' ὁ λυσιμελής, ὦταῖρε, δάμναται πόθος.

*(10)* Ἔνδοξόν ἐστι ἐπισύνθετον καὶ τὸ διπενθημιμερὲς τὸ ἐγκωμιολογικὸν καλούμενον, ὅπερ ἐστὶν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ τοῦ ἴσου, ᾧ κέχρηται μὲν καὶ Ἀλκαῖος ἐν ᾄσματι (94), οὗ ἡ ἀρχή

Ἠ ῥ' ἔτι Δινομένῃ τῷ Τυρρακήῳ
τἄρμενα λαμπρὰ κέοντ' ἐν Μυρσινήῳ,

1 Mar. Plot. VI 544, 19 ‖ 15 Mar. Plot. VI 544, 3 ‖ 17 ἐγκωμιολογικόν schol. Aristoph. Pac. 775 (Heliod.); Mar. Plot. VI 543, 26. Serv. IV 466, 11. schol. in Pind. Ol. III p. 104, 14.

2 οἷόν ἐστι τὸ τοιοῦτον add. *I* 3 idem versus 19,10. 21,10 | 5 post κρητικὸς add. *I* οἷος ἐστὶν οὗτος ‖ 6 ἐπήβησ *A* ‖ 7 παρὰ μὲν *I* ‖ 9 παλαιστρήταν ὄμοσας codd. ‖ 10 σερίφοις codd. ‖ 13 ὅσοι Dobraeus, θεοὶ *AI*, θεοὶ οἱ *C* ‖ 17 λυσιμελὴς *I*, λυσιτελὴς *AH* ‖ 18 ἐστι καὶ *A* ‖ 19 ἐγκωμολογικὸν *A* ‖ 23 ἦρ' ἔτι *A*, ἄρετι *I* | διννομένη codd. ‖ 24 τάρμενα *I* | κέοντ' Seidler, κέατ' codd. κ' ἐκέατ' prop. Wilam. | μυρσίννωι potius quam μυρσινήωι videtur in *A* esse, ceterum litt. ί ex η corr. *A*[1], μυρσιννήω *I*

[95] *κέχρηται δὲ καὶ Ἀνακρέων ἐν πλείοσιν ᾄσμασιν* (70)

*Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναιχμάν.*

*(11) Τὸ δὲ ἀντεστραμμένον τούτῳ ἰαμβέλεγος καλεῖται· τούτῳ δὲ ἐν συνεχείᾳ οὐκ ἴσμεν τινὰ κεχρημένον, διεσπαρμένως δέ·*

*πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν.* (Pind. 30, 1) —

52 *κείνων λυθέντες σαῖς ὑπὸ χερσὶν ἄναξ* (Pind. 35).

*(12) Γίνεται δὲ καὶ τριπενθημιμερὲς ἐκ τούτων τὸ καλούμενον Πλατωνικόν, ἐν ᾧ τὰ μὲν ἑκατέρωθεν δύο δακτυλικά εἰσι πενθημιμερῆ, τὸ δὲ μέσον ἰαμβικόν· κέχρηται δὲ αὐτῷ Πλάτων ἐν Ξαντρίαις* (90)

*χαῖρε παλαιογόνων ἀνδρῶν θεατῶν ξύλλογε παντοσόφων.*

[96] *(13) Ἀντεστραμμένον δέ ἐστι τούτῳ τὸ Πινδαρικὸν καλούμενον,*

*ὃς καὶ τυπεὶς ἁγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν* (Pind. 34) —

*σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς* (Pind. 216).

*(14) Τοῦ δὲ δακτυλικοῦ πενθημιμεροῦς δὶς λαμβανομένου γίνεται τὸ ἐλεγεῖον· ἀλλὰ τὸ μὲν δεύτερον αὐτοῦ μέρος ἑπτασύλλαβον ἀεὶ μένει, ἐκ δύο δακτύλων καὶ συλλαβῆς, τὸ δὲ πρότερον κινουμένους ἔχει τοὺς δύο πόδας, ὥστε ἢ δακτύλους αὐτοὺς γίνεσθαι ἢ σπονδείους, ἢ τὸν μὲν πρότερον δάκτυλον, τὸν δὲ δεύτερον σπονδεῖον· ἢ ἀνάπαλιν τὸν μὲν πρό-*

3 *ἰαμβέλεγος*] Mar. Plot. VI 543, 20. Serv. IV 466, 14. schol. Aristoph. Pac. 775 (Heliod.) ‖ 16 Mar. Plot. VI 545, 5 ‖ 21 *ἐλεγεῖον* schol.[B] c. 14 | *πεντάμετρον ἐλεγειακόν* Dion. Hal. de comp. verb. c. 25 p. 127, 11

2 *ὀρσόλεπος IH* | *μεναιχμάν* Dorvillius, *μὲν αἰχμὰν* codd., *μεναιχμήν* Pauw ‖ 7 *λυθέντων H* ‖ 10 *δακτυλικὰ I, πλατωνικὰ A* ‖ 12 *παντοσόφων I, πανσόφων A* ‖ 21 *περὶ τοῦ ἐλεγείου μέτρου I* ‖ 25 *πρότερον AH, πρῶτον I*

ὥστ' εἶναι τὸν κανόνα τοιοῦτον,

βαβα βααβ αββ$^{α}$
βαββ βααβ αβα$^{β}$

ἔστι δὲ καὶ παρ' Ἀλκαίῳ — καὶ ἄδηλον ὁποτέρου ἐστὶν εὕρημα, εἰ καὶ Σαπφικὸν καλεῖται — οἷον (Alc. 5, 1) [84

χαῖρε Κυλλάνας ὃ μέδεις, σὲ γάρ μοι.

τοιούτοις χρῶνται τρισὶν εἰς ἑκάστην στροφήν· εἶτα ἐπιφέρουσι τὸ τέταρτον πεντασύλλαβον, χοριαμβικὸν πενθημιμερές, συνεμπίπτον δακτυλικῷ τῷ εἰς δεύτερον τροχαῖον, οἷόν ἐστι τὸ (Sapph. 1, 4)

πότνια θυμόν.

*(2)* Τοῦτο μὲν οὖν ἀπὸ τροχαϊκῆς ἐστὶν ἐπιχοριαμβικόν, ἀπὸ δὲ ἀντισπαστικῆς τὸ καλούμενον Πινδαρικὸν ἑνδεκασύλλαβον, ὃ τὴν μὲν πρώτην ἀντισπαστικὴν ἔχει, τὰ δὲ λοιπὰ ὁμοίως τῷ Σαπφικῷ χοριαμβικὴν καὶ ἰαμβικὴν κατάκλειδα, οἷον 45

Ὁ Μουσαγέτας με καλεῖ χορεῦσαι (Pind. fr. 116) —
ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ (Pind. fr. 117).

*(3)* Ἐπιωνικὸν δὲ ἀπὸ μείζονος τρίμετρον καταληκτικόν ἐστι, τὸ καλούμενον Ἀλκαϊκὸν ἑνδεκασύλλαβον, ὃ τὴν μὲν πρώτην συζυγίαν ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἀπὸ μείζονος ἢ δευτέραν παιωνικήν, τὴν δὲ κατάκλειδα ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου, οἷον

5—6 cf. Is. Tzetz. AP I 122, 27—28 ‖ 9 Mar. Plot. VI 516, 22

2 β$^{α}$]β *A I* ‖ 3 αβα$^{β}$] αβα *I*, βα·αα *A* ‖ 4 ἀλκαίῳ ex corr. *M*, Ἀλκαιῶνι *A*, ἀλκαίωνι *I* | ἄδηλον *I* (Is. Tzetz.), δῆλον *A* ‖ 5 εἰ καὶ *H* (Is. Tzetz.), καὶ εἰ *A I* Choer. ‖ 9 vv. τῷ — 10 τροχαῖον in Choerobosci codd. (87, 19) non fuisse videntur ‖ 7 τὸ τοιοῦτον *I* ‖ 14 ὃ] ὃ καὶ Choer.[K], ὅτι Choer.[U], sed cf. v. 21. 45, 16. 46, 5 ‖ 16 οἷον om. *I* ‖ 18 ἄγεις *I* ‖ 19 ἀπὸ μείζονος om. *I* ‖ 24 οἷον om. *I*

[85] *ὦ' ναξ Ἄπολλον, παῖ μεγάλω Δίος* (Alc. 1) —
*Μέλαγχρος αἰδῶς ἄξιος εἰς πόλιν* (Alc. 21).

*ὥστε εἶναι σχήματα μὲν αὐτοῦ τέσσαρα, κανόνα δὲ τοιόνδε·*

αβαβ ββαα $βαα^{β}$
ββαβ ββαα $βαα^{β}$
αβαβ αβαα $βαα^{β}$
ββαβ αβαα $βαα^{β}$

*(4) Τρίμετρον δὲ ἀκατάληκτον τὸ τούτου περιττεῦον συλλαβῇ τῇ τελευταίᾳ, καλούμενον δὲ Ἀλκαϊκὸν δωδεκασύλλαβον, οἷον* (Alc. 55)

*ἰόπλοκ', ἀγνά, μελλιχόμειδε Σαπφοῖ,*

*οὗ κανὼν οὗτος.*

46 αβαβ ββαα $βαβα^{β}$
ββαβ αβαα $βαββ^{α}$

[86] *(5) Τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικόν, ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἢ δευτέραν παιωνικήν, τὴν δὲ τρίτην τροχαϊκὴν ἑξάσημον ἢ ἑπτάσημον, εἶτα τὴν ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου κατάκλειδα, οἷον*

*τοοῦτος εἰς Θήβας πάϊς ἁρμάτεσσ' ὀχήμενος*
(fr. lyr. ad. 51) —
*Μᾶλις μὲν ἔννη λεπτὸν ἔχοισ' ἐπ' ἀτράκτῳ λίνον*
(fr. lyr. ad. 52).

1 At. Fort. VI 297, 10. Epimer. Hom. A O I 208, 17

2 *αἰδῶσ* (with ο above) (i. e. *αἰδοῦσ?*) *A*, *αἰδὼς I* | *εἰς P*, *ἐσ ACI* ‖ 5 (exit.) *βαα I* ‖ 6 $βαα^{β}$] *βαβ I*, *βα:βα A* ‖ 7 (exit.) *βαα I* ‖ 11 *οἷον* om. *I* ‖ 12 *μελλιχόμειδε* a pr. m. corr. ex *μελλιχόμειδες A*, *μελλιχόμειδες CP* ‖ 14 $α^{β}$]*α AI* ‖ 15 $βαββ^{α}$] *βαβαβ I* ‖ 20 *τῆς*] om. *A* ‖ 22 *τοοῦτος* Wilam., *τεοῦτος A*, *τοιοῦτος* rell. | *ἁρμάτεσσι* codd. | *ὀχημένος* $M^{2}$, *χήμενος* $AIM^{1}H$ ‖ 24 *μᾶλις C* *μάλις A*, *μόλις I* | *ἀπ' I* | *ἀτράκτωι A* | *λῖνον AI*

*κανὼν δὲ αὐτοῦ*

*αβαβ ββαα βαβα βαα*$^{β}$
*ββαβ αβαα βαββ βαβ*$^{α}$.

*(6)* Ἀπ' *ἐλάσσονος* δὲ *ἐπιωνικὸν* τρίμετρον ἀκατάληκτόν ἐστι παρ' Ἀλκμᾶνι, ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικὴν ἑξάσημον ἢ ἑπτάσημον, τὰς δὲ ἑξῆς δύο ἰωνικὰς ἑξασήμους καθαράς, οἷον

περισσόν. αἲ γὰρ Ἀπόλλων ὁ Λύκηος (Alcm. 83) —
Ἰνὼ σαλασσομέδοισ' ἂν ἀπὸ μάσδων (Alcm. 84).

κανὼν δὲ αὐτοῦ

*αβαβ ααββ ααββ*$^{α}$
*ββαβ ααββ ααββ*$^{α}$.

*(7)* Καθαροῦ μὲν ὄντος τοῦ ἰωνικοῦ τοῦτο· ἀνακλωμένου δὲ ὄντος αὐτοῦ, προταχθεῖσα ἰαμβικὴ ἑξάσημος ἢ ἑπτάσημος ποιεῖ τὸ τοιοῦτον, οἷον παρὰ Σαπφοῖ [8

ἔχει μὲν Ἀνδρομέδα καλὰν ἀμοιβάν (58) — 47
Ψάπφοι τί τὰν πολύολβον Ἀφροδίταν (59)·

κανὼν δὲ αὐτοῦ

*αβαβ ααβα βαββ*$^{α}$
*ββαβ ααβα βαββ*$^{α}$.

1—3 om. $IM^1$ ‖ 2 βα βαα$^{β}$]βα$^{β}$ *A* ‖ 3 in *A* non sunt nisi haec βα:βα:βα ‖ 4 ἀκατάληκτον om. *I* ‖ 9 σαλασσομέδοισ' ἂν Porson, σαλασσομέδοισὰν *A*, σάλας ὁμέδοισαν *I* | ἀπομάσδων *AIM* ‖ 10 αὐτοῦ οὗτος *I* ‖ 11 in fine ααββ *I* ‖ 12 in fine ααβα *I* ‖ 14 ἰαμβικὴ] ἰαμβικὴ ἤτοι *I* ‖ 17 ἀνδρομέδα καλὰν *H*, ἀνδρομέδαν καλὰ *AI* ‖ 18 σαπφοῖ *I* | τι τάν *I* ‖ 19 post αὐτοῦ add. ὅδε *I*, οὗτος *H*

*μὴ ἀπεοικὸς τῷ προσοδιακῷ γένηται τὸ ἀναπαιστικὸν, ὅπερ ἐστὶν ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ. δύναται δέ τις βιαζόμενος καὶ ἑξῆς ὄντων δύο σπονδείων, ὡς παρὰ Ἀρχιλόχῳ*

*ἀστῶν δ' οἱ μὲν κατ' ὄπισθεν*

[92] *τὸν πρῶτον μολοσσὸν ποιήσας καὶ λαβὼν αὐτὸν ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, τὸν ἑξῆς χορίαμβον ποιῆσαι, εἰ μὴ ἄρα ἐν τῷ προσοδιακῷ ἡ συναίρεσις τοῦ ἰωνικοῦ, τουτέστιν ὁ μολοσσός, μὴ ἐμπίπτοι.*

(6) *Ὑπονοήσειε δ' ἄν τις καὶ τρίτην διαφορὰν εἶναι*
50 *τῷ Ἀρχιλόχῳ πρὸς τοὺς μετ' αὐτόν, καθ' ἣν ἀναπαίστῳ δοκεῖ τῷ πρώτῳ χρῆσθαι,*

*ἐρέω πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων* (80) —
*φιλέειν στυγνόν περ ἐόντα, μηδὲ διαλέγεσθαι* (81),

*ᾧ οὐκ ἐχρήσαντο ἐκεῖνοι. φαίνεται δὲ οὐδ' αὐτὸς κεχρημένος· δύναται γὰρ ἀμφότερα κατὰ συνεκφώνησιν εἰς ἴαμβον περιίστασθαι, ἡ δὲ φαντασία τοῦ ἀναπαίστου γέγονε διὰ τὴν ἰωνικὴν ἐν ἑκατέρῳ διαίρεσιν· ὥστε τὰς προειρημένας μόνας δύο διαφορὰς εἶναι τοῖς νεωτέροις πρὸς τὸν ἰαμβοποιὸν Ἀρχίλοχον.* (7) *Κρατῖνος δὲ ὅταν λέγῃ ἐν τοῖς Ἀρχιλόχοις* (10)

[93] *Ἐρασμονίδη Βάθιππε τῶν ἀωρολείων,*

*τοῦτο τὸ μέτρον ἀγνοεῖ ὅτι οὐκ ἄντικρυς μιμεῖται τοῦ Ἀρχιλόχου τὸν Ἐρασμονίδην.*

(8) *Ἓν μὲν δὴ τοῦτο τῶν παρ' Ἀρχιλόχῳ ἀσυναρ-*

1 *ἀπε. τ. π. γ.* ex 48, 21 recepi, *ἀλλότριον γ. τ. ἀ. τοῦ προσοδιακοῦ* codd. ‖ 2 *ἰωνικοῦ A*, *ἰαμβικοῦ I* ‖ 5 *κατόπισθεν I* ‖ 6 *τὸν* vel *τὸ πρῶτον* (i. e. *τὸ ᾱ*) scribendum videtur, *τὸν ἀνάπαιστον AI*, *τὸν πρῶτον σπονδεῖον καὶ τὴν τοῦ δευτέρου συλλαβήν H*; cf. schol. K² *ἤγουν τὸν πρῶτον σπονδεῖον καὶ τὴν τοῦ δευτέρου συλλαβήν*; *τὸν πρῶτον σπονδεῖον καὶ τὴν ⟨πρώτην⟩ τοῦ δευτέρου συλλαβήν* Hermann ‖ 17 ἀναπαίστου γέγονε I, *ἀνάπαιστον γεγονέναι A* ‖ 19 *δύο μόνας* I

τήτων· ἄλλο δὲ τὸ ἐκ δακτυλικῆς τετραποδίας καὶ τοῦ αὐτοῦ ἰθυφαλλικοῦ (Archil. 100)

οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα· κάρφεται γὰρ ἤδη·

γίνεται δὲ ὁ τελευταῖος τῆς τετραποδίας διὰ τὴν ἐπὶ τέλους ἀδιάφορον καὶ κρητικός (Archil. 115)

καὶ βήσσας ὀρέων δυσπαιπάλους οἷος ἦν ἐπ' ἥβης.

τοῦτο παρὰ τοῖς νεωτέροις πολὺ τὸ μέτρον ἐστίν, ὥσπερ καὶ παρὰ Καλλιμάχῳ (191)

τόν με παλαιστρίταν ὀμόσας θεὸν ἑπτάκις φιλήσειν, 51

παρὰ δὲ Κρατίνῳ ἐν τοῖς Σεριφίοις (211) οὐκέτι ἀκατάληκτόν ἐστι τὸ δακτυλικὸν τὸ ἡγούμενον τοῦ ἰθυ- [94] φαλλικοῦ, ἀλλὰ καταληκτικὸν εἰς δισύλλαβον,

χαίρετε πάντες ὅσοι πολύβωτον ποντίαν Σέριφον.

*(9)* Τρίτον δέ ἐστι παρὰ Ἀρχιλόχῳ ἀσυνάρτητον ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου (85)

ἀλλά μ' ὁ λυσιμελής, ὦταῖρε, δάμναται πόθος.

*(10)* Ἔνδοξόν ἐστι ἐπισύνθετον καὶ τὸ διπενθημιμερὲς τὸ ἐγκωμιολογικὸν καλούμενον, ὅπερ ἐστὶν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ τοῦ ἴσου, ᾧ κέχρηται μὲν καὶ Ἀλκαῖος ἐν ᾄσματι (94), οὗ ἡ ἀρχή

Ἦ ῥ' ἔτι Διννομένῃ τῷ Τυρρακήῳ
τἄρμενα λαμπρὰ κέοντ' ἐν Μυρσινήῳ,

1 Mar. Plot. VI 544, 19 ‖ 15 Mar. Plot. VI 544, 3 ‖ 17 *ἐγκωμιολογικόν* schol. Aristoph. Pac. 775 (Heliod.); Mar. Plot. VI 543, 26. Serv. IV 466, 11. schol. in Pind. Ol. III p. 104, 14.

2 *οἷόν ἐστι τὸ τοιοῦτον* add. *I* 3 idem versus 19,10. 21,10 ‖ 5 post *κρητικὸς* add. *I οἷος ἐστὶν οὗτος* ‖ 6 *ἐπήβησ A* ‖ 7 *παρὰ μὲν I* ‖ 9 *παλαιστρήταν ὄμοσας* codd. ‖ 10 *σερίφοις* codd. ‖ 13 *ὅσοι* Dobraeus, *θεοὶ A I*, *θεοὶ οἱ C* ‖ 17 *λυσιμελὴς I*, *λυσιτελὴς A H* ‖ 18 *ἐστι καὶ A* ‖ 19 *ἐγκωμολογικὸν A* ‖ 23 *ἦρ' ἔτι A*, *ἄρετι I* | *διννομένη* codd. ‖ 24 *τάρμενα I* | *κέοντ'* Seidler, *κέατ'* codd. *κ' ἐκέατ'* prop. Wilam. | *μυρσίννωι* potius quam *μυρσινήωι* videtur in *A* esse, ceterum litt. *ί* ex *η* corr. *A*[1], *μυρσιννήω I*

μὴ ἀπεοικὸς τῷ προσοδιακῷ γένηται τὸ ἀναπαιστικὸν, ὅπερ ἐστὶν ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ. δύναται δέ τις βιαζόμενος καὶ ἑξῆς ὄντων δύο σπονδείων, ὡς παρὰ Ἀρχιλόχῳ

ἀστῶν δ' οἱ μὲν κατ' ὄπισθεν

[92] τὸν πρῶτον μολοσσὸν ποιήσας καὶ λαβὼν αὐτὸν ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, τὸν ἑξῆς χορίαμβον ποιῆσαι, εἰ μὴ ἄρα ἐν τῷ προσοδιακῷ ἡ συναίρεσις τοῦ ἰωνικοῦ, τουτέστιν ὁ μολοσσός, μὴ ἐμπίπτοι.

*(6)* Ὑπονοήσειε δ' ἄν τις καὶ τρίτην διαφορὰν εἶναι
50 τῷ Ἀρχιλόχῳ πρὸς τοὺς μετ' αὐτόν, καθ' ἣν ἀναπαίστῳ δοκεῖ τῷ πρώτῳ χρῆσθαι,

ἐρέω πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων (80) —
φιλέειν στυγνόν περ ἐόντα, μηδὲ διαλέγεσθαι (81),

ᾧ οὐκ ἐχρήσαντο ἐκεῖνοι. φαίνεται δὲ οὐδ' αὐτὸς κεχρημένος· δύναται γὰρ ἀμφότερα κατὰ συνεκφώνησιν εἰς ἴαμβον περιίστασθαι, ἡ δὲ φαντασία τοῦ ἀναπαίστου γέγονε διὰ τὴν ἰωνικὴν ἐν ἑκατέρῳ διαίρεσιν· ὥστε τὰς προειρημένας μόνας δύο διαφορὰς εἶναι τοῖς νεωτέροις πρὸς τὸν ἰαμβοποιὸν Ἀρχίλοχον. *(7)* Κρατῖνος δὲ ὅταν λέγῃ ἐν τοῖς Ἀρχιλόχοις (10)

[93] Ἐρασμονίδη Βάθιππε τῶν ἀωρολείων,

τοῦτο τὸ μέτρον ἀγνοεῖ ὅτι οὐκ ἄντικρυς μιμεῖται τοῦ Ἀρχιλόχου τὸν Ἐρασμονίδην.

*(8)* Ἓν μὲν δὴ τοῦτο τῶν παρ' Ἀρχιλόχῳ ἀσυναρ-

1 ἀπε. τ. π. γ. ex 48, 21 recepi, ἀλλότριον γ. τ. ἀ. τοῦ προσοδιακοῦ codd. ‖ 2 ἰωνικοῦ *A*, ἰαμβικοῦ *I* ‖ 5 κατόπισθεν *I* ‖ 6 τὸν vel τὸ πρῶτον (i. e. τὸ ᾱ) scribendum videtur, τὸν ἀνάπαιστον *AI*, τὸν πρῶτον σπονδεῖον καὶ τὴν τοῦ δευτέρου συλλαβήν *H*; cf. schol. K² ἤγουν τὸν πρῶτον σπονδεῖον καὶ τὴν τοῦ δευτέρου συλλαβήν; τὸν πρῶτον σπονδεῖον καὶ τὴν ⟨πρώτην⟩ τοῦ δευτέρου συλλαβήν Hermann ‖ 17 ἀναπαίστου γέγονε I, ἀνάπαιστον γεγονέναι *A* ‖ 19 δύο μόνας I

*τερον σπονδεῖον, τὸν δὲ δεύτερον δάκτυλον· παρ' ἣν αἰτίαν τὸ μὲν δεύτερον ἀεὶ διπλασιαζόμενον τὸ ἐλεγεῖον ποιεῖ, τὸ δὲ πρότερον οὐκέτι, ἐὰν μὴ ἐκ δύο δακτύλων συνεστήκῃ· οἷον* (Callim. 488)

*Νηΐδες οἳ Μούσης οὐκ ἐγένοντο φίλοι*

*τὸ μὲν δεύτερον διπλασιασθὲν ποιεῖ ἐλεγεῖον, τὸ δὲ πρότερον οὔ· ὥστε αὐτὸ ποτὲ μὲν τεσσαρεσκαιδεκασύλλαβον γίνεσθαι, ποτὲ δὲ τρισκαιδεκασύλλαβον, ποτὲ δὲ δωδεκασύλλαβον.*

*(15) Καὶ τοῦ μὲν τεσσαρεσκαιδεκασυλλάβου ἓν σχῆμα* (Call. 489)

*παίσατε, τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.*

*ὁμοίως δὲ τοῦ δωδεκασυλλάβου ἕν* (Call. 490)

*τίκτεσθαι· βροντᾶν δ' οὐκ ἐμόν, ἀλλὰ Διός.*

*τοῦ δὲ τρισκαιδεκασυλλάβου δύο σχήματα· ποτὲ μὲν πρῶτος ὁ δάκτυλος* (Call. 488)

*Νηΐδες οἳ Μούσης οὐκ ἐγένοντο φίλοι.*

*ποτὲ δὲ δεύτερος* (Call. 491)

*ῥέζειν, καὶ στεφέων εὕαδε τῷ Παρίῳ.*

*Δεῖ δὲ τὸ ἐλεγεῖον τέμνεσθαι πάντως καθ' ἕτερον τῶν πενθημιμερῶν· εἰ δὲ μή, ἔσται πεπλημμελημένον, οἷον τὸ Καλλιμάχου* (192)

*ἱερά, νῦν δὲ Διοσκουρίδεω γενεή.*

*(16) Ἄλλο ἀσυνάρτητον [ὁμοίως] κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου*

5 schol. in Dion. Thrac. 20, 15 || 23 cf. Mar. Vict. VI 112, 20—34

2 *τὸ ἐλεγεῖον* Santen, *τὴν ἐλεγείαν* codd. || 4 *συνεστήκῃ H*, *συνεστήκει A*, *συνεστήκοι I* || 5 *οἳ H* schol. in Dion. Thr. (*A* in v. 17), *οἱ AI* || 6 *ἐλεγεῖον* scripsi, *ἐλεγείαν* codd. || 8 (extr.) *δὲ καὶ I* || 12 *παῖς ἅτε* Porson || 17 *νηίδες οἱ I* || 19 *εὔα δὲ A* || 20 *καθ' ἕτερον*] *κατὰ πρότερον* Hotchkis || 24 *ὁμοίως* del. Caesar

καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς, τοῦ καλουμένου Εὐριπιδείου, οἷόν ἐστι τὸ ἐν τοῖς ἀναφερομένοις εἰς Ἀρχίλοχον Ἰοβάκχοις (120)

Δήμητρος ἁγνῆς καὶ Κόρης τὴν πανήγυριν σέβων.

(17) Ἄλλο τούτου ἔλαττον παρὰ τὴν τελευταίαν
4 συλλαβὴν τὸ καλούμενον Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον, οἷον παρὰ μὲν αὐτῷ Εὐριπίδῃ (fr. 929)

Ἑῷος ἡνίχ' ἱππότας ἐξέλαμψεν ἀστήρ·

παρὰ δὲ Καλλιμάχῳ (116)

ἔνεστ' Ἀπόλλων τῷ χορῷ· τῆς λύρης ἀκούω·
καὶ τῶν Ἐρώτων ᾐσθόμην· ἔστι κἀφροδίτη.

(18) Ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ
[99] ἰαμβικοῦ ἑφθημιμεροῦς, ὅπερ ἐὰν παραλλάξῃ τὴν τομήν, γίνεται τροχαϊκὸν προκαταληκτικόν (Sapph. 85),

ἔστι μοι καλὰ πάϊς χρυσέοισιν ἀνθέμοισιν
ἐμφερῆ ἔχοισα μορφάν, Κλεηὶς ἀγαπατά,
ἀντὶ τᾶς ἐγὼ οὐδὲ Λυδίαν πᾶσαν οὐδ' ἐραννάν

(19) τούτων δὲ τὸ μὲν δεύτερον δῆλόν ἐστιν ἀπὸ τῆς τομῆς ὅτι οὕτως σύγκειται ὡς προείρηται, ἐκ τοῦ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ τοῦ ἑφθημιμεροῦς ἰαμβικοῦ, τὸ δὲ πρῶτον, διὰ τὸ πρὸ συλλαβῆς ἔχειν
[100] τὴν τομήν, ἐγένετο προκαταληκτικόν, ἐκ τροχαϊκοῦ ἑφθημιμεροῦς,

ἔστι μοι καλὰ πάϊς,

1—15 idem ordo ap. Mar. Vict. VI 102, 33. 103, 15. 18 ‖ 7—9 Caes. Bass. VI 265, 15 ‖ 8 latine vertit Mar. Vict. VI 103, 15

1 τὸ καλούμενον Εὐριπίδειον Studem.; sed cf. p. 18, 7 ‖ 3 ἰοβάκχοις om. $I^1$, add. $I^2$ ‖ 5 παρὰ Kroll, κατὰ codd. ‖ 8 ἑῶος *A* ‖ 10 ἔνεστι πολλῶν *I* ‖ 11 κἀφροδίτη *I*, χ' ἀπόλλων ἀφροδίτη *A* ‖ 17 ἐμφέρην Bergk | ἔχουσα μορφὴν *I* | Κλεηὶς Ahrens, κλέϊς *A*, κλεῗς *I*, ἁ Κληῗς Gaisf. | ἀγαπητὰ *I* ‖ 18 τᾶσδ' *I* | πᾶσαν om. *I* | ἔρανναν *A*, ἔραvναν *C*, ἐράνναν *P* ‖ 19 post δεύτερον add. I δηλαδὴ τὸ ἐμφερῆ ἔχουσα μορφὴν κλεῗς ἀγαπητά ‖ 20 οὕτως A, οὐ I

καὶ διμέτρου ἀκαταλήκτου τοῦ
*χρυσέοισιν ἀνθέμοισιν·*
τὸ δὲ τρίτον ἐξ ὑπερκαταλήκτου,
*ἀντὶ τᾶς ἐγὼ οὐδὲ Λυδίαν* 55
καὶ βραχυκαταλήκτου,
*πᾶσαν οὐδ' ἐραννάν.*

(20) Ἀνακρέων δὲ οὐκ ἰαμβικῷ ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν (30)

*τὸν λυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.*

(21) Τούτου δὲ μεῖζόν ἐστι συλλαβῇ τῇ τελευταίᾳ τὸ καλούμενον Κρατίνειον· ἔστι γὰρ ἐκ χοριαμβικοῦ ἐπιμίκτου, τοῦ τὴν δευτέραν ἰαμβικὴν ἔχοντος καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς·

*Εὔιε κισσοχαῖτ' ἄναξ, χαῖρ', ἔφασκ' Ἐκφαντίδης* (frg. 324ᵃ) —
*πάντα φορητά, πάντα τολμητὰ τῷδε τῷ χορῷ* (324ᵇ) — [101]
*πλὴν Ξενίου ὁμονισι καὶ Σχοινίωνος, ὦ Χάρον* (324ᶜ). — [102]

(22) Τὸ μὲν οὖν καθαρὸν Κρατίνειον τοιοῦτόν ἐστι· πολυσχημάτιστον δὲ αὐτὸ πεποιήκασιν οἱ κωμικοί. τοὺς γὰρ σπονδείους τοὺς ἐμπίπτοντας ἐν τοῖς ἰαμ- [103] βικοῖς καὶ τοῖς τροχαϊκοῖς παρὰ τάξιν παραλαμβάνουσιν ἐν ταῖς μέσαις συζυγίαις, τῇ τροχαϊκῇ καὶ τῇ ἰαμβικῇ. Εὔπολις δὲ ἐν τοῖς Ἀστρατεύτοις καὶ ἀτακτοτάτως συνέθηκε τὸ εἶδος· πῇ μὲν γὰρ τοιαῦτα ποιεῖ (37) [104]

*ἄνδρες ἑταῖροι, δεῦρ' ἤδη τὴν γνώμην προσίσχετε,*
*εἰ δυνατόν, καὶ μή τι μεῖζον πράττουσα τυγχάνει,*

4 τᾶσδ' *I* ‖ 6 ἐράνναν *A* ‖ 10 μυροποιὸν Bergk | στράτιν *I* ‖ 15 ἔφασκε φαντίδης *I* ‖ 18 ξινίου *I* | χάρων *I* ‖ 24 ἀστρατεύτοις *I*, εὐστρατεύτοις *AH*, sed cf. ἐν Ἀστρατεύτοις p. 58, 7 | ἀτακτοτάτως *H*, ἀτακτοτάτοις *A*, ἀτακτότατα *I* ‖ 26 δεῦρο δὴ Hermann, sed cf. schol.ᴬ p. 215, 15 | προσίσχετε Hermann, προΐσχετε codd.

πῆ δὲ τοιαῦτα (Eup. 38)

56 καὶ ξυνεγιγόμην ἀεὶ τοῖς ἀγαθοῖς φάγροισιν,

[105] ὥσθ' ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον Ἀνακρεοντείῳ τῷδε (Anacr. 22)

Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν,

πῆ δὲ καὶ ἄλλοις ἐχρήσατο λίαν ἀτάκτοις σχήμασι.

(23) Καὶ τὸ ἐκ τῶν ἀντισπαστικῶν δὲ καταληκτικῶν διμέτρων δικατάληκτον, ὃ Φερεκράτης
[106] ἐνώσας σύμπτυκτον ἀνάπαιστον καλεῖ ἐν τῇ Κοριαννοῖ (79)

ἄνδρες πρόσχετε τὸν νοῦν ἐξευρήματι καινῷ
συμπτύκτοις ἀναπαίστοις.

(24) Καὶ τὸ ἐκ τῶν ἰαμβικῶν ἑφθημιμερῶν δικατάληκτον Καλλίμαχος (epigr. 39, 1)

Δήμητρι τῇ πυλαίῃ τῇ τοῦτον δὐκ Πελασγῶν,

ὅπερ προέταξεν ἐπισυνθέτου, τοῦ ἐκ δακτυλικῆς τετραποδίας καὶ ἰθυφαλλικοῦ, τοῦδε (ep. 39, 2)

Ἀκρίσιος τὸν νηὸν ἐδείματο· ταῦθ' ὁ Ναυκρατίτης.

(25) Καὶ τὸ ἐξ ἰθυφαλλικῶν δύο ἡ Σαπφὼ πεποίηκε (84)

[107] δεῦρο δηῦτε Μοῖσαι χρύσεον λιποῖσαι.

57 (26) Καὶ τὸ ἐκ χοριαμβικῶν ἑφθημιμερῶν τῶν εἰς τὴν ἰαμβικὴν κατάκλειδα, ἡ αὐτὴ ποιήτρια (Sapph. 99),

ὄλβιε γαμβρέ, σοὶ μὲν δὴ γάμος, ὡς ἄραο,
ἐκτετέλεστ', ἔχης δὲ παρθένον, ἂν ἄραο·

9 cf. Mar. Plot. VI 515, 21

2 ξυνεγιγνόμην Hermann, ξυνεγινόμην *A*, ξυνεγένόμην *I* ‖ 3 αὐτὸ *H*, αὐτὸν rell. ‖ 5 πικτίδ' *A* ‖ 6 ἄλλοις *C*, ἐν ἄλλοις *APIH* | ἐχρήσαντο *A* ‖ 8 ὃ Flor., ὁ codd. ‖ 9 σύμμικτον *I* ‖ 11 cf. p. 32, 10; cf. ad hos versus Crusius MRh. 43, 197 sqq. ‖ 13 δικατάληκτον ἑφθημιμερῶν *I* ‖ 15 post πυλαίηι in *A* alterius versus signum | οὐκ *H*, οὐκ *A*, οὐκ ἐκ I ‖ 24 γάμβρε I \ ἄραο I, ἀρᾶο *A* ‖ 25 ἔχης *CP*, ἔχηις *A*, ἔχεις I \ ἀνάραο I, ἀναρᾶο

*κἄσθ' ὅπου συνῆψε τὴν λέξιν* (Sapph. 100)

*μελλίχροος δ' ἐπ' ἱμερτῷ κέχυται προσώπῳ.*

*Τοσαῦτα καὶ περὶ τῶν ἀσυναρτήτων.*

## XVI.

### *Περὶ πολυσχηματίστων.*

*(1) Πολυσχημάτιστα δὲ καλεῖται ὅσα κατ' ἐπιλογισμὸν
μὲν οὐδένα πλῆθος ἐπιδέχεται σχημάτων, κατὰ προ-* [108]
*αίρεσιν δὲ ἄλλως τῶν χρησαμένων ποιητῶν· τούτων
δ' ἐπισημότατά ἐστι τάδε.*

*(2) Τὸ Πριάπειον, οὐ μόνον ἰαμβικῇ τῇ δευτέρᾳ χρώμενον, ἀλλὰ καὶ χοριαμβικῇ· καὶ τὸν ἀντίσπαστον ἔσθ' ὅτε, τὸν πρῶτον τοῦ παντὸς μέτρου, εἰς σπονδεῖον περαιοῦσιν, ἐάν τε ἀπὸ ἰάμβου ἄρχηται, ἐάν τε ἀπὸ τροχαίου, κατὰ τὸ δεδομένον, ἐάν τε ἀπὸ σπονδείου, οἷον παρ' Εὐφορίωνι τῷ Χερρονησιώτῃ* (Meineke: Anal. Alex. p. 341)

*οὐ βέβηλος, ὦ τελεταὶ τοῦ νέου Διονύσου,* [109]
*κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω,* 58
*ὁδεύων Πηλουσιακὸν κνεφαῖος παρὰ τέλμα.*

*(3) Ὁμοίως δὲ καὶ ἐπὶ τῶν Γλυκωνείων τοιαῦτα* [110]
*σχήματα παραλαμβάνεται, οἷον ἐν τοῖς Κορίννης* (20)

*καλὰ γέροι' ἀεισομένα*
*Ταναγρίδεσσι λευκοπέπλοις.*

17 Dion. Hal. de comp. verb. c. 4 p. 16, 5. Max. Plan. in Hermog. RhG V 491, 12 *τοῖς πριαπείοις . . . συμβέβηλος ὡς λέγεται τοῦ νέου Διονύσου· κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω.*

1 *κἄσθ' ὅπου* Thiemann, *καὶ ὁ ποῦς A*, *καὶ — λέξιν* om. *I* ‖ 7 *μὲν* om. *I* ‖ 14 *δεδογμένον C*, Caesar ‖ 15 *χερρονησίῳ I* ‖ 17 *τελετὴ I* ‖ 19 *ὀδεύων I* | *παρατέλμα A*, *παρὰ λαῖτμα I*, *παρὰ λέτμα H* ‖ 20 *τὰ τοιαῦτα I* ‖ 22 *καλὰ γέροια A*, *καλαγέρεια I* | *εἰσομένα* codd., corr. Hiller ‖ 23 *ταναγρίδεσι I*

*μέγα δ᾿ ἐμὴ γέγαθε πόλις*
*λιγουροκωτίλαις ἐνοπαῖς.*

[111] *ὧδε καὶ τόδε*
*καὶ πεντήκοντ᾿ οὐψιβίας* (Cor. 13).

*ἔτι δὲ καὶ πλείοσιν αὕτη κέχρηται σχήμασιν* (Cor. 14—18)

*δούρατος ὥστ᾿ ἐφ᾿ ἵππω. —*
*κατὰ μὲν βριμούμενοι. —*
*πόλιν δ᾿ ἐπράθομεν. —*
112] *†προφανεὶς· γλούκου δέ τις ᾄδων. —*
*πελέκεσσι δονεῖται. —*

*(4) Τάχα δὲ καὶ τὸ κωμικὸν* [τὸ] *καλούμενον ἐπιωνικὸν πολυσχημάτιστον συνέθεσαν· μάλιστα δ᾿ ἐν αὐτῷ ἀταξία πολλή, ἡ τοὺς σπονδείους ἐπ᾿ ἀρτίου χώρας ἔχουσα τῶν ἰαμβικῶν συζυγιῶν, οἷον παρ᾿ Εὐπόλιδι ἐν Χρυσῷ Γένει* (290)

*ὦ καλλίστη πόλι πασῶν ὅσας Κλέων ἐφορᾷ,*
*ὡς εὐδαίμων πρότερόν τ᾿ ἦσθα, νῦν δὲ μᾶλλον ἔσῃ.*

59 *(5) Καὶ τὸ Εὐπολίδειον* [τὸ] *καλούμενον ἐπιχοριαμβικὸν πολυσχημάτιστόν ἐστιν, ἐν ᾧ τὰς τροχαϊκὰς παρὰ τάξιν ποιοῦσι δέχεσθαι τὸν σπονδεῖον· — ἐνίοτε δὲ καὶ ἀντισπαστικὸν καθαρὸν ποιοῦσιν — οἷον*

16 cf. Prisc. de metr. Ter. GL III 429, 1—10. schol. ad Pind. Ol. XIII p. 357, 8

1 *γέγαθε I, γέγασε A, μέγαθε H* ‖ 4 *πεντηκόντου ψιβίας I* ‖ 7 *κατα μὲν A, καταμεν I, κάρτα μὲν* Herm. ‖ 8 et 9 in *A* unum versum efficiunt puncto post *ἐπράθομεν* addito ‖ 8 *ἔπραθ᾿ ὁ μὲν προφανεὶς* prop. Bergk ‖ 9 *προφανὴς I* | *γλύκου I* | *γλυκὺ δέ τις ἀείδων* Hiller ‖ 10 *πελέκεσι I* cf. schol.[A] ‖ 11 *τὸ* del. ‖ 13 *ἀρτίου* Pauw, *ἀρτίους* codd., cf. e. g. p. 20, 4 ‖ 16 *ὅσα I* ‖ 17 *δὲ τε* Prisc. l. c. | *ἔσει* Prisc. ‖ 18 *τὸ* (post.) A, *τοῦτο τὸ* IM; delendum | *χοριαμβικὸν I* ‖ 20 *ἐνίοτε* ex *ᾧ* corr. ab A[1]

*εὐφράνας ἡμᾶς ἀπέπεμπ' οἴκαδ' ἄλλον ἄλλοσε*
(frg. com. ad. 53).
*ὁ σώφρων τε χὡ καταπύγων ἄριστ' ἠκουσάτην*
(Arist. Nub. 529).

*(6) Καὶ τὸ Κρατίνειον δὲ τὸ ἀσυνάρτητον ἐκ χοριαμβικοῦ καὶ τροχαϊκοῦ πολυσχημάτιστόν ἐστιν. ἀρ-* [113
*κέσει τοῦτο δεῖξαι ἡ παράβασις ἡ ἐν τοῖς Ἀστρατεύτοις Εὐπόλιδος πᾶσα, ἵνα μὴ νῦν μηκύνωμεν παραδείγματα παρατιθέμενοι.*

*Τοσαῦτα περὶ τῶν μέτρων, περὶ δὲ ποιήματος ἑξῆς ῥητέον.*

---

# ΗΦΑΙΣΤΙΩΝΟΣ ΜΕΤΡΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ [114

## *Περὶ ποιήματος.*

*(1) Τῶν ποιημάτων τὰ μέν ἐστι κατὰ στίχον, τὰ δὲ συστηματικά, τὰ δὲ μικτά, τὰ δὲ κοινά.*

*Κατὰ στίχον μὲν ὅσα ὑπὸ τοῦ αὐτοῦ μέτρου καταμετρεῖται, ὡς τὰ Ὁμήρου καὶ τῶν ἐποποιῶν ἔπη· καταχρηστικῶς δὲ κἂν ὑπὸ κώλου ἢ κόμματος, ὡς τὸ Καλλιμάχειον τοῦτο ποιημάτιον* (118)

*ἡ παῖς ἡ κατάκλειστος,*
*τὴν οἵ φασι τεκόντες.*

1 et 3 cf. Prisc. de metr. Ter. GL III 429 ‖ 12 ad hoc caput cf. infra p. 62—69. Ar. Quint. 37, 6—20. Mar. Vict. VI 56, 22—59, 23 — Diom. I 501, 29 — 502, 5 (BA V 3, 119) ‖ 14 *κατὰ στίχον ἢ περίοδον ἢ στροφήν* Dion. Hal. de comp. verb. c. 25 p. 125, 10 ‖ 14—19 Is. Tzetz. AP I 60, 12 sqq.

1 *εὐφράνας*] *εὔφρανας* codd. | *οἴκαδ' ἄλλον*] *οἵ αλ''λ'ον* (sic) *I* ‖ 3 *χῶ* *AM*, *χ'ῶ* *I* ‖ 12 *εἰσαγωγή* *A* ‖ 13 *ἡφαιστίωνος περὶ ποιημάτων* *C*, *περὶ ποιημάτων* (om. *ἡφ.*) *H*, de huius capitis auctore indole cf. BA V 3, 29 sqq. ‖ 18 *κώματος* *A* ‖ 21 *τὴν οἵ*
); *τὴν οἱ φασι* *A*, *τήν οἱ φασι* *I*

60 καταμετρεῖται γὰρ ὑπὸ κόμματος ἀντισπαστικοῦ, καλουμένου Φερεκρατείου.

Συστηματικὰ δὲ ὅσα ὑπὸ πλειόνων μέτρων εἰς ἓν σῶμα παραληφθέντων καταμετρεῖται ἢ συμπληροῦται.

15] Μικτὰ δὲ ὅσα μέρος μέν τι ἔχει ὑπὸ στίχου καταμετρούμενον, μέρος δὲ συστηματικόν.

Κοινὰ δὲ ὅσα ὑπὸ συστήματος μὲν καταμετρεῖται, αὐτὸ δὲ τὸ σύστημα ἔχει πληρούμενον, οἷά ἐστι τὰ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ Σαπφοῦς· ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας, αὐτὴ δὲ ἡ διστιχία ὁμοία ἐστί.

(2) ⟨Καὶ τὰ μέν ἐστι⟩ κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ μικτά, τὰ δὲ κοινά.

Καὶ κατὰ σχέσιν μέν ἐστιν, ὅσα μετρεῖται ὑπὸ συστήματος, καλεῖται δὲ οὕτως διὰ τὸ ⟨κατὰ⟩ σχέσιν τινὰ πρὸς ἄλληλα τὰ ἐν τῷ ποιήματι συστήματα καταμετρεῖσθαι.

(3) Ἐξ ὁμοίων δὲ ὅσα ἐκ τοῦ αὐτοῦ ποδός ἐστιν ἢ τῆς αὐτῆς συζυγίας ἢ τῆς αὐτῆς περιόδου ἀρχικῆς, οὔτε ὑπὸ στίχου οὔτε ὑπὸ συστήματος καταμετρούμενα.

61 (4) Μετρικὰ δὲ ἄτακτα, ὅσα ἐκ μέτρων μὲν ὁμολογου-

3—5 At. Fort. VI 296, 1 ‖ 4 κατὰ σχέσιν schol. in Aristoph. Nub. 518 (V) ‖ 18 ad carmina ἐξ ὁμοίων cf. Ter. Maur. VI v. 1512 sqq. 2056 sqq. Mar. Vict. VI 91, 8 sqq. ‖ 19 de periodo cf. Mar. Vict. VI 55, 1. Is. Tzetz. AP I 64, 29 sqq. ‖ 21—60, 5 Is. Tzetz. AP I 64, 10—16

8 post σύστημα add. Bergk ⟨κατὰ στίχον⟩, Westphal ⟨ἐκ τῶν αὐτῶν μέτρων⟩ | ἔχει I, ἔστι AH ‖ 10 διστοιχείᾳ σ̄ (sic) A, διστοιχίας I, διστιχείας H | αὐτὴ Flor., αὕτη codd. | διστιχία H, διστοιχία AI ‖ 11 τὰ — ἐστι inserui; ⟨τῶν δὲ συστηματικῶν ἐστι⟩ Westph. ‖ 14 καὶ AH, om. I ‖ 15 κατὰ σχέσιν τινὰ scripsi, ἔχειν τινὰ σχέσιν C, ἔχειν τινὰ rell. ‖ 16 τὰ] σχέσιν τὰ H | post συστήματα add. ἐν τῷ H ‖ ante v. 18 desunt τὰ ἀπολελυμένα, sed non codicum vitio ‖ 19 ἀρχῆς I ‖ 21 ἐκ H, καὶ A, $\overset{\text{ἐκ}}{\text{καὶ}}$ I

*καὶ διμέτρου ἀκαταλήκτου τοῦ*
*χρυσέοισιν ἀνθέμοισιν·*
*τὸ δὲ τρίτον ἐξ ὑπερκαταλήκτου,*
*ἀντὶ τᾶς ἐγὼ οὐδὲ Λυδίαν* 55
*καὶ βραχυκαταλήκτου,*
*πᾶσαν οὐδ' ἐραννάν.*

*(20) Ἀνακρέων δὲ οὐκ ἰαμβικῷ ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν* (30)

*τὸν λυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.*

*(21) Τούτου δὲ μεῖζόν ἐστι συλλαβῇ τῇ τελευταίᾳ τὸ καλούμενον Κρατίνειον· ἔστι γὰρ ἐκ χοριαμβικοῦ ἐπιμίκτου, τοῦ τὴν δευτέραν ἰαμβικὴν ἔχοντος καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς·*

*Εὔιε κισσοχαῖτ' ἄναξ, χαῖρ', ἔφασκ' Ἐκφαντίδης* (frg. 324[a]) —
*πάντα φορητά, πάντα τολμητὰ τῷδε τῷ χορῷ* (324[b]) — [10
*πλὴν Ξενίου ὁμονισι καὶ Σχοινίωνος, ὦ Χάρον* (324[c]).— [10

*(22) Τὸ μὲν οὖν καθαρὸν Κρατίνειον τοιοῦτόν ἐστι· πολυσχημάτιστον δὲ αὐτὸ πεποιήκασιν οἱ κωμικοί. τοὺς γὰρ σπονδείους τοὺς ἐμπίπτοντας ἐν τοῖς ἰαμβικοῖς καὶ τοῖς τροχαϊκοῖς παρὰ τάξιν παραλαμβάνουσιν ἐν ταῖς μέσαις συζυγίαις, τῇ τροχαϊκῇ καὶ τῇ ἰαμβικῇ. Εὔπολις δὲ ἐν τοῖς Ἀστρατεύτοις καὶ ἀτακτοτάτως συνέθηκε τὸ εἶδος· πῇ μὲν γὰρ τοιαῦτα ποιεῖ* (37) [10 [10

*ἄνδρες ἑταῖροι, δεῦρ' ἤδη τὴν γνώμην προσίσχετε,*
*εἰ δυνατόν, καὶ μή τι μεῖζον πράττουσα τυγχάνει,*

4 *τᾶσδ'* *I* || 6 *ἐράνναν* *A* || 10 *μυροποιὸν* Bergk | *στράτιν* *I* || 15 *ἔφασκε φαντίδης* *I* || 18 *ξινίου* *I* | *χάρων* *I* || 24 *ἀστρατεύτοις* *I*, *εὐστρατεύτοις* *AH*, sed cf. *ἐν Ἀστρατεύτοις* p. 58, 7 | *ἀτακτοτάτως* *H*, *ἀτακτοτάτοις* *A*, *ἀτακτότατα* *I* || 26 *δεῦρο δὴ* Hermann, sed cf. schol.[A] p. 215, 15 | *προσίσχετε* Hermann, *προΐσχετε* codd.

*(8)* Τὰ δὲ . . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . . . . . . . . .
62 ἐπῳδικὰ καλεῖται, ἐὰν δὲ ἐν τῇ πρώτῃ, προῳδικά, ἐὰν
117] δὲ ἐν μέσῳ, μεσῳδικά. Ταῦτα μὲν οὖν καὶ ἐν τριάσιν
ὁρᾶται· ἐὰν δὲ ὑπερεξαγάγῃ τὴν τριάδα, γίνονται καὶ ἄλλαι ἰδέαι δύο. ἤτοι γὰρ περιῳδικά ἐστιν, ὅταν αἱ μὲν ἑκατέρωθεν ἀνόμοιοι ὦσιν ⟨ἀλλήλαις, αἱ δὲ ἐν μέσῳ⟩ ἀλλήλαις μὲν ὅμοιαι, ταῖς δὲ περιεχούσαις ἀνόμοιοι· ἢ παλινῳδικά, ὅταν αἱ ἑκατέρωθεν ἀλλήλαις μὲν ὦσιν ὅμοιαι, ⟨ταῖς δὲ ἐν μέσῳ ἀνόμοιοι⟩ καὶ αἱ ἐν μέσῳ ταῖς μὲν περιεχούσαις ἀνόμοιοι, ⟨ἀλλήλαις δὲ ὅμοιαι⟩.

*(9)* Τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ τὰς μὲν περικοπὰς ὁμοίας ἀλλήλαις ἔχει, τὰς δὲ ἐν ταῖς περικοπαῖς περιόδους ἀνομοίους· καλεῖται δὲ τὰ μὲν δυαδικά, ὅσα δύο τὰς ἐν τῇ περικοπῇ περιόδους ἔχει, τὰ δὲ τριαδικά, ὅσα τρεῖς, τὰ δὲ τετραδικά, ὅσα τέσσαρας· καὶ ἐπὶ τῶν ἑξῆς κατὰ τὸν αὐτὸν λόγον.

*(10)* Ἀντιθετικὰ δέ, ὅσα κατὰ σχέσιν μὲν γέγραπται,

3—4 Atil. Fort. VI 295, 1—15. Mar. Vict. VI 58, 5—23 (BA V 3, 98) ‖ 13—18 Mar. Vict. 59, 8—23

1 lacunam sic explevit Hense: ⟨*ἐπῳδικά ἐστιν ἐν οἷς περιόδοις ὁμοίαις ἀνομοία τις προστέτακται. Ἐὰν μὲν οὖν τὴν ἀνομοίαν ἔχῃ ἐν τῇ τελευταίᾳ χώρᾳ, ὁμωνύμως τῷ γένει*⟩; cf. p. 67, 1 sqq. ‖ 4 *μεσῳδικὰ* Turn., *ᾠδικὰ AIH* | *καὶ ταῦτα μὲν οὖν ἐν* Hense ‖ 5 *δὲ* om. *A* | *ὑπερεξαγάγῃ* codex quidam interpol., *ὑπερεξαπάγη A*, *ὑπερεξεπάγη IM*, *ὑπὲρ ἓξ ἀπάγη H* | *γίνονται*] *τίνονται A* ‖ 6 *ἐστιν ὅταν αἱ* Turn., *ἐστι δ' ὅτ' εἰ* codd. ‖ 7 *ἀνόμοιοι* scripsi, *ἀνόμοιαι* codd. | *ἀλλήλαις* inserui, *αἱ — μέσῳ* ins. Westph. ‖ 8 *ἀνόμοιοι A*, *ὁμοῖαι I* ‖ 9 *πάλιν ᾠδικὰ A* ‖ 10 *μὲν ὦσιν* Studem., *μελιωπαι A*, *μελοποιίαι IH* | *ταῖς — ἀνόμοιοι* inserui | *αἱ* om. *A* ‖ 11 *ἀνόμοιοι* scripsi, *ἀνόμοιαι* codd. | *ἀλληλ. δ. ὁμ.* add. Westph. ‖ 13 *μὲν* scripsi, *δὲ* codd., om. Gaisf. ‖ 15 *ἀνομοίας* Hense ‖ 17 *τρεῖς* Turn., *τρία* codd. | *τέσσαρας* Turn., *τέσσαρα* codd. ‖ 19 *σχέσιν* Meibom., *θέσιν* codd. | *τὸ πρῶτον*] *ἀλλὰ τὸ πρῶτον ἀπὸ τοῦ τέλους H*

*κἄσθ' ὅπου συνῆψε τὴν λέξιν* (Sapph. 100)

*μελλίχροος δ' ἐπ' ἱμερτῷ κέχυται προσώπῳ.*

*Τοσαῦτα καὶ περὶ τῶν ἀσυναρτήτων.*

## XVI.

### *Περὶ πολυσχηματίστων.*

*(1) Πολυσχημάτιστα δὲ καλεῖται ὅσα κατ' ἐπιλογισμὸν μὲν οὐδένα πλῆθος ἐπιδέχεται σχημάτων, κατὰ προ-* [10 *αίρεσιν δὲ ἄλλως τῶν χρησαμένων ποιητῶν· τούτων δ' ἐπισημότατά ἐστι τάδε.*

*(2) Τὸ Πριάπειον, οὐ μόνον ἰαμβικῇ τῇ δευτέρᾳ χρώμενον, ἀλλὰ καὶ χοριαμβικῇ· καὶ τὸν ἀντίσπαστον ἔσθ' ὅτε, τὸν πρῶτον τοῦ παντὸς μέτρου, εἰς σπονδεῖον περαιοῦσιν, ἐάν τε ἀπὸ ἰάμβου ἄρχηται, ἐάν τε ἀπὸ τροχαίου, κατὰ τὸ δεδομένον, ἐάν τε ἀπὸ σπονδείου, οἷον παρ' Εὐφορίωνι τῷ Χερρονησιώτῃ* (Meineke: Anal. Alex. p. 341)

*οὐ βέβηλος, ὦ τελεταὶ τοῦ νέου Διονύσου,* [10
*κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω,* 58
*ὁδεύων Πηλουσιακὸν κνεφαῖος παρὰ τέλμα.*

*(3) Ὁμοίως δὲ καὶ ἐπὶ τῶν Γλυκωνείων τοιαῦτα* [11 *σχήματα παραλαμβάνεται, οἷον ἐν τοῖς Κορίννης* (20)

*καλὰ γέροι' ἀεισομένα*
*Ταναγρίδεσσι λευκοπέπλοις.*

17 Dion. Hal. de comp. verb. c. 4 p. 16, 5. Max. Plan. in Hermog. RhG V 491, 12 *τοῖς πριαπείοις . . . συμβέβηλος ὡς λέγεται τοῦ νέου Διονύσου· κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω.*

1 *κἄσθ' ὅπου* Thiemann, *καὶ ὁ ποῦς A*, *καὶ — λέξιν* om. *I* ‖ 7 *μὲν* om. *I* ‖ 14 *δεδογμένον C*, Caesar ‖ 15 *χερρονησίω I* ‖ 17 *τελετὴ I* ‖ 19 *ὁδεύων I* | *παρατέλμα A*, *παρὰ λαῖτμα I*, *παρὰ λέτμα H* ‖ 20 *τὰ τοιαῦτα I* ‖ 22 *καλὰ γέροια A*, *καλαγέρεια I* | *εἰσομένα* codd., corr. Hiller ‖ 23 *ταναγρίδεσι I*

*μέγα δ' ἐμὴ γέγαθε πόλις*
*λιγουροκωτίλαις ἐνοπαῖς.*

11] *ὧδε καὶ τόδε*
*καὶ πεντήκοντ' οὐψιβίας* (Cor. 13).

*ἔτι δὲ καὶ πλείοσιν αὕτη κέχρηται σχήμασιν* (Cor. 14—18)

*δούρατος ὥστ' ἐφ' ἵππω. —*
*κατὰ μὲν βριμούμενοι. —*
*πόλιν δ' ἐπράθομεν. —*
12] *† προφανεὶς· γλούκου δέ τις ᾄδων. —*
*πελέκεσσι δονεῖται. —*

*(4) Τάχα δὲ καὶ τὸ κωμικόν [τὸ] καλούμενον ἐπιωνικὸν πολυσχημάτιστον συνέθεσαν· μάλιστα δ' ἐν αὐτῷ ἀταξία πολλή, ἡ τοὺς σπονδείους ἐπ' ἀρτίου χώρας ἔχουσα τῶν ἰαμβικῶν συζυγιῶν, οἷον παρ' Εὐπόλιδι ἐν Χρυσῷ Γένει* (290)

*ὦ καλλίστη πόλι πασῶν ὅσας Κλέων ἐφορᾷ,*
*ὡς εὐδαίμων πρότερόν τ' ἦσθα, νῦν δὲ μᾶλλον ἔσῃ.*

59 *(5) Καὶ τὸ Εὐπολίδειον [τὸ] καλούμενον ἐπιχοριαμβικὸν πολυσχημάτιστόν ἐστιν, ἐν ᾧ τὰς τροχαϊκὰς παρὰ τάξιν ποιοῦσι δέχεσθαι τὸν σπονδεῖον· — ἐνίοτε δὲ καὶ ἀντισπαστικὸν καθαρὸν ποιοῦσιν — οἷον*

16 cf. Prisc. de metr. Ter. GL III 429, 1—10. schol. ad Pind. Ol. XIII p. 357, 8

1 *γέγαθε I*, *γέγασε A*, *μέγαθε H* ‖ 4 *πεντηκόντου ψιβίας I* ‖ 7 *κατα μὲν A*, *καταμεν I*, *κάρτα μὲν* Herm. ‖ 8 et 9 in *A* unum versum efficiunt puncto post *ἐπράθομεν* addito ‖ 8 *ἔπραθ' ὁ μὲν προφανεὶς* prop. Bergk ‖ 9 *προφανὴς I* | *γλύκον I* | *γλυκὺ δέ τις ἀείδων* Hiller ‖ 10 *πελέκεσι I* cf. schol.[A] ‖ 11 *τὸ* del. ‖ 13 *ἀρτίου* Pauw, *ἀρτίους* codd., cf. e. g. p. 20, 4 ‖ 16 *ὅσα I* ‖ 17 *δὲ*] *τε* Prisc. l. c. | *ἔσει* Prisc. ‖ 18 *τὸ* (post.) *A*, *τοῦτο τὸ IM*; delendum | *χοριαμβικὸν I* ‖ 20 *ἐνίοτε* ex *ᾧ* corr. ab *A*[1]

*εὐφράνας ἡμᾶς ἀπέπεμπ' οἴκαδ' ἄλλον ἄλλοσε*
(frg. com. ad. 53).
*ὁ σώφρων τε χὠ καταπύγων ἄριστ' ἠκουσάτην*
(Arist. Nub. 529).

*(6) Καὶ τὸ Κρατίνειον δὲ τὸ ἀσυνάρτητον ἐκ χοριαμβικοῦ καὶ τροχαϊκοῦ πολυσχημάτιστόν ἐστιν. ἀρκέσει τοῦτο δεῖξαι ἡ παράβασις ἡ ἐν τοῖς Ἀστρατεύτοις Εὐπόλιδος πᾶσα, ἵνα μὴ νῦν μηκύνωμεν παραδείγματα παρατιθέμενοι.* [1

*Τοσαῦτα περὶ τῶν μέτρων, περὶ δὲ ποιήματος ἑξῆς ῥητέον.*

---

## ΗΦΑΙΣΤΙΩΝΟΣ ΜΕΤΡΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ [1

### *Περὶ ποιήματος.*

*(1) Τῶν ποιημάτων τὰ μέν ἐστι κατὰ στίχον, τὰ δὲ συστηματικά, τὰ δὲ μικτά, τὰ δὲ κοινά.*

*Κατὰ στίχον μὲν ὅσα ὑπὸ τοῦ αὐτοῦ μέτρου καταμετρεῖται, ὡς τὰ Ὁμήρου καὶ τῶν ἐποποιῶν ἔπη· καταχρηστικῶς δὲ κἂν ὑπὸ κώλου ἢ κόμματος, ὡς τὸ Καλλιμάχειον τοῦτο ποιημάτιον* (118)

*ἡ παῖς ἡ κατάκλειστος,*
*τὴν οἵ φασι τεκόντες.*

1 et 3 cf. Prisc. de metr. Ter. GL III 429 ‖ 12 ad hoc caput cf. infra p. 62—69. Ar. Quint. 37, 6—20. Mar. Vict. VI 56, 22—59, 23 — Diom. I 501, 29 — 502, 5 (BA V 3, 119) ‖ 14 *κατὰ στίχον ἢ περίοδον ἢ στροφήν* Dion. Hal. de comp. verb. c. 25 p. 125, 10 ‖ 14—19 Is. Tzetz. AP I 60, 12 sqq.

1 *εὐφράνας*] *εὔφρανας* codd. | *οἴκαδ' ἄλλον*] *οἴ αλ''λ'ον* (sic) *I* ‖ 3 *χὢ AM*, *χ'ὠ I* ‖ 12 *εἰσαγωγή A* ‖ 13 *ἡφαιστίωνος περὶ ποιημάτων C*, *περὶ ποιημάτων* (om. *ἡφ.*) *H*, de huius capitis auctore atque indole cf. BA V 3, 29 sqq. ‖ 18 *κώματος A* ‖ 21 *τὴν οἵ φασι C*; *τὴν οἱ φασι A*, *τήν οἱ φασι I*

60 καταμετρεῖται γὰρ ὑπὸ κόμματος ἀντισπαστικοῦ, καλουμένου Φερεκρατείου.

Συστηματικὰ δὲ ὅσα ὑπὸ πλειόνων μέτρων εἰς ἓν σῶμα παραληφθέντων καταμετρεῖται ἢ συμπληροῦται.

5] Μικτὰ δὲ ὅσα μέρος μέν τι ἔχει ὑπὸ στίχου καταμετρούμενον, μέρος δὲ συστηματικόν.

Κοινὰ δὲ ὅσα ὑπὸ συστήματος μὲν καταμετρεῖται, αὐτὸ δὲ τὸ σύστημα ἔχει πληρούμενον, οἷά ἐστι τὰ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ Σαπφοῦς· ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας, αὐτὴ δὲ ἡ διστιχία ὁμοία ἐστί.

(2) ⟨Καὶ τὰ μέν ἐστι⟩ κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ μικτά, τὰ δὲ κοινά.

Καὶ κατὰ σχέσιν μέν ἐστιν, ὅσα μετρεῖται ὑπὸ συστήματος, καλεῖται δὲ οὕτως διὰ τὸ ⟨κατὰ⟩ σχέσιν τινὰ πρὸς ἄλληλα τὰ ἐν τῷ ποιήματι συστήματα καταμετρεῖσθαι.

(3) Ἐξ ὁμοίων δὲ ὅσα ἐκ τοῦ αὐτοῦ ποδός ἐστιν ἢ τῆς αὐτῆς συζυγίας ἢ τῆς αὐτῆς περιόδου ἀρχικῆς, οὔτε ὑπὸ στίχου οὔτε ὑπὸ συστήματος καταμετρούμενα.

61 (4) Μετρικὰ δὲ ἄτακτα, ὅσα ἐκ μέτρων μὲν ὁμολογου-

3—5 At. Fort. VI 296, 1 ‖ 4 κατὰ σχέσιν schol. in Aristoph. Nub. 518 (V) ‖ 18 ad carmina ἐξ ὁμοίων cf. Ter. Maur. VI v. 1512 sqq. 2056 sqq. Mar. Vict. VI 91, 8 sqq. ‖ 19 de periodo cf. Mar. Vict. VI 55, 1. Is. Tzetz. AP I 64, 29 sqq. ‖ 21—60, 5 Is. Tzetz. AP I 64, 10—16

8 post σύστημα add. Bergk ⟨κατὰ στίχον⟩, Westphal ⟨ἐκ τῶν αὐτῶν μέτρων⟩ | ἔχει *I*, ἔστι *AH* ‖ 10 διστοιχείαι σ (sic) *A*, διστοιχίας *I*, διστιχείας *H* | αὐτὴ Flor., αὕτη codd. | διστιχία *H*, διστοιχία *AI* ‖ 11 τὰ — ἐστι inserui; ⟨τῶν δὲ συστηματικῶν ἐστι⟩ Westph. ‖ 14 καὶ *AH*, om. *I* ‖ 15 κατὰ σχέσιν τινὰ scripsi, ἔχειν τινὰ σχέσιν *C*, ἔχειν τινὰ rell. ‖ 16 τὰ] σχέσιν τὰ *H* | post συστήματα add. ἐν τῷ *H* ‖ ante v. 18 desunt τὰ ἀπολελυμένα, sed non codicum vitio ‖ 19 ἀρχῆς *I* ‖ 21 ἐκ *H*, καὶ (ἐκ supra) *A*, καὶ *I*

*μένων συνέστηκε, τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει, οὔτε κατὰ στίχον οὔτε συστηματικά· οἷός ἐστιν ὁ Μαρ-* [1 *γίτης ὁ εἰς Ὅμηρον ἀναφερόμενος, ἐν ᾧ παρέσπαρται τοῖς ἔπεσιν ἰαμβικά, καὶ ταῦτα οὐ κατ' ἴσον σύστημα. τοιοῦτόν ἐστι καὶ τὸ Σιμωνίδειον ἐπίγραμμα* (Sim. 188)

*Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,*
*οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,*
*Ἀριστόδαμος Θράσυος Ἀλεῖος πάλᾳ.*

*(5) Μικτὰ δὲ ὅσα μέρος μέν τι ἔχει κατὰ σχέσιν, μέρος δέ τι ἀπολελυμένον ἢ ἐξ ὁμοίων.*

*Κοινὰ δὲ ὅσα καθ' ἑτέραν μὲν ἰδεαν γέγραπται τοῦ συστήματος, δύναται δὲ καὶ καθ' ἑτέραν γεγράφθαι δοκεῖν· οἷον, φέρ' εἰπεῖν, ἐξ ὁμοίων ὄντα κατὰ σχέσιν δοκεῖν γεγράφθαι.*

*Τοσαῦτα μὲν δὴ ταῦτα.*

*(6) Πάλιν δὲ ἕκαστα τῶν προειρημένων ὑποδιαιρετέον. Τῶν γὰρ κατὰ σχέσιν τὰ μέν ἐστι μονοστροφικά, τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατὰ σχέσιν, ⟨τὰ δὲ κοινὰ κατὰ σχέσιν⟩.*

*(7) Τὰ μὲν οὖν μονοστροφικά ἐστιν, ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται.*

2 de Margite cf. Mar. Vict. VI 79, 12. Atil. Fort. VI 286, 3. schol. in Dion. Thr. 472, 1 ‖ 21 Caes. Bass. VI 266, 26 — 267, 2. Mar. Vict. VI 59, 6—7. 162, 1—3. 167, 18. At. Fort. VI 294, 24—27

2 *οὔτε* (post. l.) *IH*, *οὐδὲ A* | *συστηματικά*] *κατὰ συστήματα H* | *μαργείτης A* ‖ 4 *ἰαμβικὰ* codd., *ἰαμβεῖα* Wilam. ‖ 6 *νέμεα I* | *ὀλυμπία A*, *ὀλύμπια IH* ‖ 8 *Ἀριστόδαμος* Scaliger, *ἀριστοδάμας* codd. | *Θράσυος* Wilam., *θρασὺς* codd., *Θράσιδος* Scal. | *Ἀλεῖος* Scal., *ἄλιος* (in *A* litt. *ιος* fenestra haustae) codd. ‖ 10 *τι I*, *τε A* ‖ 11 *ἰδέαν H*, *ἰδίαν AI* ‖ 12 *καθ' ἑτέραν* Flor., *θατέραν* (om. *καθ'*) *H*, *καθ' ἕτερον AI* ‖ 16 *ἕκαστα* ⟨*τῶν τριῶν πρώτων*⟩ Hense ‖ 18 *κατὰ* om. *A* ‖ 19 *τὰ — σχέσιν* Turn., om. codd. ‖ 21 *μονοστροφικὰ I*, *μονόστροφα A*

*(8) Τὰ δὲ* . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . .

62 ἐπῳδικὰ καλεῖται, ἐὰν δὲ ἐν τῇ πρώτῃ, προῳδικά, ἐὰν
117] δὲ ἐν μέσῳ, μεσῳδικά. Ταῦτα μὲν οὖν καὶ ἐν τριάσιν ὁρᾶται· ἐὰν δὲ ὑπερεξαγάγῃ τὴν τριάδα, γίνονται καὶ ἄλλαι ἰδέαι δύο. ἤτοι γὰρ περιῳδικά ἐστιν, ὅταν αἱ μὲν ἑκατέρωθεν ἀνόμοιοι ὦσιν ⟨ἀλλήλαις, αἱ δὲ ἐν μέσῳ⟩ ἀλλήλαις μὲν ὅμοιαι, ταῖς δὲ περιεχούσαις ἀνόμοιοι· ἢ παλινῳδικά, ὅταν αἱ ἑκατέρωθεν ἀλλήλαις μὲν ὦσιν ὅμοιαι, ⟨ταῖς δὲ ἐν μέσῳ ἀνόμοιοι⟩ καὶ αἱ ἐν μέσῳ ταῖς μὲν περιεχούσαις ἀνόμοιοι, ⟨ἀλλήλαις δὲ ὅμοιαι⟩.

*(9)* Τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ τὰς μὲν περικοπὰς ὁμοίας ἀλλήλαις ἔχει, τὰς δὲ ἐν ταῖς περικοπαῖς περιόδους ἀνομοίους· καλεῖται δὲ τὰ μὲν δυαδικά, ὅσα δύο τὰς ἐν τῇ περικοπῇ περιόδους ἔχει, τὰ δὲ τριαδικά, ὅσα τρεῖς, τὰ δὲ τετραδικά, ὅσα τέσσαρας· καὶ ἐπὶ τῶν ἑξῆς κατὰ τὸν αὐτὸν λόγον.

*(10)* Ἀντιθετικὰ δέ, ὅσα κατὰ σχέσιν μὲν γέγραπται,

3—4 Atil. Fort. VI 295, 1—15. Mar. Vict. VI 58, 5—23 (B A V 3, 98) ‖ 13—18 Mar. Vict. 59, 8—23

1 lacunam sic explevit Hense: ⟨*ἐπῳδικά ἐστιν ἐν οἷς περιόδοις ὁμοίαις ἀνομοία τις προστέτακται. Ἐὰν μὲν οὖν τὴν ἀνομοίαν ἔχῃ ἐν τῇ τελευταίᾳ χώρᾳ, ὁμωνύμως τῷ γένει*⟩; cf. p. 67, 1 sqq. ‖ 4 *μεσῳδικὰ* Turn., *ᾠδικὰ AIH* | *καὶ ταῦτα μὲν οὖν ἐν* Hense ‖ 5 *δὲ* om. *A* | *ὑπερεξαγάγῃ* codex quidam interpol., *ὑπερεξαπάγη A*, *ὑπερεξεπάγη IM*, *ὑπὲρ ἓξ ἀπάγῃ H* | *γίνονται*] *τίνονται A* ‖ 6 *ἐστιν ὅταν αἱ* Turn., *ἐστι δ' ὅτ' εἰ* codd. ‖ 7 *ἀνόμοιοι* scripsi, *ἀνόμοιαι* codd. | *ἀλλήλαις* inserui, *αἱ — μέσῳ* ins. Westph. ‖ 8 *ἀνόμοιοι A*, *ὁμοῖαι I* ‖ 9 *πάλιν ᾠδικὰ A* ‖ 10 *μὲν ὦσιν* Studem., *μελιωπαι A*, *μελοποιίαι IH* | *ταῖς — ἀνόμοιοι* inserui | *αἱ* om. *A* ‖ 11 *ἀνόμοιοι* scripsi, *ἀνόμοιαι* codd. | *ἀλληλ. δ. ὁμ.* add. Westph. ‖ 13 *μὲν* scripsi, *δὲ* codd., om. Gaisf. ‖ 15 *ἀνομοίας* Hense ‖ 17 *τρεῖς* Turn., *τρία* codd. | *τέσσαρας* Turn., *τέσσαρα* codd. ‖ 19 *σχέσιν* Meibom., *θέσιν* codd. | *τὸ πρῶτον*] *ἀλλὰ τὸ πρῶτον ἀπὸ τοῦ τέλους H*

*οὐ μέντοι κατὰ τὴν αὐτὴν τάξιν παραβάλλεται ἀλλήλοις
τὰ ἀντιστρέφοντα, τὸ πρῶτον τῷ πρώτῳ . . . παραβάλ-
λεσθαι, τὸ ⟨δὲ⟩ δεύτερον ἀπὸ τέλους τῷ δευτέρῳ ἀπ'
ἀρχῆς· τὸ δὲ τρίτον ἀπὸ τέλους τῷ τρίτῳ· καὶ ἐπὶ* 63
*τῶν λοιπῶν οὕτω. ταύτης τῆς ἰδέας ἐστὶ τὸ Ὠιὸν τὸ
Σιμίου καὶ ἄλλα παίγνια.*

*(11) Μικτὰ δὲ κατὰ σχέσιν ἐστίν, ὅσα ἐκ μερῶν ἐστιν,
πάντων μὲν κατὰ σχέσιν, ἀνομοίων δὲ ἀλλήλοις κατὰ* [1
*τὴν ἰδέαν, ⟨οἷον⟩ ἔκ τε ἐπῳδικῶν καὶ μονοστροφικῶν,
ἢ κατὰ περικοπήν.*

*(12) Κοινὰ δέ ἐστι κατὰ σχέσιν, ὅσα καθ' ἑτέραν μὲν ἰδέαν τῶν κατὰ σχέσιν γέγραπται, δύναται δὲ καὶ καθ' ἑτέραν γεγράφθαι δοκεῖν, οἷον, εἰ μονοστροφικῶς γραφὲν δύναται τοῦτο καὶ ἐπῳδικῶς γεγράφθαι δοκεῖν.*

---

# ΗΦΑΙΣΤΙΩΝΟΣ ΠΕΡΙ ΠΟΙΗΜΑΤΩΝ. 64

## I.

*(1) Στίχος ἐστὶ ποσὸν μέγεθος μέτρου, ὅπερ οὔτε ἔλαττόν ἐστι τριῶν συζυγιῶν οὔτε μεῖζον τεσσάρων. τὸ*

16 sqq. ad c. I—IV cf. commentariolum antecedentem p. 58—62; Is. Tzetz. A P I 60—67 ‖ 17—p. 63, 3 schol.[B] 7, 20—22. 8, 1—3. Ioa. Tzetz. A O III 316, 28. 317, 28. Mar. Vict. VI 53, 26. At. Fort. VI 282, 26. Io. Sic. in Hermog. Rh G VI 127, 13—24

2 lacunam indicavi; haec fere intercidisse videntur *ἀλλ' οὕτως ὥστε τὸ τελευταῖον τῷ πρώτῳ* | *παραβάλλεται* Turn., *παραβάλλεσθαι τῷ ἀπὸ τῆς ἀρχῆς H* ‖ 3 *δὲ* addidi ‖ 5 *τὸ* (sic, post. l.) *A*, *τοῦ I* ‖ 7 *εἰσὶν I* | *μερῶν* Westph., *μέτρων* codd. ‖ 8 *πάντων* scripsi, *ἐκ πάντων* codd., *ἁπάντων* Caesar | *ἀνομοίων* vel *οὐχ ὁμοίων* Pauw, *ὁμοίως* codd. ‖ 9 *οἷον* inserui ‖ 10 post *περικοπὴν* add. *ἀνομοιομερῶν* Westph. ‖ 11 *ἑτέρων μὲν ἰδεῶν I* ‖ 13 *ἑτέρων I* ‖ 14 post *δοκεῖν* libri finis indicatur in *A* additis picturae emblematis nonnullis, deinde sequitur titulus *ἡφ. π. π.* ‖ 15 in *IM* *τοῦ αὐτοῦ ἡφαιστίωνος σαφεστέρα διδασκαλία περὶ μετρικῆς εἰσαγωγῆς ἢ περὶ ποιήματος.* | de huius libelli indole cf. B A V 3, 45 sqq.

*δὲ ἔλαττον ὂν τριῶν συζυγιῶν, ἐὰν μὲν πλήρεις ἔχῃ τὰς συζυγίας, ἀκατάληκτόν ἐστι καὶ καλεῖται κῶλον, ἐὰν δέ τι ἐλλείπῃ, κόμμα.*

119] *Σύστημα δέ ἐστι μέτρων συναγωγή, ἤτοι δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων· ἀνομοίων μέν, ὡς τὰ ἐλεγεῖα [ἑξαμέτρου γάρ ἐστι πρὸς πεντάμετρον κοινωνία·] καὶ οἱ ἐπῳδοί· τὸ δὲ ἐξ ὁμοίων, ὡς τὸ δεύτερον Σαπφοῦς, ὡς προϊόντες δείξομεν.*

*(2) Ὄντων δὴ τούτων τῶν ἀνωτάτω γενῶν, κατὰ τὴν*
120] *τούτων μεῖξιν ὑφίσταται τά τε μεικτὰ γενικὰ προσαγορευόμενα καὶ τὰ κοινὰ [συστηματικά].*

*Καὶ μικτὰ μὲν γενικά, ὡς αἱ τραγῳδίαι καὶ αἱ πα-*
65 *λαιαὶ κωμῳδίαι· μέρος μὲν γὰρ τούτων γέγραπται κατὰ στίχον, μέρος δὲ κατὰ σύστημα.*

*Κοινὰ δὲ [συστηματικά], ἅπερ καὶ ὁ κατὰ στίχον γεγράφθαι φάσκων ὑγιῶς ἂν λέγοι καὶ ὁ κατὰ σύστημα, ὡς τὸ δεύτερον καὶ τρίτον Σαπφοῦς. διὰ μὲν γὰρ τὸ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις κατὰ δύο ὁρᾶν παραγεγραμμένον ἕκαστον ᾆσμα, καὶ ἔτι διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ περιττοῦ, κατὰ συστήματα νομίζομεν αὐτὰ γεγράφθαι· πάλιν δέ, τῷ ὅμοιον ἑκάτερον εἶναι τῶν ἐν τῇ δυάδι στίχων, καὶ τῷ δύνασθαι τὴν ποιή-*
121] *τριαν κατὰ τύχην τινὰ ἀρτίου πάντα ἀριθμοῦ πεποιηκέναι, φαίη τις ἂν κατὰ στίχον αὐτὰ γεγράφθαι.*

*(3) Δεδειγμένου δὲ ἡμῖν τί τέ ἐστι στίχος, καὶ τί*

4 sqq. schol.[B] 8, 5 sqq. ‖ 8 *δεύτερον Σαπφοῦς*] p. 23, 15 ‖ 17 *δεύτερον καὶ τρίτον Σαπφοῦς*] p. 23, 15. 34, 12

1 *τριῶν* *H*, *δύο* *AI* ‖ 3 *τι* om. *I* ‖ 6 *ἑξαμέτρου — κοινωνία* ut grammatici additamentum secl. Caesar ‖ 11 solum *κοινὰ* aut *κοινὰ γενικὰ* Hephaestio scripsisse videtur, *συστηματικά* codd., schol.[B] p. 8, 8, Is. Tz. p. 63, 1 ‖ 15 *συστηματικά* codd., schol.[B], Is. Tz., Heph. *γενικά* ‖ 20 *σύστημα* *I* ‖ 22 *τῷ* *I*, *τὸ* *A* ‖ 25 *τὶ τὸ κόμμα* *I*

κόμμα καὶ τί κῶλον καὶ τί σύστημα, ὅμως παρέντες ἡμεῖς τὴν τοιαύτην ἀκριβολογίαν καὶ ταῦτα, καίπερ κατὰ κόμμα γεγραμμένα, κατὰ στίχον γεγράφθαι φαμέν· (Callim. 118)

ἡ παῖς ἡ κατάκλειστος,
τὴν οἵ φασι τεκόντες
εὐναίους ὀαρισμοὺς
ἔχθειν ἶσον ὀλέθρῳ.

## II.

Τῶν δὲ κατὰ στίχον τὰ μέν ἐστι μικτά, τὰ δὲ οὔ.

Καὶ μικτὰ μέν, ὡς αἱ Μενάνδρου κωμῳδίαι· πῇ μὲν γὰρ τετράμετρα ἐν τῷ αὐτῷ ποιήματι, πῇ δὲ τρίμετρα εὑρίσκεται· τὰ δὲ ἄμικτα, ὡς αἱ Ὁμήρου ῥαψῳδίαι. 66

## III.

(1) Τῶν δὲ κατὰ συστήματα γεγραμμένων τὰ μέν ἐστι κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μικτὰ συστηματικά, τὰ δὲ κοινὰ συστηματικά· περὶ ὧν ἐροῦμεν.

(2) Κατὰ σχέσιν μὲν οὖν ἐστι, ἃ δουλεύων ἀνταποδόσει [12 καὶ ἀνακυκλήσει ὁ ποιητὴς γράφει.

(3) Ἀπολελυμένα δέ, ἃ εἰκῆ γέγραπται καὶ ἄνευ μέτρου

12 schol.[B] 8, 11 sqq. | *Μενάνδρου κωμῳδίαι*] Mar. Vict. VI 56, 25. 57, 14. 78, 19 ‖ 22—23 cf. Io. Sic. in Hermog. RhG VI 112, 24—26. Dion. Hal. de comp. verb. c. 25 p. 125, 8—20 ‖ 24 *τὸ λελυμένον* Procl. chrest. p. 245, 11 (Westph.); *ἐκλελυμένα* schol. (RV) in Arist. Ran. 1309; cf. schol. in Dion. Thr. 243, 13

6 *τήν οἱ φασὶ* codd. ‖ 8 *ἔχθειν* Scaliger, *ἔχειν* codd. ‖ 12 *αἱ* om. *A* ‖ 17 *σύστημα I* ‖ 22 *δουλεύων ἀνταποδόσει A*, *δ. ἀνταποδώσει I*, *δουλεύαντ᾽ ἀποδώσει H*, *δουλεύοντα ἀνταποδόσει Gaisf.*

ὡρισμένου, οἷοί εἰσιν οἱ νόμοι οἱ κιθαρῳδικοὶ Τιμοθέου.

(4) Μετρικὰ δὲ ἄτακτά ἐστιν, ἅπερ μέτρῳ μὲν γέγραπταί τινι, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν, οἷόν ἐστι τὸ τοῦ Σιμωνίδου ἐπίγραμμα (188)

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσυος Ἀλεῖος πάλᾳ.

[123] τοιοῦτός ἐστι καὶ ὁ Μαργίτης Ὁμήρου· οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν τὸ ἰαμβικὸν ἐπιφέρεται.

(5) Ἐξ ὁμοίων δέ ἐστιν, ἅπερ ὑπὸ ποδὸς ἢ συζυγίας ἢ περιόδου καταμετρεῖται ἄνευ ἀριθμοῦ τινὸς ὡρισμένου· ὡς ἐὰν τεταγμένος ἀριθμὸς ᾖ, οὐκ ἔστιν ἐξ
67 ὁμοίων, ἀλλὰ κατὰ σχέσιν, ὡς ἐν τῷ παρ' Ἀλκαίῳ ᾄσματι (59), οὗ ἡ ἀρχή

ἔμε δείλαν, ἔμε πάσαν κακοτάτων πεδέχοισαν.

ἄπειρος μὲν γάρ τις ὢν φήσειεν ἂν αὐτὸ ἐξ ὁμοίων εἶναι, ἐξ ἰωνικῆς ἀπ' ἐλάσσονος συζυγίας καταμετρούμενον, ἡμεῖς δέ, ἐπεὶ κατὰ δέκα ὁρῶμεν αὐτὸ συζυγίας καταμετρούμενον, κατὰ σχέσιν αὐτὸ γεγράφθαι φαμέν.
[124] διόπερ καὶ τὰ μονοστροφικὰ ᾄσματα δέκα ὄντα συζυγιῶν οὕτω πεποιῆσθαι νομίζομεν. Ἔστι δέ τινα

1 *νόμοι*] Arist. Probl. XIX 15 ‖ 15 Mar. Vict. VI 91, 8 sqq. 129, 24. Ter. Maur. VI v. 1512 sqq. ‖ 17 idem exemplum 38, 5

4 post *τινι* prop. ⟨*ὁμολογουμένῳ*⟩ Caesar ‖ 7 *νέμεα* codd. | *δισολύμπια* *A*, *δὶς ὀλύμπια* *I* ‖ 8 *τέχνη* *A* ‖ 9 *ἀριστόδημος θρασὺς αλεῖος* (*ἆλιος* *I*) *πάλαι* codd. ‖ 12 *ὑπὸ* ⟨*τοῦ αὐτοῦ*⟩ *ποδὸς* Pauw, et hoc et ⟨*τῆς αὐτῆς*⟩ *περιόδου* Westph. ‖ 15 post *σχέσιν* add. *A* *μὲν* ‖ 17 *ἐμὲ δειλᾶν* (*δειλᾱ́ν* *A*) *ἐμὲ πασᾶν* codd., cf. p. 38, 5 | *πεδέχοισαν* Bentley, *πέδ' ἔχοισαν* *A*, *πεδέχουσαν* *I* ‖ 18 *ὤν τις* *I* | *ἂν* Turn., om. codd. (*A* in exitu lineolae) ‖ 21 *καταμετρούμενον* *AH*, *γεγραμμένον* *I*

καὶ ἐξ ὁμοίων πεποιημένα, οἷον τὰ Ἑρμείου, παιωνικὰ ὄντα,

ἑπτά μοι δὶς τριάκοντα βασιλεὺς σχεδόν

καὶ τὰ ἑξῆς.

(6) [Ὑπολείπεται δὲ ἡμῖν περί τε τῶν μικτῶν συστηματικῶν εἰπεῖν καὶ τῶν κοινῶν συστηματικῶν. λέγομεν τοίνυν ὅτι μικτὰ μέν ἐστι συστηματικά, ὥσπερ εἴ τις τὴν πρώτην ᾠδὴν ἐν τῷ πρώτῳ Ἀλκαίου καὶ τὴν δευτέραν συνάψειε, συστηματικῆς οὔσης αὐτῶν ἑκατέρας.]

(7) Κοινὰ δέ ἐστι συστηματικὰ τὰ δύο εἴδεσιν ὑποπεπτωκότα, οἷον συμβέβηκεν ἐπὶ τοῦ (Alc. 59)

ἔμε δείλαν, ἔμε πάσαν κακοτάτων πεδέχοισαν·

ἄπειρος μὲν γὰρ ὢν τις τῆς τοῦ ποιητοῦ προθέσεως [125 ἐξ ὁμοίων φήσειεν ἂν εἶναι τὸ ᾆσμα, ὁ δὲ ἔμπειρος κατὰ σχέσιν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἐπεδείξαμεν.

## IV.

(1) Τῶν δὲ κατὰ σχέσιν τὰ μέν ἐστι μονοστροφικά, 68 τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατὰ σχέσιν, τὰ δὲ κοινὰ κατὰ σχέσιν.

(2) Μονοστροφικὰ μὲν οὖν εἰσὶν ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου καὶ τὰ Σαπφοῦς καὶ ἔτι τὰ Ἀνακρέοντος.

(3) Ἐπῳδικὰ δέ ἐστιν, ἐν οἷς συστήμασιν ὁμοίοις ἀν-

21 sqq. Dion. Hal. de comp. verb. c. 19 p. 84, 15 — 85, 15

1 καὶ Caesar, τὰ codd., an ⟨καὶ⟩ τά? | ὁμοίων οὕτω Turn., ὁμοίων ⟨οὐχ⟩ οὕτω Lachmann Kl. Schrift. II 85 ‖ 3 ἑπτάμυδις *I* ‖ 5—9 grammatici additamentum videntur ‖ 5 τῶν καταμίκτων *I* ‖ 12 ἐμὲ δειλὰν ἐμὲ πασᾶν codd., cf. p. 65,17 | πεδέχοισαν om. codd. (*A* in exitu lineolae) ‖ 15 καὶ om. *I* ‖ 17 — p. 67,17 verba τῶν — ὅμοια in *A* folio deperdito interierunt ‖ 21 εἰσιν om. *C* ‖ 23 ἔτι om. *CP*

[126] ὁμοιόν τι ἐπιφέρεται. δηλονότι ἐπ' ἔλαττον μὲν τοῦ τῶν τριῶν ἀριθμοῦ οὐκ ἂν γένοιτό τι τοιοῦτον, ἐπὶ πλεῖον δὲ οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι· γίνεται γὰρ ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς καὶ πεντὰς καὶ ἐπὶ πλεῖον.

(4) Τοῦ δὲ ἐπῳδικοῦ γένους τὰ μέν ἐστιν ὁμωνύμως αὐτῷ καλούμενα ἐπῳδικά, τὰ δὲ προῳδικά, τὰ δὲ μεσῳδικά, τὰ δὲ περιῳδικά, τὰ δὲ παλινῳδικά.

Ἐπῳδικὰ μὲν οὖν ἐστιν, ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται, ὡς τά γε πλεῖστα Πινδάρου καὶ Σιμωνίδου πεποίηται.

Προῳδικὰ δέ ἐστιν, ἐν οἷς τὸ ἀνόμοιον προτέτακται τῶν ὁμοίων.

Μεσῳδικὰ δὲ ἐν οἷς περιέχει μὲν τὰ ὅμοια, μέσον δὲ τὸ ἀνόμοιον τέτακται.

Παλινῳδικὰ δὲ ἐν οἷς τὰ μὲν περιέχοντα ἀλλήλοις
69 ἐστὶν ὅμοια, ἀνόμοια δὲ τοῖς περιεχομένοις· τὰ δὲ περιεχόμενα ἀλλήλοις μὲν ὅμοιά ἐστιν, ἀνόμοια δὲ τοῖς περιέχουσι.

Περιῳδικὰ δέ, ἐν οἷς τὰ μὲν περιεχόμενα ἀλλήλοις
[127] ἐστὶν ὅμοια, τὰ δὲ περιέχοντα οὔτε ἀλλήλοις οὔτε τοῖς περιεχομένοις.

9 cf. e. g. schol. in Pind. Ol. I p. 12, 4 ᾠδὴ ἐπῳδική ἐστι τριαδικὴ περικοπῶν δ'.

1—5 vv. δηλονότι — πλεῖον in *CP* sunt post ἐπιφέρεται v. 10; transposuit Barham; rectum ordinem legisse videntur scholiastes et Is. Tzetz. AP I 66, 1. 26; codicum *CP* ordinem retinuerunt Gaisf. Westph. || 2 τι om. *C*, τὸ *P* || 5 ἐπιπλεῖον *P*, ἐπὶ πλέον *I*, ἐπὶ πλεῖστον *C* || 6—10 vv. τοῦ — ἐπιφέρεται desunt in *IM* || 8 τὰ περιῳδικὰ ante τὰ παλινῳδικὰ perperam collocasse videtur grammaticus || 10 γε *H*, τε *CPI* || 17 ὅμοια ἐστιν *CP* || 18 εἰσιν *I*

(5) *Κατὰ περικοπὴν δέ ἐστιν ἀνομοιομερῆ, ὁπόταν ἐκθέμενος ὁ ποιητὴς ὁπόσα δήποτε συστήματα διάφορα ἐπαγάγῃ ἐκ τῶν αὐτῶν συστημάτων συνεστῶσαν περικοπήν, ὥστε τὰ μὲν ἐν ἑκατέρᾳ ἢ ἑκάστῃ περικοπῇ συστήματα ἀνόμοια εἶναι ἀλλήλοις, τὰς δὲ περικοπὰς ἀμφοτέρας ἀλλήλαις ὁμοίας ἢ πάσας.*

(6) *Ἀντιθετικὰ δέ ἐστιν, ὁπόταν ὁ ποιητὴς γράφῃ ὁπόσα δήποτε κῶλα [ὡς] ἀνόμοια καὶ ὡς βούλεται, εἶτα τούτων ἀνταποδῷ τῷ μὲν τελευταίῳ τὸ πρῶτον, τῷ δὲ* [12 *δευτέρῳ ἀπὸ τέλους τὸ δεύτερον, καὶ οὕτω πάντα κατὰ τὸν αὐτὸν λόγον. τοῦτο δὲ τὸ εἶδος παρὰ μὲν τοῖς παλαιοῖς σπανιώτατόν ἐστι, παρὰ δὲ Σιμίᾳ τῷ Ῥοδίῳ ἐστὶν οὕτω πεποιημένα ἐν τῷ ἐπιγραφομένῳ Ὠιῷ.*

(7) *Μικτὸν δέ ἐστι κατὰ σχέσιν ποίημα, ἐν ᾧ ἐστι μέρη τινά, ἅπερ ἔφαμεν εἶναι τοῦ κατὰ σχέσιν εἴδη, οἷον λόγου χάριν τό τε ἐπῳδικὸν καὶ τὸ μεσῳδικόν.*

(8) *Κοινὸν δέ ἐστι κατὰ σχέσιν τὸ δύο [συστήμασιν] ὑποπεπτωκός, καθάπερ τὸ πρῶτον Ἀνακρέοντος ᾆσμα* (1)

*γουνοῦμαί σ', ἐλαφηβόλε,*
*ξανθὴ παῖ Διός, ἀγρίων* 70
*δέσποιν' Ἄρτεμι θηρῶν*

*καὶ τὰ ἑξῆς. κατὰ μὲν γὰρ τὴν νῦν ἔκδοσιν ὀκτάκωλός ἐστιν ἡ στροφή, καὶ τὸ ᾆσμά ἐστι μονοστροφικόν. δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι εἴς τε τριάδα καὶ πεντάδα ἡ στροφή, ὥστε Φερεκράτειον εἶναι τὸ τελευ-* [1

1 *συζυγία κατὰ περικοπὴν ἀνομοιομερής* schol. Aristoph. (Heliod.) Ach. 971. Pac. 1127. Mar. Vict. VI 59, 8—22 ‖ 7—13 Io. Sic. in Herm. RhG VI 129,7 sqq. ‖ 22 *τὴν νῦν ἔκδοσιν* i. e. *τὴν Ἀριστάρχειον* cf. 74, 11—14

8 *ὡς* del. Kroll ‖ 13 *ἔστιν* codd. | *ἐπιγραφομένῳ* *AH*, *ἐπιγεγραμμένῳ* *I* ‖ 15 post *ἅπερ* add. ⟨*διάφορα*⟩ Barham | *τοῦ*] *τῶν* Westph. | *εἴδους* *I* ‖ 16 *μεσῳδιακὸν* *I* ‖ 17 *συστήμασιν*] *εἴδεσιν* Hense; hoc scripsit Heph., illud grammaticus

ταῖον τοῦ συστήματος τοῦ ἐκ τῶν τριῶν κώλων καὶ τῶν πέντε.

## V.

(1) *Δεδειγμένου δὲ ἡμῖν τίνα ἐστὶ τὰ ἀπολελυμένα, φαμὲν εἴδη τούτων εἶναι τά τε ἄστροφα καὶ τὰ ἀνομοιόστροφα καὶ ἄτμητα.*

(2) *Ἄστροφα μὲν οὖν ἐστι τὰ τηλικούτου μεγέθους ὄντα [ἐπ' ἐλάχιστον], ὡς μηδὲ στροφῆς ὅλης εἶναι αὐτὰ ὑπονοητικά.*

[130] (3) *Ἀνομοιόστροφα δέ ἐστιν, ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν ἢ κατὰ ἐφύμνιον ἢ κατὰ ἐπῳδὸν ἢ κατ' ἄλλο τι ἀναφώνημα. διαιρεῖται δὲ ἤτοι εἰς δύο ἢ εἰς πλείω· ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον, ἐὰν δὲ εἰς πλείονα, ἀλλοιόστροφον.*

(4) *Ἄτμητα δέ ἐστι τὰ τηλικαῦτα, ὥστε δύνασθαι μὲν τέμνεσθαι, μὴ μέντοι τι τεκμήριον ὑπάρχειν τοῦ τὸν ποιητὴν αὐτὰ τετμηκέναι, μήτε βραχυκαταληξίαν μήτε τι ἕτερον τῶν διοριζόντων τὰ ποιήματα, οἷον ἐφύμνιον ἢ ἀναφώνημα.*

## VI.

71 (1) *Τῶν δὲ ἐξ ὁμοίων τὰ μέν ἐστιν ἀπεριόριστα,*
[131] *τὰ δὲ κατὰ περιορισμοὺς ἀνίσους.*

(2) *Ἀπεριόριστα μέν, ὁπόσα ὑπὸ τοῦ αὐτοῦ ποδὸς ἢ τῆς αὐτῆς συζυγίας καταμετρούμενα ἢ περιόδου περιγρα-*

13 ἀναφώνημα] schol. Aristoph. Nub. 1259. 1452 (Heliod.)

1 καὶ vel ὡς Caesar, ἢ codd. ‖ 5 εἶναι εἴδη τούτων *I* ‖ 6 fort. καὶ τὰ ‖ 8 vv. ἐπ' ἐλάχιστον (ἀπ' ἐλ. *I*) aut delenda sunt aut corrupta ‖ 12 ἐπωδὴν *I* ‖ 13 ἐπιφώνημα *I* ‖ 18 βραχυκατάληξιν Gaisf. ‖ 19 τι om. *I* ‖ 25 περιγραφὴν] an παράγραφον? cf. 75, 17

φὴν οὐδεμίαν ἔχει μεταξύ, ἀλλὰ μέχρι τῆς τελευταίας ὅμοιά ἐστι.

(3) Κατὰ περιορισμοὺς δὲ ἀνίσους ἐστίν, ὁπόσα ἐξ ὁμοίων συνεστῶτα ἔχει κατάληξιν ἢ βραχυκαταληξίαν μεταξύ, οὐ μέντοι ἴσοις μεγέθεσι ταύτην ἐπιζευγνυμένην ἀεί, οἷα μάλιστα φιλεῖ γίνεσθαι ἐν ταῖς παρόδοις τῶν χορῶν· ἐκεῖ γὰρ μετὰ δέκα ἀναπαιστικά, λόγου [132 χάριν, καὶ κατάληξιν ἐπάγουσιν εὐθὺς ὅμοια μὲν καὶ ἀναπαιστικά, οὐ μέντοι τῶν ἴσων συζυγιῶν.

## VII.

(1) Ἔστι δέ τινα ἐν τοῖς ποιήμασι καὶ τὰ καλούμενα ἐφύμνια, ἅπερ ταύτης τῆς προσηγορίας τετύχηκεν, ἐπειδὴ καὶ ἐφύμνιόν τι εἰώθασιν ἐπάγειν οἱ ποιηταὶ ταῖς στροφαῖς, οἷά ἐστι καὶ τὰ τοιαῦτα

Ἰήϊε παιάν.

καὶ

ὦ διθύραμβε.

Ὅταν δὲ τὸ ἐφύμνιον μὴ μετὰ στροφὴν ἀλλὰ μετὰ στίχον κέηται περιλαμβανόμενον ἄλλῳ στίχῳ, μεσύμνιον καλεῖται [τὸ ποίημα], οἷόν ἐστι τὸ παρὰ Σαπφοῖ (91)

ἴψοι δὴ τὸ μέλαθρον ἀείρετε τέκτονες ἄνδρες,
Ὑμήναον,
γαμβρὸς ἔρχεται ἶσος Ἄρευι.

11 cf. Mar. Vict. VI 59, 24—29 (B A V 3 p. 106 sq.); schol. in Aristoph. Ran. 209 (RV). 1275 (V) || 18 cf. Mar. Plot. VI 517, 4

6 οἷον *I* | γίνεσθαι *AH*, γενέσθαι *I* || 11 vv. 71, 1—15 huc transposuit Westph., sed cf. 69, 12 || 13 καὶ et τι om. *A* || 19 παραλαμβανόμενον *IH* || 20 τὸ ποίημα del. Bergk; fort. οἷόν ἐστι τὸ ποίημα || 21 ἴψοι Bergk, ὕψοι (sic) *A*, ὑψοῖ *I* | post μέλαθρον add. codd. ὑμήναον; sed deest ap. Demetr. de eloc. 148; apud Heph. del. Westph. | ἀείρετε corr. ex ἀείρατε *C*, ἀείρεται *A*, ἀείρατε *I*, ἀέρρετε ap. Sapph. Bentley || 23 ἄρει *I*

33] (2) Εἰσὶ δὲ ἐν τοῖς ποιήμασι καὶ οἱ ἀρρενικῶς οὕτω καλούμενοι ἐπῳδοί, ὅταν μεγάλῳ στίχῳ περιττόν τι ἐπιφέρηται, οἷον (Arch. 94)

πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;
τίς σὰς παρήειρε φρένας;

καὶ ἔτι (Arch. 104)

εὖτε πρὸς ἄεθλα δῆμος ἠθροΐζετο,
ἐν δὲ Βατουσιάδης.

Ὅταν δὲ ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς καλεῖται, ὡς παρὰ Ἀνακρέοντι (19)

72 ἀρθεὶς δηὖτ' ἀπὸ Λευκάδος
πέτρης, εἰς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

Ὥσπερ δὲ ταῦτα εὑρίσκεται, οὕτω γένοιντο ἂν τινες καὶ μεσῳδοί, ὅταν περιέχῃ μὲν τὰ μείζω, μεταξὺ δὲ τὸ μεῖον ᾖ τεταγμένον.

34] (3) Ἔστι δέ τινα καὶ τὰ καλούμενα ἐπιφθεγματικά, 73 ἃ διαφέρει ταύτῃ τῶν ἐφυμνίων, ὅτι τὰ μὲν [ἐφύμνια] καὶ πρὸς νοῦν συντελεῖ τι, τὰ δὲ [ἐπιφθεγματικὰ] ἐκ περιττοῦ ὡς πρὸς τὸ λεγόμενον τῇ στροφῇ πρόσκειται· οἷον τὸ Βακχυλίδου (25)

ἦ καλὸς Θεόκριτος, οὐ μόνος ἀνθρώπων ὁρᾷς,

1—15 Mar. Vict. VI 57, 3. 104, 10 sqq. Ter. Maur. VI 379 v. 1801. Diom. I 485, 18. — Io. Sic. Rh G VI 128, 11 sqq. ‖ 4 Mar. Vict. VI 170, 5. Mar. Plot. VI 520, 14. Iuba ap. Rufin. VI 561, 11. Demetr. de eloc. 5 p. 4, 23 ‖ 8 idem versus 13, 13. 22, 4 ‖ 9 prodicon Mar. Vict. VI 57, 15 sqq. 163, 11

1 ἐν] οἱ ἐν *I* ‖ 4 λυκάββα *I* ‖ 5 παρέπειρε *AI* ‖ 7 εὖτε Bentl., εὖ τι *AI*, εὖ τοι *H* ‖ 10 παρὰ om. *I* ‖ 12 εἰς *AH*, ἐς *I* ‖ 14 τὰ scripsi, τι codd., τινα Westph. | μεῖζον *I* ‖ 17 ἐφύμνια et 18 ἐπιφθεγματικά secl. Caesar, post ἐφύμνια vv. ἐκ — πρόσκειται, post ἐπιφθεγματικά vv. καὶ — συντελεῖ transpos. Westph. ‖ 18 τι, τὰ Caesar, τινὰ *AI*, τὰ *H* ‖ 20 καὶ τὸ *I* | βακχυλλίδου (sic) *A*, βακχυλλίδου *I* ‖ 21 ὁρᾷς] ἐρᾷς Ursinus

*καὶ πάλιν παρὰ τῷ αὐτῷ Βακχυλίδῃ* (26)

*σὺ δ' ἐν χιτῶνι μούνῳ παρὰ τὴν φίλην γυναῖκα*
*φεύγεις.*

*Ὅταν μὲν οὖν βραχέα ᾖ τὰ ἐπιφθεγματικά, τοῦτο πρόσεστιν αὐτοῖς ὄνομα· ἐὰν δὲ καὶ τηλικαῦτα, ὥστε στροφὴν ἐκπληροῦν, καὶ προτετάχθαι μὲν τὴν τοῦ ποιητοῦ στροφήν, ἐπεξεῦχθαι δὲ τὴν τῶν ἐπιφθεγματικῶν, εἶτα πάλιν τὰ ἴσα κατὰ τὸν αὐτὸν λόγον, ἔσται τὸ τοιοῦτον σύστημα κατὰ περικοπὴν ἀνομοιομερές.*

## VIII.

*(1) Ἔστι δέ τις ἐν ταῖς κωμῳδίαις καὶ ἡ καλουμένη*
*παράβασις, ἥτις ἐὰν τελεία γράφηται, ἐστὶν αὐτῆς* [135
*εἴδη ἑπτά. Καλεῖται δὲ παράβασις, ἐπειδὴ εἰσελθόντες* 74
*εἰς τὸ θέατρον καὶ ἀντιπρόσωποι ἀλλήλοις στάντες οἱ*
*χορευταὶ παρέβαινον καὶ εἰς τὸ θέατρον ἀποβλέποντες*
*ἔλεγόν τινα.*

*(2) Τὰ δὲ εἴδη τῆς παραβάσεώς ἐστι ταῦτα· κομμάτιον, ὃ καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς ὠνομάσθη· φησὶ γὰρ ὁ Εὔπολις* (362)

*εἰωθὸς τὸ κομμάτιον τοῦτο·*

10 de parabasi cf. schol. Aristoph. Pac. 729 sqq. Ach. 626 sqq. Equ. 498 sqq. (Heliod.). — Nub. 518 (V). Equ. 503 (RV). Av. 1058 (V). Nub. 595 (V). Pac. 797 (V). — Nub. 510 (R). Pac. 734. 775 sqq. 816 (R). — proll. de comoedia (in Com. Graec. frgm. Kaibel I) I p. 4, 34. VI p. 22, 1. VIII p. 40, 19 sqq. Poll. IV 111. Hesych. s. v. *ἀνάπαιστα*. Ioa. Tzetz. A O III 340, 26 sqq. Suid. s. v. *παράβασις*

1 *βακχυλ$^{λ}$ίδη* (sic) *AI* ‖ 5 *ὄνομα* Hermann, *μόνον* codd. ‖ 7 *ποιητοῦ*] *ποιήματος* prop. Caesar | *τὴν*] *τὰ* Westph. | *ἐπιφθεγματικῶν* Westph., *ἐπιφθεγμάτων* codd. ‖ 12 *ἔστιν* codd. ‖ 13 *εἴδη AI*, *μέρη H* | *εἰσελθόντες*] *ἐλθόντες H*; hoc vel *παρελθόντες* Herm. opusc. VI 2 p. 159 ‖ 17 *εἴδη AI*, *μέρη H* | *εἰσι I* | ⟨*καὶ πρῶτον μὲν τὸ*⟩ *κομμάτιον* Hense

δεύτερον δὲ εἶδός ἐστιν ἡ ὁμωνύμως τῷ γένει καλου-
μένη παράβασις· καὶ τρίτον τὸ μακρὸν προσαγορευό-
μενον, ὃ καί φαμεν εἶναι ἐπιμηκέστερον· οὐ μὴν ἀλλὰ
καὶ διὰ τὸ ἀπνευστὶ λέγεσθαι ἐδόκει εἶναι μακρότε-
[136] ρον. — Ταῦτα μὲν οὖν ἐστιν ἀπολελυμένα. ἕτερα δέ
ἐστι τὰ κατὰ σχέσιν γεγραμμένα, τό τε μέλος καὶ τὸ
ἐπίρρημα, ὅπερ ὡς ἐπὶ τὸ πλεῖστον ἑκκαίδεκα ἦν
στίχων, καὶ τὸ τῷ μέλει ἀντίστροφον καὶ τὸ καλού-
μενον ἀντεπίρρημα, ὅπερ ἦν τῶν ἴσων κώλων τῷ
ἐπιρρήματι.

---

# ΠΕΡΙ ΣΗΜΕΙΩΝ.

(1) Τὰ σημεῖα τὰ παρὰ τοῖς ποιηταῖς ἄλλως παρ'
ἄλλοις κεῖται· λέγω δέ, ὁποῖά ἐστιν ἥ τε παράγραφος
[137] καὶ ἡ κορωνὶς καὶ ἡ ἔξω νενευκυῖα διπλῆ καὶ ὁ ἀστε-
ρίσκος, καὶ εἴ τι ἄλλο τοιοῦτον.

(2) Παρὰ μὲν τοῖς λυρικοῖς, ἂν μὲν μονόστροφον τὸ
ᾆσμα ᾖ, καθ' ἑκάστην τίθεται στροφὴν ἡ παράγραφος,
75 εἶτα ἐπὶ τέλους τοῦ ᾄσματος ἡ κορωνίς. ἐὰν δὲ κατὰ
περικοπὴν τὰ ᾄσματα ᾖ γεγραμμένα, ὥστε εἶναι στρο-

4 τὸ καλούμενον πνῖγος τὸ καὶ (codd. καὶ τὸ) μακρὸν schol. Aristoph. Ach. 659 (Heliod.). Vesp. 1051 (V). ‖ 12 sqq. Is. Tzetz. AP I 72, 14 sqq. — ad notarum doctrinam cf. Heliodori colometriae Aristophaneae reliquiae ed. Thiemann, Halis 1869 (Hense Heliod. Untersuchg. [Lips. 1870] 35—71; BA V 3 p. 52—67). Anecd. Paris. GL VII 533—36; Isid. orig. I cap. 20

1 ὁμώνυμος *A* | γένει] ὅλῳ *H* ‖ 3 ὃ ἂν φαῖμεν Kolster (de parabasi. Alton. 1829), ὃ μὲν οὐκ εἶναι ἐπιμηκέστερόν φαμεν, ἀλλὰ διὰ τὸ . . . Koester (de gr. com. parab. Sundiae 1835) ‖ 8 τὸ (pr.) om. *I* ‖ 9 ὅπερ — ἐπιρρήματι del. Hense ‖ 10 in *A* libri finis indicatur ut 62, 14 ‖ 14 post παράγραφος, κορωνὶς, διπλῆ (bis), ἀστερίσκος *H* add. signa | post διπλῆ add. Turn. καὶ ἡ ἔσω quod receperunt editores; sed ἡ ἔσω δ. non commemoratur ante 74, 24

*φὴν καὶ ἀντίστροφον καὶ ἐπῳδόν, ἡ παράγραφος ἐπὶ μὲν τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστρόφου κεῖται, ἐπὶ δὲ τῇ ἐπῳδῷ ἡ κορωνίς· — καὶ οὕτως ἡ παράγραφος, ἡ διορίζει τά τε ὅμοια καὶ τὰ ἀνόμοια. — Ἐπὶ μέντοι τῷ τέλει ὁ ἀστερίσκος τίθεται, γνώρισμα τοῦ τετελέσθαι τὸ ᾆσμα, ἐπεὶ ἡ κορωνὶς ἐπὶ πασῶν τίθεται τῶν ἐπῳδῶν.*

*(3) Καὶ μάλιστα εἴωθεν ὁ ἀστερίσκος τίθεσθαι, ἐὰν* [1 *ἑτερόμετρον ᾖ τὸ ᾆσμα τὸ ἑξῆς· ὃ καὶ [μᾶλλον] ἐπὶ τῶν ποιημάτων τῶν μονοστροφικῶν γίνεται Σαπφοῦς τε καὶ Ἀνακρέοντος καὶ Ἀλκαίου· ἐπὶ δὲ τῶν Ἀλκαίου ἰδίως κατὰ μὲν τὴν Ἀριστοφάνειον ἔκδοσιν ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνης, κατὰ δὲ τὴν νῦν τὴν Ἀριστάρχειον καὶ ἐπὶ ποιημάτων μεταβολῆς.*

*(4) Ἡ δὲ διπλῆ ἡ ἔξω βλέπουσα παρὰ μὲν τοῖς κωμικοῖς καὶ τοῖς τραγικοῖς ἐστι πολλή, παρὰ δὲ τοῖς λυρικοῖς σπανία· παρὰ Ἀλκμᾶνι γοῦν εὑρίσκεται· γράψας γὰρ ἐκεῖνος δεκατεσσάρων στροφῶν ᾄσματα [ὧν] τὸ μὲν ἥμισυ τοῦ αὐτοῦ μέτρου ἐποίησεν ἑπτάστροφον, τὸ δὲ ἥμισυ ἑτέρου· καὶ διὰ τοῦτο ἐπὶ ταῖς ἑπτὰ στροφαῖς ταῖς ἑτέραις τίθεται ἡ διπλῆ σημαίνουσα τὸ μεταβολικῶς τὸ ᾆσμα γεγράφθαι.*

*(5) Τούτοις τοῖς σημείοις τοῖς προειρημένοις πλὴν* 76 *τοῦ ἀστερίσκου καὶ ἑτέροις τισί, περὶ ὧν λέξομεν, ⟨καὶ⟩ ἐν τοῖς δράμασι χρώμεθα.*

23 sqq. schol. Aristoph. Plut. 253 (Dem. Tr.)

2 fort. ⟨*τῆς*⟩ *ἀντιστρόφου*; cf. Is. Tz. 73, 7 || 3 *τῇ ἐπωδῇ* *I*, *τῷ ἐπωδῷ* *CP*, . . . *ἐπωδῷ* *A* || 9 aut *μᾶλλον* del. aut scribend. *μᾶλλον* ⟨*ἐπὶ τῶν ποιημάτων τῶν κατὰ περικοπήν, ἧσσον δὲ καὶ*⟩ *ἐπὶ κτλ.* || 11 *τῶν*] *τοῦ* *I* || 12 *ὁ ἀστερίσκος* *I* || 14 *μεταβολῇ* *I* || 15 *τοῖς* *I*, om. *AH* || 16 *ἐστι* om. *I* || 17 *καὶ παρὰ* *I* || 18 *ᾆσμα*? Bergk PLG III⁴ 28 | *ὧν* del. Bergk || 21 *ἡ δὲ διπλῆ* *A* || 24 ⟨*καὶ*⟩ addidi

*(6) Τῇ μὲν οὖν κορωνίδι κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν τῶν ὑποκριτῶν εἰπόντων τινὰ καὶ ἀπαλλαγέντων καταλείπηται ἡ χορός· ἢ ἔμπαλιν· ἢ ὅταν μετάβασις ἀπὸ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς.*

*(7) Τῇ δὲ παραγράφῳ ἤτοι κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς χορικοῖς, ⟨ἢ⟩ μεταξὺ τῆς*
39] *τε στροφῆς καὶ τῆς ἀντιστρόφου.*

*(8) Ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι, ὅτι πεπλήρωται ἡ στροφή, ἡ παράγραφος ἐπιφερομένης ἄλλης στροφῆς, ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται· ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ· τοῦτο δέ, ἐὰν ἀντίστροφος ἐπιφέρηται· ὡς ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν, ἡ ἔξω βλέπουσα τίθεται.*

*(9) Εἰπόντων δὲ ἡμῶν ὅτι ἐστί τινα κατὰ περιορισμοὺς ἀνίσους ἀναπαιστικὰ γεγραμμένα, ἃ δὴ ἐν παρόδῳ ὁ χορὸς λέγει, ἐφ' ἑκάστου περιορισμοῦ τίθεται ἡ παράγραφος.*

*(10) Τῆς δὲ παραβάσεως μερῶν ὄντων ἑπτά, ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου καὶ τῆς παραβάσεως καὶ τοῦ μακροῦ· οὐδὲν ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ*
77 *ἐπιρρήματος, ἂν μηδὲν ἀνταποδιδῶται. ἐὰν δὲ ἐνῇ τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἔστι τὰ ἀνταπο-*

19 sqq. schol. Aristoph. Nub. 518 (Dem. Tr.)

3 *καταλεί* .... *A*, *καταλίπηται C*, *καταλείπητα P*, *καταλείπεται I* ‖ 5 *ἤτοι* ⟨*παραγραφῇ*⟩ Bergk ‖ 6 ⟨*ἢ*⟩ add. Barham ‖ 8 *τυγ* ... *οι A* ‖ 10 *παράγραπτο I* ‖ 14 *στροφῶν*] *στροφῆς I* ‖ 15 *ἔσται I* ‖ 16 *δὴ καὶ ἐν I* ‖ 17 *ἡ* om. *I* ‖ 23 *ἐνῇ I*, *ἔνι CP*(*A*?) ‖ 24 *ἀνακαλούμενα I* | *τότε τὸ I*

*διδόμενα, ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα.*

*(11) Εἰώθασι τοίνυν αὐτοὶ οἱ δραματοποιοὶ μεταξὺ ἰαμβείων τινῶν γράφειν ἑτέρῳ μέτρῳ ὁποσασοῦν στροφάς· εἶτα πάλιν περάναντες δι' ἰαμβείων τὸ προκείμενον κατὰ διέχειαν ἀνταποδιδόναι τὰς στροφάς. ἐφ' ἑκάστης μὲν οὖν στροφῆς τίθεται παράγραφος· ἐν δὲ* [1 *ταῖς προτέραις στροφαῖς ἐπὶ τοῦ τελευταίου κώλου δύο τίθενται διπλαῖ, ἡ μὲν κατ' ἀρχὰς ἔξω βλέπουσα, ἡ δὲ κατὰ τὸ τέλος ἔσω νενευκυῖα, δηλούντων ἡμῶν διὰ τῆς ἔσω βλεπούσης, ὅτι ἀνταποδίδοταί τινα αὐτοῖς· ἐν δὲ τοῖς ἀνταποδιδομένοις πάλιν μὲν ἐφ' ἑκάστης στροφῆς παράγραφος, ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ, ἡ μὲν κατ' ἀρχάς, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, διὰ τούτων δηλούντων ἡμῶν, ὅτι ἀνταποδέδοται.*

---

# FRAGMENTA HEPHAESTIONEA.

## I.

schol. in Hermog. RhG VII 892, 10 *ῥυθμὸς ..., ὡς δὲ Ἀριστόξενος καὶ Ἡφαιστίων φασί, χρόνων τάξις. χρόνος δέ ἐστι μόριον ποδὸς ἢ φωνῆς μέτρον ἐλάχιστον ἢ μέτρον τι κινήσεως, καὶ ὥσπερ ἐκ χειρῶν τυχὸν καὶ ποδῶν μερῶν ὄντων καὶ τῶν ἄλλων ὁ ἄνθρωπος συνίσταται, ὅς ἐστιν εἶδος, οὕτως ἐκ συνθήκης καὶ*

I. Aristox. *ῥυθμ. στοιχ.* frg. 1; 19—20 ex scholiis fluxit ad Max. Plan. RhG V 454, 20; cf. Proll. Long. 82, 1 sqq.

1 *ἐπιρρήματος* *I* ‖ 6 *συνέχειαν* *I* ‖ 16 *ἀνταποδέδοται* Thiemann, *ἀνταποδίδοται* codd. | *CP* add. *τέλος τοῦ ἡφαιστίωνος ἐγχειριδίου* ‖ 20 *ὡς φησιν Ἀριστόξενος ἢ Ἡφαιστίων* Max. Plan.

ἀναπαύσεως γίνεται ὁ ῥυθμός, ἐκ μερῶν ὄντων ἐκείνων, αὐτὸς ὥσπερ εἶδος ὤν.

II.

schol. in Hermog. RhG VII 983, 26 ἐν τῷ περὶ μέτρων φησὶν ὁ Ἡφαιστίων ὅτι συγγένεια γίνεται μέτρου πρὸς μέτρον τριχῶς, κατὰ ἀφαίρεσιν, κατὰ πρόσθεσιν, ⟨κατὰ μετάθεσιν⟩· οἷον ἐὰν ἀφέλῃς τοῦ

μῆνιν ἄειδε θεά

τὴν πρώτην συλλαβήν, ποιεῖς ἀντὶ δακτυλικοῦ μέτρου ἀναπαιστικόν· οὕτως οὖν καὶ τὸ ἰωνικὸν ἀπὸ μείζονος συγγενές ἐστι τῷ τροχαϊκῷ κατὰ μετάθεσιν· τοῦ γὰρ ἰωνικοῦ ἀπὸ μείζονος ἐκ μακρῶν δύο καὶ δύο βραχειῶν ὄντος, ἔξεστι μεταθεῖναι καὶ ποιῆσαι διτρόχαιον ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας. ἰωνικοὶ δὲ καλοῦνται, ἐπειδὴ Ἰώνων εἰσὶν εὕρημα· μαλακὸν τὸ μέτρον καὶ τρυφερώτατον, ᾧ καὶ Σωτάδης ἐχρήσατο, ὥς φησιν Λογγῖνος.

III.

schol. in Hermog. RhG VII 936,26 ἰστέον ὅτι Ἡφαιστίων φυσικὰ μέτρα γενικὰ βούλεται εἶναι ἐννέα· δακτυλικόν, ἀναπαιστικόν, ἰαμβικόν, τροχαϊκόν, ἀντισπαστικόν, χοριαμβικόν, ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν

II. cf. schol.[B] c. III p. 5, 20 sqq. c. VII p. 9, 9 sqq. Ar. Quint. 36, 15. M. Vict. VI 63,16. 94, 15. 102, 12 || 7 Ioa. Sic. RhG VI 237, 26—30. schol.[A] 121, 18. 131, 2 sqq. || 14 ἰωνικοὶ] An. Ambr. AV 228, 13—17. Choer. 61, 19. — III. ex scholiis desumpser. Max. Plan. RhG V 473, 7—12. Ps.-Castor RhG III 712, 4 sqq. (§ 1 ed. Studem. Vratisl. 1888) || 20 φυσικὸν μέτρον ap. Hermog. II 280, 3 (Speng.), ad γενικά cf. p. 63, 10

7 κατὰ μετάθεσιν addidi || 12 prius δύο om. cod. Par. 2977, alterum cod. Par. 1983

ἀπ' ἐλάττονος, κρητικόν· τὰ δὲ παρὰ ταῦτα καλεῖ ἀσυνάρτητα καὶ συγκεχυμένα.

IV.

schol. in Hermog. RhG VII 982, 15 ὁ τροχαῖος τροχαλὸν ποιεῖ τὸν λόγον, διὸ τροχαῖος καλεῖται ὁ τῶν τρεχόντων ῥυθμός, ὥς φησιν Λογγῖνος ὁ φιλολόγος, † ὅθεν καὶ ἴαμβος καλεῖται ἀπὸ τοῦ ἰαμβίζειν, ὅ ἐστι λοιδορεῖν· τοῦτο δὲ ποιοῦσιν οἱ κωμικοὶ οἱ τῷ ἰάμβῳ χρησάμενοι. (ἐπεὶ οὖν καὶ οἱ τρέχοντες καὶ ὑβρίζοντες σπουδῇ τοῦτο ποιοῦσιν, οὐ δεῖ ἐν σεμνότητι χρῆσθαι τούτοις τροχαίῳ καὶ τῷ συγγενεῖ αὐτῷ ἰωνικῷ οὐδὲ ἰαμβικῷ ἐπιπολύ).

V.

schol. in Hermog. RhG VII 985, 1 δεῖ οὖν ἄνευ προσθήκης καὶ ἀφαιρέσεως μεθαρμόσαι τὰ ἔπη οὕτως·

ὡς ὁ πρόσθ' ἵππων ταννσθεὶς κεῖτο καὶ δίφρου·

ὁ δὲ δεύτερος κατὰ μὲν Λογγῖνόν ἐστι χοριαμβικός.

IV. ex Longini commentario Hephaest. desumpt. ‖ 4 τροχαῖος] Choer. 58, 16. An. Ambr. AV 223, 2. 7. schol.[B] (lib. V) p. 28, 11. An. Chis. AV 206, 5 ‖ 7 ἴαμβος] schol.[B] (lib. V) p. 18, 12. 28, 9. Choer. 59, 4. An. Chis. AV 206, 17 ‖ 11 cf. p. 77, 10 — V. ex Longini commentario Hephaest. ‖ προσθήκης καὶ ἀφαιρέσεως] p. 77, 6 ‖ 16 versus ex Hermog. sumpt. II 295, 15 (Speng.)

17 δεύτερος] referend. ad vers. αἱματοέσσης κόνιος δεδραγμένος βεβρυχώς (Hermog. II 295, 16).

# COMMENTARII IN HEPHAESTIONEM

## I PROLEGOMENA LONGINI COMMENTARIIQUE RELIQUIAE = SCHOLIORUM B LIBER PRIMUS

*τοῦ καὶ⟩ τῆς ἄλλης συλλαβῆς οὐκ ἔχον σύμφωνα ἑνὸς πλείονα, τοῦτο πάντως ἐστὶ συλλαβὴ βραχεῖα. — Πρόσκειται δὲ τὸ μὴ ἐπὶ τέλους λέξεως κείμενον διὰ τὴν κοινὴν λεγομένην. ἐὰν γὰρ εἰς μέρος ἀπαρτίζῃ λόγου, τῷ τῆς κοινῆς ὑποπίπτει λόγῳ, οἷον ἡ τ̅α̅ συλλαβὴ βραχεῖά ἐστιν, ἐπὶ ⟨δὲ⟩ τέλους λέξεως κειμένη ἐνομίσθη ποτὲ μακρὰ ὡς παρὰ τῷ ποιητῇ* (*Φ* 352)

*τὰ περὶ καλὰ ῥέεθρα.*

*καὶ αὖ πάλιν ἡ π̅ρ̅ο̅ς̅ συλλαβὴ βραχεῖά ἐστιν, ἀλλ' ἐν τόπῳ κεῖται μακρᾶς, ὅταν Ὅμηρος εἴπῃ* (*I* 147)

*πρὸς οἶκον Πηλῆος·*

*σπονδεῖον γὰρ δεῖ εἶναι τὸν πόδα „πρὸς οἶ". — Ἔτι δέ φησι μὴ ἔχειν σύμφωνα μεταξὺ — ἓν διὰ τὴν ⟨θέσει⟩ μακράν· εἰ γὰρ συμβαίη βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι δύο σύμφωνα ἐπενεχθῆναι, μακρὰν ποιήσει τὴν συλλαβήν, οἷον ἡ ε̄ συλλαβή ἐστι βραχεῖα, ἀλλ'*
(5) *ἐὰν δύο σύμφωνα ἐπενεχθῇ ὡς ἐν τῷ Ἕκτωρ, μακρὰν ποιήσει τὴν συλλαβήν. διὰ τοῦτο προσέθηκε μὴ δεῖν ὑπάρχειν σύμφωνα δύο, ἀλλ' ἓν ἁπλοῦν ἢ μηδὲ ἕν. καὶ γὰρ ἐὰν διπλοῦν προσενεχθῇ, μακρὰν ποιήσει τὴν συλλαβὴν ὡς ἐν τῷ* (*Δ* 139)

*ἄξω ἑλών.*

2 *πρόσκειται* Kroll, *προείρηται* codd., *προσέθηκε* Choer. ‖ 4 *ἐὰν γὰρ* Westph., *ἐάνπερ* codd. ‖ 5 *ἡ τ̅α̅* Choer., *ὅταν* codd. ‖ 6 *δὲ* inserui, ⟨*ἀλλ'*⟩ *ἐπὶ* Hoersch. ‖ 7 *ὡς* Hoersch., *ὡς ἡ* codd. ‖ 9 *εἴποι*? *C* ‖ 12 *τὸν πόδα πρὸς οἶ* scripsi coll. Choer. p. 38,18, *τὸν πρὸς οἶ C*, *τὸν πᾶ* rell. | *ἔτι* Westph., *εἰ* codd. ‖ 13 *ἔχειν* Hoersch., *ἔχῃ A*, *ἔχει C*, *ὑπάρχειν* Caes. | *σύμφωνον A* ‖ 14 *θέσει* add. ex Choer. p. 38, 19 | *βραχὺ C* ‖ 16 *ἡ ε̄* Mendels., *ἡ μὲν* codd., *ἡ μὲν ε̄* Boivin ‖ 19 *ἀλλὰ AC*

3. *Κριτήριον μέτρου ἀκοή.* ἔνιοι γοῦν οὕτως ὡρίσαντο· μέτρον ἐστὶ ποδῶν ἢ βάσεων σύνταξις αἰσθήσει τῇ δι' ἀκοῆς παραλαμβανομένη. εἰ δὲ τὸ κρῖνόν ἐστιν ἀκοή, τὸ κοσμοῦν ἐστι φωνή. ὡς γὰρ τὸν ἦχον τῆς εὐρυθμίας ἐκτείνουσά τε καὶ συστέλλουσα ⟨ἡ⟩ φωνὴ σχηματίζει τὰς συλλαβάς, οὕτως εἰσδεξαμένη κρίνει ἡ ἀκοή. διὰ τοῦτο πολλὰ τῶν μέτρων συμβέβηκεν ἀποκρύπτεσθαι σιωπώμενα ἐν τῇ κατὰ πεζὸν ῥήσει· καὶ αὖ πάλιν πολλὰς συνεμπτώσεις ἔχει πρὸς ἄλλα μέτρα. εὕροι γοῦν ἄν τις παρὰ Δημοσθένει τῷ ῥήτορι στίχον ἡρωϊκὸν κεκρυμμένον, ὃς ἠδυνήθη λαθεῖν διὰ τὸ πεζὴν οὖσαν τὴν προφορὰν συναρπάσαι τῷ λόγῳ τὴν ἀκοήν. φησὶ γοῦν (de cor. 143) 8

τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν
ἦλθε Φίλιππος.

στίχος ἐστὶν ἡρῷος· ἀλλὰ μὴν καὶ Ἰωνικόν, ὅταν λέγῃ (Ol. III 4)

πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν.

τοῦτο γὰρ ἄντικρυς Ἰωνικόν ἐστιν ἀπὸ μείζονος ὅμοιον τῷ (Sapph. 76 = Heph. 36, 17)

εὐμορφοτέρα Μνασιδίκα τᾶς ἀπαλᾶς Γυρίννως.

τὰς δὲ τῶν μέτρων συνεμπτώσεις ἐν τοῖς ἑξῆς ἐπιδείξομεν.

1—17 schol. in Herm. RhG VII 934, 18 — 935, 3. Io. Sic. VI 166, 8. 82, 14; Ar. Quint. 21, 13. Mar. Vict. VI 50, 9 (iudicium). ‖ 4 schol. in Dion. Thr. 181, 8 ‖ 10 RhG VII 1046, 16

1 *κριτήριον* Hoersch., *τεκμήριον* codd., cf. *κριτικὴ* Choer., *κριτήριον* An. Ambr. 231, 20, Io. Sic. 82, 20 ‖ 5 *ἡ* inser. ex Choer., An. Ambr., RhG VII 934, 21 ‖ 6 *ἐπιδεξαμένη* Choer., *ἐκδεξαμένη* Nauck ‖ 9 *συνεμπτώσεις* scrib. coll. 22; *πτώσεις* codd. ‖ 14 *ἀμφίσῃ* codd. ‖ 18 *γενομένου* *A* ‖ 21 *γυρίννως* Heph., *γυρίννω* codd.

(2) 4. *Διαφέρει δὲ μέτρον ῥυθμοῦ. ὕλη μὲν γὰρ τοῖς*
, 9 *μέτροις ἡ συλλαβὴ καὶ χωρὶς συλλαβῆς οὐκ ἂν γένοιτο μέτρον, ὁ δὲ ῥυθμὸς γίνεται μὲν καὶ ἐν συλλαβαῖς, γίνεται δὲ καὶ χωρὶς συλλαβῆς· καὶ γὰρ ἐν κρότῳ· ὅταν μὲν γὰρ τοὺς χαλκέας ἴδωμεν τὰς σφύρας καταφέροντας, ἅμα τινὰ καὶ ῥυθμὸν ἀκούομεν. καὶ ἵππων δὲ πορεία ῥυθμὸς ἐνομίσθη καὶ κίνησις δακτύλων καὶ μελῶν σχήματα καὶ χορδῶν κινήματα καὶ τῶν ὀρνίθων τὰ πτερυγίσματα. μέτρον δὲ οὐκ ἂν γένοιτο χωρὶς λέξεως ποιᾶς καὶ ποσῆς. Ἔτι τοίνυν διαφέρει ῥυθμοῦ τὸ μέτρον, ᾗ τὸ μὲν μέτρον πεπηγότας ἔχει τοὺς χρόνους, μακρόν τε καὶ βραχὺν καὶ τὸν μεταξὺ τούτων τὸν κοινὸν καλούμενον, ὃς καὶ αὐτὸς πάντως μακρός ἐστιν ἢ βραχύς· ὁ δὲ ῥυθμὸς ὡς βούλεται ἕλκει τοὺς χρόνους. πολλάκις γοῦν καὶ τὸν βραχὺν χρόνον ποιεῖ μακρόν. Ὅτι δὲ τοῦτο οὕτως ἔχει καὶ τὴν διαφορὰν ἴσασιν οἱ ποιηταί, λάβωμεν παράδειγμα ἀπὸ παιζούσης κωμῳδίας ἐν σπουδαζούσῃ φιλοσοφίᾳ· ὁ γοῦν [Ἀριστοφάνης] ἐν ταῖς Νεφέλαις* (638) *φησὶ Σωκράτης, εἰ καὶ τωθάζει Ἀριστοφάνης·*

*πότερον περὶ μέτρων ἢ περὶ ἐπῶν ἢ ῥυθμῶν·*

*ἀντιδιέστειλε γὰρ ἐκεῖνος ἀπὸ ῥυθμῶν τὰ μέτρα· εἰς ἑκάτερον γοῦν τὸ παράδειγμα σημειωτέον, ὅτι τε ῥυθμὸς μέτρου διαφέρει καὶ ὅτι ἴσασιν ἐν διδασκαλίᾳ οἱ παλαιοὶ τὴν τῶν μέτρων θεωρίαν.*

1 fr. I p. 76, 19. Planud. RhG V 473, 13. Quint. IX 4, 48. Ar. Quint. 32, 7. Diom. I 474. Mar. Vict. VI 41, 28 sqq. Anon. GL VI 206, 7. At. Fort. VI 282 ‖ 14 Mar. Vict. VI 42, 3

1 *δὲ* Y, *γὰρ* X ‖ 3 *ἐν συλλαβαῖς* X, An. Ambr., RhG V 473, 15, *ἐν συλλαβῇ* Y ‖ 8 *μελῶν* Y, *μελῶν καὶ* X ‖ 9 *πτερυγίσματα* Toupius, *πτερίσματα* codd. ‖ 12 *μεταξὺ τούτων* Morus, *μετὰ τοῦτον* codd. ‖ 14 *ἢ* Mendels., *καὶ* codd. ‖ 17 *παράδειγμα ἀπὸ* Wilam., *παραδείγματα* codd. ‖ 18 *Ἀριστοφάνης* del. Boivin, sed cf. Choer. ‖ 21 *ἢ περὶ ῥυθμῶν* codd.

5. Τὸ δὲ μέτρον λέγεται πολλαχῶς. καὶ γὰρ τὴν 86, εὐμετρίαν μέτρον προσαγορεύομεν ὡς ὁ εἰπὼν μέτρον ἄριστον — εἴτε σοφὸν ἀπόφθεγμα εἶτε θεῖον ἀνάθημα. Ἀπόλλωνι μὲν γὰρ ἁρμοδιώτατον, ἐπεὶ καὶ μέτρων εὑρετής. — Λέγεται δὲ μέτρον καὶ αὐτὸ τὸ μετροῦν καὶ τὸ μετρούμενον· ὡς ὅταν εἴπωμεν τὸν μέδιμνον μέτρον καὶ τὸ ἐν αὐτῷ μετρηθὲν [μέτρον], ἀμφότερα δὲ καλεῖται μέδιμνος· καὶ αὖ πάλιν εἰ εἴποιμι χόα τὸ σκεῦος, ἐν ᾧ μετρῶ ποσότητά τινα, καὶ [αὖ πάλιν] αὐτὴν τὴν ποσότητα χόα [προσαγορεύομεν]· — καὶ αὖ πάλιν αὐτὸ τὸ ξύλον, ὃ μόνον ἔχει πῆχυν, πῆχυν προσαγορεύομεν· — οὕτως μὲν οὖν καὶ ἐπὶ ταύτης τῆς θεωρίας πολλαχόθεν λέγεται μέτρον· Μέτρον τε γὰρ καλοῦμεν πᾶν τὸ μὴ πεζόν, ὡς ὅταν εἴπω τὰ μὲν Πλάτωνος πεζά, τὰ δὲ Ὁμήρου μέτρα. μέτρον καλεῖται καὶ εἶδος ἕκαστον, ὡς ὅταν εἴπω μέτρον ἰωνικὸν καὶ μέτρον ἰαμβικὸν καὶ μέτρον τροχαϊκόν. μέτρον καλεῖται καὶ στίχος ἕκαστος, ὡς ὅταν εἴπω· ἡ πρώτη Ὁμήρου ῥαψῳδία μέτρα ἔχει ἑξακόσια ⟨καὶ δέκα⟩ — τοῦτο δὲ Ὀδυσσεὺς ὁ μετρικὸς ἐσημειώσατο· — ἔτι τοίνυν μέτρον καλοῦμεν τὴν συζυγίαν, τουτ-

1 Io. Sic. RhG VI 112,14 sqq. || 2 πᾶν μέτρον ἄριστον Choer. 34,13. Ps.-Phokyl. 36. cf. Brunco in Act. semin. Erlang. III 325. Dieterich Nekyia (Lpz. 1893) p. 179 || 5 τὸ μετροῦν καὶ τὸ μετρούμενον] schol. (Ven.) *I* 324. *Φ* 502. Plut. de def. orac. c. XII 416b. Mar. Vict. VI 50, 5—9. 51, 19 — 52, 15. An. GL VI 633, 7—13. — Psell. 1 (Aristox. ῥυθμ. στοιχ. frg. I 5)

2 εὐμετρίαν *X*, συμμετρίαν *Y*, Choer., An. Ambr. || 6 εἴπωμεν μέδιμνον τὸ μέτρον κτλ., deletis vv. μέτρον — μέδιμνος prop. Hoersch. || 7 μέτρον del. Wilam., cf. An. Ambr. 231, 15 || 8 εἰ om. *C* || 9 αὖ πάλιν delevi || 10 προσαγορεύομεν del. Wilam. | καὶ — 12 προσαγορεύομεν del. Egger, sed cf. Choer. || 14 ὡς *Y*, om. *X* || 16 ἕκαστον Hoersch., ἑκάστου codd. || 17 καὶ μ. τρ. om. *C* || 19 δέκα καὶ ἑξακόσια An. Ambr., χʹ codd., sunt ap. Homer. 611 || 21 ἔτι Boivin, εἰ codd.

ἐστι τὴν διποδίαν, ὡς ὅταν τὸ ἰαμβικὸν τὸ ἀπὸ ἓξ ποδῶν συγκείμενον τρίμετρον καλῶμεν. ⟨μέτρον καλοῦμεν καὶ τὸν πόδα......⟩. μέτρον καλοῦμεν καὶ τὸν χρόνον, ὅν τινες τῶν ῥυθμικῶν σημεῖον προσαγορεύουσιν. ὅτι δὲ τοῦτο οὕτως ἔχει, παράδειγμα τεθήσεται, ὅ τινες μὲν Ὀρφέως, τινὲς δὲ τῆς Πυθίας ὑπολαμβάνουσι· περὶ γὰρ τῶν ἐπῶν λέγων ἢ λέγουσα

ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων.

3) Καὶ ταῦτα οὕτως ἔχει ὥσπερ εἴρηκα. μέτρον γὰρ καὶ τὸ μετροῦν καὶ τὸ μετρούμενον· οὕτως καὶ ἐπὶ τῶν προειρημένων αὐτὸ τὸ μετρούμενον τουτέστι τὸ ποίημα μέτρον προσαγορεύεται, καὶ ἕκαστον τῶν μετρούντων τῆς ὁμοίας τετύχηκεν ὀνομασίας. χρόνος γὰρ συλλαβὴν ποιεῖ, συλλαβὴ δὲ πόδα, πους δὲ συζυγίαν, συζυγία δὲ στίχον, στίχος δὲ ποίημα. πάντα οὖν εἰκότως μέτρα προσαγορεύεται.

20 6. Γέγονε δὲ ἀπὸ τοῦ μείρω ῥήματος, ὅ ἐστι μερίζω, ἀφ' οὗ παρὰ τῷ ποιητῇ (I 612)

ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς.

ὡς γὰρ παρὰ τὸ σείω σεῖστρον γίνεται καὶ παρὰ τὸ δέρω δέρτρον καὶ παρὰ τὸ φέρω φέρτρον, οὕτω καὶ παρὰ τὸ μείρω ⟨μέρτρον καὶ⟩ μέτρον. ὄνομα γοῦν ἐστὶ καὶ ἐκ τῆς ἐτυμολογίας τοῦ μερισμοῦ. —

14—15 Mar. Vict. VI 52, 9—18 ‖ 18 Ar. Quint. 32, 8

1 ὡς *Y*, om. *X* ‖ 2 *καλοῦμεν C* | ex 15 et Choer. et An. Ambr. efficitur de pede explicationem hic excidisse ‖ 4 *ὃν*] ὃ *C* | *ῥυθμικῶν*] *μετρικῶν C* ‖ 6 ὃ — *Ὀρφέως* om. *C* ‖ 7 *ὑπολαμβάνουσι* Kroll, *παραλαμβάνουσι* codd. | *λέγει C* ‖ 8 *ἢ*] *ἡ A* ‖ 9 *τεττάρων C* | *μέτρον C* ‖ 10 *γὰρ* scripsi, *δὲ* codd. ‖ 12 *μετρούμενον* Pearcius, *μέτρον* codd. ‖ 13 *καὶ* — 17 *προσαγορεύεται* om. *C* ‖ 19 *ἀφ' οὗ*] ὃ? Hoersch. ‖ 21 *γὰρ* scripsi coll. An. Ambr., *δὲ A*, *δὴ C* ‖ 23 *μέρτρον καὶ* inser. Wilam. (cf. Herodian. II 298, 4) *γοῦν*] *γάρ C*

7. Περὶ δὲ ὅρου μέτρου νῦν εἰπεῖν οὐκ ἀναγκαῖον· 88, αὐτὸς γὰρ ὁ Ἡφαιστίων αἰτιᾶται τὸν Ἡλιόδωρον, ὅτι τοῖς ὑπαρχομένοις γράφει· τοῖς γὰρ ἀπείροις καὶ [τοῖς] μήπω τῆς μετροποιίας γεγευμένοις ἀδύνατον νοῆσαι τὸν ὅρον.

8. Ἐπιγέγραπται δὲ ἐγχειρίδιον, οὐχ ὥς τινες ᾠή- 89, θησαν παρὰ τὸ ξίφος διὰ τὸ ὀξύνειν τῶν μετιόντων τὰς ψυχάς, ἀλλὰ διὰ τὸ ἐν χερσὶν ἔχειν τοὺς βουλομένους τὰ κεφάλαια τῶν μετρικῶν παραγγελμάτων. ὅτι δὲ ταῦτα οὕτως ἔχει, Ἡλιόδωρος τοῦ ἐγχειριδίου ἀρχόμενος οὕτως λέγει· τοῖς βουλομένοις ἐν χερσὶν ἔχειν τὰ κεφαλαιωδέστατα τῆς μετρικῆς γέγραπται τὸ βιβλίον τοῦτο.

9. Ἤρξατο δὲ αὐτὸς ὁ Ἡφαιστίων, ὡς ἔφην, ἀπὸ 91, συλλαβῆς. ὕλη γὰρ τοῖς μέτροις ἡ συλλαβή, καὶ ἄνευ ταύτης οὐκ ἂν συσταίη τὸ μέτρον· τὸ ⟨δὲ⟩ ποιοῦν πρὸ τοῦ ποιηθέντος, ὅθεν ⟨ἀπὸ συλλαβῆς⟩ ἄρξασθαι δίκαιον. οὐκ ἀπὸ τοῦ γένους δὲ ἤρξατο, ἀλλ' ἀπὸ τοῦ εἴδους. διαφέρει δὲ εἶδος καὶ γένος, ᾗ γένος μέν ἐστι τὸ πρωτότυπον εἰς εἴδη διαιρεθῆναι δυνάμενον, εἶδος δὲ τὸ ἀπὸ τοῦ γένους διῃρημένον, οἷον εἴ τις λέγοι ζῷον γένος, εἴδη δὲ αὐτοῦ ἄνθρωπον ἵππον καὶ τὰ λοιπά. οὐκοῦν γένος μέν ἐστιν ἡ συλλαβή, εἴδη δὲ

2 cf. supra p. 81, 14. — schol. in Dion. Thr. 509, 17 ‖ 6 schol.[A] p. 93, 3 ‖ 14 Ar. Quint. 28, 18—20. An. AV 98 § 2. a syllaba inc. Mall. Theod. GL VI 586, 12

1 ὅρου *C*, ὅρων rell. ‖ 3 ὑπαρχομένοις *C*, ἐπαρχομένοις *AP* | καὶ τοῖς] τοῖς del. Hoersch. ‖ 7 παρὰ τὸ ξίφος Hoersch. coll. schol.[A] 93, 4, διὰ τὸ ξίφος ἀλλὰ codd., διὰ τὸ ξίφος καὶ Egger ‖ 8 ἀλλὰ Hoersch., καὶ codd. ‖ 10 post ἔχει Hoersch. excidisse putat haec fere φανερὸν· ὁ γὰρ ‖ 12 ἔχειν om. *C* | κεφαλαιωδέστατα Choer. schol.[A], κεφαλαιωδέστερα codd. ‖ 14 αὐτὸς Hoersch., αὐτοῦ codd. ‖ 17 ἀπὸ συλλαβῆς inser. Mendelssohn ‖ 18 ἤρξατο] ἤρξαντο *AC* ‖ 20 εἶδος — 21 διῃρημένον om. *C* ‖ 23 ἡ post ἐστιν del. Mendels.

αὐτῆς βραχεῖα καὶ μακρὰ καὶ ⟨ἡ⟩ κοινὴ καλουμένη. οὐκ ἔδοξεν οὖν αὐτῷ ἀπὸ τοῦ γένους ποιήσασθαι τὴν ἀρχὴν (τεχνικὸς γὰρ οὗτος ὁ λόγος καὶ οὐ πάνυ τοῖς μέτροις συμβάλλεται) οὐδὲ ὅρῳ τὴν συλλαβὴν περιλαβεῖν οὐδὲ τὸν περὶ αὐτῆς εἰπεῖν λόγον τῆς ἐτυμολογίας· καὶ γὰρ ἐν τοῖς τεχνικοῖς ἔλεγχον ἔσχεν ὁ ὅρος, ὅτι ἡ συλλαβὴ παρὰ τοῦτο ὠνόμασται, παρὰ τὸ ποσότητα στοιχείων εἰς ταὐτὸν συλλαμβάνειν ὧν ἔξεστιν ὑφ' ἕνα φθόγγον παραλαβεῖν· ⟨οὐχ γὰρ⟩ ἂν εἴποι τις τὰς μονογραμμάτους. ἀλλὰ ταῦτα μὲν ζητείτωσαν οἱ τεχνικοί. —

1) 10. Ἐν δὲ τοῖς μετρικοῖς εἰδέναι δεῖ, ὅτι πᾶσα
0 βραχεῖα ἴση καὶ πᾶσα μακρὰ ἴση· καθόλου γὰρ αἱ μέν εἰσι δίχρονοι, αἱ δὲ μονόχρονοι. ἐντεῦθεν τὸν μὲν δάκτυλον καλοῦμεν τετράχρονον, τὸν δὲ πυρρίχιον δίχρονον, οὐ πολυπραγμονοῦντες τῆς ποιητικῆς λέξεως ἢ συλλαβῆς τὰ στοιχεῖα οὐδὲ ἐν ποσότητι καταμετροῦντες τοὺς χρόνους ἀλλ' ἐν δυνάμει [τῆς ποσότητος].

## II.

### Περὶ βραχείας συλλαβῆς.

4 Ἀρκτέον δὲ ἀπὸ βραχείας. οὕτω τοίνυν ὁ Ἡφαιστίων αὐτὴν ὁρίζεται· Βραχεῖά ἐστι συλλαβὴ ἡ

6 Dion. Thr. 16, 7. schol. in Dion. Thr. 48, 1 sqq. alias At. Fort. VI 279, 22. Mar. Vict. VI 34, 28 sqq. Prisc. GL II 44, 3 ‖ 9 An. AV 98 § 2, 4 ‖ 12 cf. supra p. 83, 12. Choer. 34, 25 sqq. 36, 22 sqq. schol. in Dion. Thr. 205, 24 sqq.

1 ἡ inser. Mendels. ‖ 6 καὶ γὰρ Mendels., καίτοι codd. ‖ 7 ὅτι *C*, ἔτι *A*, ἔστι *P* ‖ 8 ταυτὸ *C* | ὧν Boivin, ὧν οὐκ codd. ‖ 9 οὐ γὰρ inserui; fort. οὐχ ὑπάγεσθαι γὰρ coll. AV 98 § 2 | εἴποι] εἴπῃ *AC* ‖ 15 τὸν — δίχρονον om. *C* ‖ 17 καταμετροῦντες *C*, καταριθμοῦντες *A* ‖ 18 τῆς ποσότητος del. Hoersch. ‖ 20 περὶ βραχείας συλλαβῆς in codd. post 22 ὁρίζεται, transpos. Hoersch. ‖ 22 ἐστι om. *C*

ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως, οὕτως ὡς μεταξὺ αὐτοῦ καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ φωνήεντος μὴ ὑπάρχειν σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ, ἀλλ' ἤτοι ἓν ἢ μηδὲ ἕν. — Πάνυ οὖν ἐπαίνου ἄξιος ὁ ὅρος ὡς πάντα ἔχων ὅσα δεῖ ὑγιῆ ὅρον ἔχειν. ὑγιὴς γὰρ ὅρος καὶ τοῖς φιλοσόφοις εἶναι δοκεῖ ὁ μηδὲν ἔξωθεν τῶν ὁριζομένων συμπεριλαμβάνων καὶ [ὁ] μηδὲν τῶν ὁριζομένων καταλιπών, ὃς ἀντιστρέφει πρὸς τὸ κεφαλαιῶδες. ὁ μὲν οὖν μὴ † συμπεριλαμβάνων παραγγελίαν τοιαύτην οὐ καλῶς ἔχει, οἷον εἴ τις τὸν ἄνθρωπον ὁρίζοιτο † μηκέτι . . . τὸν θεὸν τῷ ὅρῳ συμπεριλαμβάνων. ἑκάτερον δὲ ὑπάρξει, ἐὰν ἀντιστρέφῃ πρὸς τὸ κεφαλαιῶδες, τουτέστιν ἐὰν ἀλλήλων ὑπάρχωσιν ὅροι αὐτός τε ὁ ὅρος καὶ τὸ ὁριζόμενον, οὕτως ὡς ἐπὶ τοιοῦδε παραδείγματος· ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. εἴ τι οὖν ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, τοῦτό ἐστιν ἄνθρωπος πάντως. καὶ αὖ πάλιν· φωνή ἐστιν ἀὴρ πεπληγμένος. εἴ τι οὖν ἐστὶν ἀὴρ πεπληγμένος, τοῦτο φωνὴ πάντως· οὕτως οὖν καὶ ἐπὶ τοῦ προκειμένου ὅρου ἴδωμεν τὸ ἀντιστρέφον· εἴ τι ἐστὶ βραχὺ φωνῆεν, μὴ ἐπὶ τέλους λέξεως κείμενον, μετα⟨ξὺ ἑαυ- 9

7 cf. e. g. schol. in Dion. Thr. 107, 30—108, 11. 156, 18 sqq. ‖ 13 φωνὴ] schol. in Dion. Thr. 181, 4 sqq. Prisc. GL II 5, 1. Mar. Vict. VI 4, 14. Ar. Quint. 4, 24 alias.

2 αὐτοῦ scripsi, αὐτῆς codd. ‖ 6 ὑγιὴς γὰρ *C*; in *A* lac. 4—5 litterar., om. *P* ‖ 7 εἶναι δοκεῖ scripsi, δοκεῖ εἶναι *C*, δοκεῖ cum spatio 4—5 litt. *A* ‖ 8 καὶ Hoersch., ἢ codd. | ὁ del. Hoersch. ‖ 10 συμπεριλαμβάνων] fort. φυλάττων ‖ 12 lac. ind. Wilam. | τὸν θεὸν] τὸ θνητὸν Hoersch. ‖ 13 ἑκάτερον] ὁλόκληρος Mendelssohn, ὑγιὴς ὅρος Hoersch. | ἀντιστρέφει *C* ‖ 15 ὡς om. *C* ‖ 17 εἴ τι — 18 δεκτικόν bis scripta in *C* ‖ 22 ἴδωμεν Hoersch., εἴδωμεν codd. ‖ 23 μεταξὺ ἑαυτοῦ καὶ Boivin, μετὰ codd.

τοῦ καὶ〉 τῆς ἄλλης συλλαβῆς οὐκ ἔχον σύμφωνα ἑνὸς πλείονα, τοῦτο πάντως ἐστὶ συλλαβὴ βραχεῖα. — Πρόσκειται δὲ τὸ μὴ ἐπὶ τέλους λέξεως κείμενον διὰ τὴν κοινὴν λεγομένην. ἐὰν γὰρ εἰς μέρος ἀπαρτίζῃ λόγου, τῷ τῆς κοινῆς ὑποπίπτει λόγῳ, οἷον ἡ τα συλλαβὴ βραχεῖά ἐστιν, ἐπὶ 〈δὲ〉 τέλους λέξεως κειμένη ἐνομίσθη ποτὲ μακρὰ ὡς παρὰ τῷ ποιητῇ (*Φ* 352)

τὰ περὶ καλὰ ῥέεθρα.

καὶ αὖ πάλιν ἡ προς συλλαβὴ βραχεῖά ἐστιν, ἀλλ' ἐν τόπῳ κεῖται μακρᾶς, ὅταν Ὅμηρος εἴπῃ (*Ι* 147)

πρὸς οἶκον Πηλῆος·

σπονδεῖον γὰρ δεῖ εἶναι τὸν πόδα „πρὸς οἶ". — Ἔτι δέ φησι μὴ ἔχειν σύμφωνα μεταξὺ — ἓν διὰ τὴν 〈θέσει〉 μακράν· εἰ γὰρ συμβαίνῃ βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι δύο σύμφωνα ἐπενεχθῆναι, μακρὰν ποιήσει τὴν συλλαβήν, οἷον ἡ ε̆ συλλαβή ἐστι βραχεῖα, ἀλλ' 5) ἐὰν δύο σύμφωνα ἐπενεχθῇ ὡς ἐν τῷ Ἕκτωρ, μακρὰν ποιήσει τὴν συλλαβήν. διὰ τοῦτο προσέθηκε μὴ δεῖν ὑπάρχειν σύμφωνα δύο, ἀλλ' ἓν ἁπλοῦν ἢ μηδὲ ἕν. καὶ γὰρ ἐὰν διπλοῦν προσενεχθῇ, μακρὰν ποιήσει τὴν συλλαβὴν ὡς ἐν τῷ (*Α* 139)

ἄξω ἑλών.

2 πρόσκειται Kroll, προείρηται codd., προσέθηκε Choer. ‖ 4 ἐὰν γὰρ Westph., ἐάνπερ codd. ‖ 5 ἡ τα Choer., ὅταν codd. ‖ 6 δὲ inserui, 〈ἀλλ'〉 ἐπὶ Hoersch. ‖ 7 ὡς Hoersch., ὡς ἡ codd. ‖ 9 εἴποι? *C* ‖ 12 τὸν πόδα πρὸς οἶ scripsi coll. Choer. p. 38, 18, τὸν πρὸς οἶ *C*, τὸν πᾶ rell. | ἔτι Westph., εἰ codd. ‖ 13 ἔχειν Hoersch., ἔχῃ *A*, ἔχει *C*, ὑπάρχειν Caes. | σύμφωνον *A* ‖ 14 θέσει add. ex Choer. p. 38, 19 | βραχὺ *C* ‖ 16 ἡ ε̆ Mendels., ἡ μὲν codd., ἡ μὲν ε̆ Boivin ‖ 19 ἀλλὰ *AC*

# COMMENTARII IN HEPHAESTIONEM

## II SCHOLIA A

ἦν τὸ α̅, οὐκ ἠδύνατο δὲ τοῦτο, μετέβαλεν εἰς τὸ ε̅ βραχύ: — *AC*

4, 10 ⟨ἐπισημασίας ἠξίωσε⟩: ἀντὶ τοῦ ἐπεσημήνατο: — $A^1C^2$

4, 14 χωλίαμβον γὰρ ἐποίησε, τοῦ ἕκτου ποδὸς ἀπὸ μακρᾶς ἀρχομένου. χωλιάμβους δὲ Ἱππῶναξ ἐποίησε· καὶ διὰ τοῦτο εἶπεν

Ἱππώνακτος τὸ μέτρον.

ἔνθεν καὶ οὐ καλῶς ἐπιλαμβάνεται Ἱππώνακτος· αὐτὸς γὰρ οὗτος τοῦτο ἐπετήδευσε τὸ μέτρον: — *AC*

4, 15 μήποτε οὐδέ ἐστιν ἐν μέσῳ λέξεως κοινή· τὰς γὰρ διφθόγγους, ἃς παρέθετο, ἀπὸ ἑνὸς ἡμίσεος χρόνου ἔχουσιν, ἡ α̅ι̅ καὶ ἡ ο̅ι̅. διὸ καὶ προπαροξύνονται ὡς τὸ ἄνθρωποι, καίτοι τῶν φύσει μακρῶν μηδέποτε προπαροξυνομένων, εἰ μὴ Ἀττικῶς διὰ τὸ Μενέλεως ἢ Τυνδάρεως· — ἀμέλει τοι ἐν τῇ δοτικῇ ἐπεὶ διὰ τοῦ σ̅ προσλαμβάνει τὸ ἡμιχρόνιον, ἐν τῷ ἀνθρώποις καταβιβάζει τὸν τόνον καὶ γὰρ παροξύτονός ἐστιν. — αἱ προειρημέναι τοίνυν δίφθογγοι οὐκ εἰσὶ κοιναί, ἀλλ' ἀντὶ βραχείας παραλαμβάνονται ὑπὸ τῶν παλαιῶν. οὐκ ἤγαγεν οὖν παράδειγμα Ἡφαιστίων ἐν μέσῳ λέξεως μακρὰν ἔχουσαν δύο χρόνους. τὸ δ' οἶδ' ἀρετὴν οἷος ἐσσί (Heph. 5, 1) καὶ συνίζησιν ἔχει· ἔστι γὰρ οἷος ἐσσί ὁμοίως καὶ τὸ Ἕκτορ υἱὲ Πριάμοιο (Heph. 5, 12)· ποδίζεται γὰρ οὕτως Ἕκτŏρ ῡἷε Πριά: — *AC*

12 Choer. 44, 22 ‖ 23 cf. etiam Choer. 45, 16—23

2 βραχύ om. *C* ‖ 3 ἀντὶ τοῦ om. *C* ‖ 8 τὸ] εἴγε τὸ *A* ‖ 9—10 ἔνθεν — μέτρον om. *C* ‖ 11 οὐδέν *C* ‖ 12 χρόνου ἴσμεν ἐχούσας ἡ α̅ι̅ *C* ‖ 17 ἐν τῷ om. *C* ‖ 21 παραδείγματα *C* ‖ 23 καὶ om. *C* ‖ 24 ὁμοίως om. *C* | ἕκτωρ *AC* ‖ 25 ἕκτωρ *AC* ⟨ signa qualitatis addidi

ἐκτείνουσι γὰρ τὸ μ καὶ τὸ π τὸ λα· ὁμοίως δὲ καὶ ἑνὸς τῶν διπλῶν εὑρισκομένου ἐκτείνεται, οἷον † ἀψότερος καὶ † ἀξιότερος· ἀντὶ γὰρ δύο συμφώνων εἰσὶ τὰ διπλᾶ. — τὰ δὲ σεσημειωμένα ἐν τοῖς βραχέσι μακρὰ τῶν φωνηέντων, ἃ καὶ χωρὶς δύο συμφώνων καὶ διπλῶν ἐκτείνονται καὶ ποιοῦσι τὰ διὰ τοῦ ο μικροῦ οτερος, ταῦτά εἰσι κατὰ στοιχεῖον·

ἄκρατος, ἀνιαρός, ἀνίατος, ἄνισος, ἀπρόσιτος,
βούλιμος, βόθυνος, βρυχή, βριμών, βρίθω,
γλίφω, γλίχων, γρυπός, γρῖφος, γυρός,
δύσπραγος, δυσπέρατος,
ἐπάρατος, εὐθύνω,
θέα, θυμός,
ἶσος, ἰσχυρός, ἴφθιμος,
κενός, κηλίσ, κνιπός, κριτός, κριθή, κίνδυνος, κῦμα, κῦρος,
λιτός, λιρός, λιμός, λῖπος, λύμη,
μανός, μῦθος,
νίκη,
ξεναγός, ξένος,
οἰζυρός, ὅμιλος,
πρᾶος, πῖον, περάσω, πνῖγος, πυγή, πυρά, πυρός,
ῥᾴθυμος, ῥᾶον, ῥινός, ῥιγῶ, ῥυσός,
σιμός [ὁ πατζός], σιλών, στέριφος, στραγός,
τιμή, τρανός, τῦφος,
ὕλη,
φανός, φθίνω, φιμός, φλυαρῶ,
χαλινός, χρυσός, χυμός, χυλός,
ψαρός, ψιλός, ψυχή.

3 cf. Ps.-Draco (i. e. Diassorinos; v. L. Cohn in Philol. Abhdlg. in honorem Martini Hertz p. 137) p. 117

1 rectius τὸ βρ καὶ τὸ μπρ τὸ α || 4 ἐν τοῖς βραχέσι del. Westph. || 6 ο μικροῦ οτερος scripsi, οτερος μικρά *IM* || 7—28 singula emendare nec potui nec volui || 9 γλήχων *IM* || 14 post κενός add. *IM* καινός | κηλίς Turn., κηλίσδω *IM* || 21 (in.) ρᾶος *I* || 23 πατζός] cf. Du Cange s. v. | στρατηγός *M*

Ταῦτα μὲν ἡ τῶν ποιητῶν χρῆσις μακρὰ δέχεται· ὅσα δὲ ἀπ' αὐτῶν γράφεται διὰ τοῦ οτερος καὶ οτατος, διαλαμβάνει περὶ τούτων ὁ Κύριος Μανουὴλ ἐν τῷ καλουμένῳ πρώτῳ πλατύτερον μετὰ πολλῆς ἄγαν τῆς ἀκριβείας καὶ ὁ βουλόμενος ἐκεῖθεν αὐτὰ εἴσεται.): — *IM*

1, 6 ἐπὶ τέλους λέξεως εἶπε διὰ τὸ τὰς καταληκτικὰς κοινὰς γενέσθαι ὡς τὸ τὰ περὶ καλὰ ῥέεθρα (Φ 352): — *AC*

1, 6 διὰ τὸ πρὸς οἶκον Πηλῆος (*I* 147): — *A*ⁱ

1, 6 τὸ δὲ μὴ ἐπὶ τέλους λέξεως εἴρηται, ἵνα ἀντιδιαστείλῃ αὐτὴν πρὸς τὴν λεγομένην κοινήν. τὸ πρὸς οἶκον Πηλῆος (*I* 147): — *I*(*D*)

98 1, 11 ἡ καὶ φύσει μακρά· ἡ γὰρ τὸ η̄ λαβοῦσα ἢ
2] τὸ ω̄ κατ' ἀνάγκην ἐκτείνεται, τῆς φύσεως τῶν στοιχείων οὔσης μηκυντικῆς. — ἰστέον δὲ ὡς ἔστι μακρὰ ⟨καὶ⟩ τρίχρονος ἢ καὶ πλειόνων χρόνων οἷον ηὔλουν, Θρᾷξ· ὁ μέντοι μετρικὸς λόγος οὔτε ἥσσονα μονοχρόνου οἶδεν οὔτε μείζονα διχρόνου: — *AC*

00 1, 13 ⟨ὡς ἑξῆς εἶναι σύμφωνον⟩: οὐ νόμος οὗτος,
2] ἀλλὰ διδασκαλίας ἀσφάλεια· πολλάκις γὰρ μὴ ὄντος συμφώνου μακρὰ γίνεται· ὡς ἐν τῷ

πῆ ἔβη Ἀνδρομάχη (Ζ 377)·

6—12 meliora proll. Long. 89, 2 sqq. Choer. 38, 11—18; cf. schol. in Dion. Thr. 349, 7—10. 512, 15 sqq. ‖ 16 Choer. 34, 25—35, 4. proll. Long. 87, 12 sq.; schol. in Dion. Thr. 205, 26. 206, 2 (cf. ibid. 142, 18 sqq.)

6 ἐπὶ — εἶπε om. *A* ‖ 7 γίνεσθαι *C* ‖ 10 haec in *I* sunt extrema pars scholii 93, 11—12 ‖ 10—12 in *D* non nisi haec τὸ δὲ μὴ ἐπὶ τέλει λέξεως διὰ τὴν λεγομένην κοινήν ‖ 12 Πηλῆος] πλῆθος *I* ‖ 13 ἡ γὰρ Westph., ἢ γὰρ *A* ‖ pro 13 ἡ καὶ — 14 ἐκτείνεται in *C* est μακρὸν φύσει τὸ η̄ καὶ τὸ ω̄ μέγα κατὰ ἀνάγκην ἐκτείνονται ‖ 14 στοιχείων ⟨τούτων⟩ Westph. ‖ 16 καὶ addidi | χρόνων om. *C* ‖ 19 lemma addidi ex *PQ*

ἡ μὲν πη ἀντὶ μακρᾶς, ἡ δὲ βη ἀντὶ βραχείας· καίτοι ἀμφότεραι εἰς φωνῆεν λήγουσιν, ἀλλ' ὅμως τὴν μὲν πη μακρὰν διὰ τὴν φύσιν ἐτηρήσαμεν, τὴν δὲ βη ἡ βία τῆς χρείας ἀντὶ βραχείας εἴληφεν: — *AC*

3, 1 τινὲς ἀτόπως φασὶν ἰσοδυναμεῖν τῇ μακρᾷ δύο βραχείας, ἀγνοοῦντες ὅτι οὐχὶ ἡ μακρὰ ἢ ἡ βραχεῖα τοῦ σώζεσθαι τὰ μέτρα αἴτιοι, ἀλλ' ἡ φύσις τῶν μέτρων· τὸ γὰρ

πολλὰς δ' ἰφθίμους (*A* 3)

εἰ ποιήσαιμι

πολλάκι δ' ἰφθίμους,

σώζεται τὸ μέτρον ἐπ' ἀμφοτέρων καὶ οἱ πόδες οἰκεῖοι τοῦ μέτρου εἰσίν· ἐπεὶ εἰ τὰς συλλαβὰς οἴονται αἰτίας εἶναι, τὴν πρώτην τοῦ ἔπους κίνησον συλλαβὴν καὶ ἀντὶ μακρᾶς ποίησον δύο βραχείας

πολέας δ' ἰφθίμους,

καὶ οὐκέτι ἔστι τὸ μέτρον καίτοι δύο βραχειῶν οὐσῶν, ἀλλ' ὁ πους ἀλλότριος. — Τὸ

Βορέης καὶ Ζέφυρος (*I* 5)

ἐπισκεψόμεθα αὐτοῦ λέγοντος ἐφεξῆς: — *A*

2, 3 θέσει μακραὶ γίνονται, ὅταν μεταξὺ δύο 10
φωνηέντων πίπτῃ δύναμις δύο συμφώνων: — *AD* [3

2, 3 τὸ γίνονται ἀντὶ τοῦ τίθενται· τίθησι γάρ τις τὸ μὴ οὕτως φύσει ἔχον: — *AD*(*C*)

20 schol.[B] (lib. V) p. 23, 16 sqq.; append. ad Hel. Mon. AV 181 § 2

2 εἰς ⟨μακρὸν⟩ Denig | λήγουσαι *C* Egen. || 4 βία om. spatio rel. *C* || 9 an ποιήσαιμεν? *A* || 17 οὐκέτι Wilam., οὐκ *A* | 20 huiusmodi explicatio in schol.[A] desideratur, sed cf. test. | 22 δύο om. *D* || 23 τὸ—τίθενται om. *D* | pro toto scholio habet *CD* ad γίνονται: ἤγουν τίθενται

*$\overline{\vartheta}$ καὶ τοῦ $\overline{\mu}$ γίνεται [μακρὰ] κοινή· καὶ ἐν τῷ δόντι τε τοῦ $\overline{\varkappa}$ καὶ $\overline{\mu}$ ἐπιφερομένου κοινὴ γίνεται:* — *AC*

7, 5 *ἐν τῷ οὐκ ἀριθματοί ἡ κοινὴ ⟨τοῦ $\overline{\vartheta\mu}$ ἐπιφερομένου⟩ καὶ ἐν τῷ τεκμαρ τοῦ $\overline{\varkappa\mu}$ ἐπιφερομένου:* — *I*

7, 19 *εἰς τὸ γα:* — $A^i$

7, 21 *εἰς τὸ το:* — $A^i$

8, 5 *εἰς τὸ μεν:* — $A^i$

## Cap. II.

118 *ἡ συνεκφώνησις ἀναγκαῖον μάθημα καὶ πάνυ με-*
[18] *τρικοῖς ἁρμοδιώτατον· πολλοὶ γὰρ λελυμάνθαι δοκοῦντες στίχοι καὶ ἄμετρον ἔχοντες τὴν σύνθεσιν διὰ τῆς συνεκφωνήσεως ἀναλαμβάνουσι τὸν κόσμον τῆς μετροποιΐας. τὸ γὰρ*

*ὑμῖν μὲν θεοὶ δοῖεν* (*A* 18)

*εἰ κοίνην τις λάβοι, μέγιστον ποιήσει ἐναντίωμα τοῖς προειρημένοις· φαμὲν γὰρ κόσμον εἶναι κοινῆς, ὅταν εἰς φωνῆεν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην. ἐνταῦθα δὲ κατὰ τὸν δεύτερον πόδα τῇ $\overline{\text{οι}}$ συλλαβῇ τὸ $\overline{\text{δοι}}$ ἐπιφερόμενον σκάζειν ποιεῖ τὸν στί-*

10 cf. schol. in Dion. Thr. 211, 8 ‖ 15 cf. commentar. metr. AV 183 adn. 240. 244 ‖ 17 *ὅταν* — 18 *ἀρχομένην* = Dion. Thr. 20, 4—5

1 *μακρὰ* delevi ‖ 1—2 pro *γίνεται* — *γίνεται* in *C* non nisi haec *καὶ τεκμαρτὸν τοῦ $\overline{\varkappa}$ καὶ μ* ‖ 3 continuatur in *I* scholio p. 104, 22 ‖ 6 *τὸν A* ‖ 10 post *ἀναγκαῖον* add. *DI ἐστι* ‖ pro 11 *πολλοὶ* — 20 *ἐπιφερόμενον* in *C* haec *ἥτις ἐστὶ καὶ συνίζησις· ἦν γὰρ ἐπὶ τὸ ὑμῖν μὲν θεοὶ δοῖεν, ἣν μὴ συνεκφώνησις* (*συνεκφωνήσης PQ*) *τὸ $\overline{\varepsilon}$· καὶ γένηται σπονδεῖος* ‖ 13 *ἀπολαμβάνουσι DI*, *ἀναλαμβάνει A* ‖ 15 *I* add. *οὐλύμπια δώματ' ἔχοντες* ‖ 16 *εἰ*] *εἰ μὴ D* ‖ 17 *φασὶ μὲν I* | *κόσμον*] fort. *τρόπον* vel *τόπον* | *ὅταν A*, *εἰ DI* ‖ 18 *λήγῃ A*, *λήγει DI* | ἔχει ADI \\ 19 *κατὰ* om. *A*, est in *K* | pro δὲ—πόδα in D non nisi μὲν \\ *τῆς $\overline{\text{οι}}$ συλλαβῆς I* ‖ 20 *τὸ $\overline{\text{δοι}}$ K*, τὸν δὲ A

3, 4 *καλῶς οὐχ ὡρίσατο αὐτήν· οὐ γάρ ἐστιν, ἀλλὰ γίνεται, τῶν δὲ μὴ ὄντων οὐ δεῖ παρέχειν ὅρους ὡς ὄντων. [ἐν μέσῳ δὲ ἀμφοῖν κειμένη κοινὴ προσαγορεύεται.] — Τινὲς ὡρίσαντο τὴν κοινὴν συλλαβὴν οὕτως· κοινή ἐστι συλλαβὴ ἀμφίδοξος συλλαβῆς δύναμις, ἢ πρὸς ἀμφότερα δύναται λαμβάνεσθαι. τῷ δὲ Ἡφαιστίωνι ὅρον οὐκ ἔδοξεν αὐτῆς δοῦναι οὐδὲ τῆς θέσει μακρᾶς· καλῶς· ἐπειδή φασιν, ὅτι οὐκ ἐξ αὐτῶν εἰσιν, ἀλλὰ θέσει ἢ βραχεῖαι ἢ μακραὶ γίνονται· περιττὸν δὲ τῆς μὴ οὔσης ὅρον ἀποδοῦναι· οἱ γὰρ ὅροι τῶν ὄντων φύσει δίδονται:* — *A*

3, 7—9 *πρὸς ἕκαστον τὰ παραδείγματα:* — $A^{i}$

3, 9 *συναίρεσις τοῦ κ έ ρ α α κ έ ρ α:* $A^{i}C^{g}$

† *τὸ ρ̅α̅ μακρόν ἐστιν, ἀπὸ συναιρέσεως γινόμενον, μᾶλ-* 10 *λον δὲ ἐκ κράσεως. ὡς γὰρ κρέας κρέατος καὶ κρέως, καὶ* [6 *κρέατα καὶ κρέαα καὶ κρέα καὶ ἔστι τοῦ κρέα τὸ ᾱ μακρὸν — τὰ γὰρ δύο α̅α̅ εἰς ᾱ μακρὸν κιρνᾶται —, οὕτω καὶ τὸ κέρας λέγομεν τοῦ κέρατος καὶ κέραος καὶ κέρως, τῷ κέρατι καὶ κέραι καὶ κέρᾳ, τὰ κέρατα καὶ κέραα καὶ κέρα, καὶ ἔστι τὸ ρ̅α̅ μακρὸν ἐκ κράσεως· διὰ τοῦτό ἐστι τὸ ρ̅α̅ μηκυνόμενον:* — *I*

3, 10 *ἡ γὰρ ἀνάπαυσις τῆς φωνῆς ἤτοι τοῦ λόγου τὰς συλλαβὰς ἀπ' ἀλλήλων χωρίζουσα τρόπον τινὰ τὰς μακρὰς εὐφωνοτέρας καθίστησιν:* — *ACI*

3, 11 *φησὶν ὅτι ἡ κοινὴ συλλαβή, ὅταν καταλήξῃ εἰς μέρος λόγου, καλλίστη ἐστίν· εὑρίσκεται δὲ καὶ μὴ*

1—11 Choer. 40, 7—14 ‖ 13 sqq. Herodian II 75, 18—22 ‖ 20 Choer. 39, 18 ‖ 22 schol. in Dion. Thr. 350, 3

3 verba *ἐν — προσαγορεύεται* ex 92, 22 huc illapsa videntur ‖ 5 verba *κοινὴ — δύναμις* etiam in *C* ‖ 8 *φησιν* Caes., *φασιν* etiam Choer. ‖ 13 in *D* haec: *μακρὸν τὸ ρ̅α̅ κέραε κέρα* ‖ 22 *τῆς — ἤτοι* om. *I* ‖ 25 iungitur cum antecedente scholio verbis *φησὶ δὲ ὁ μετρικὸς ὅτι I*

*εἰς μέρος λόγου περατουμένη· καὶ τίθησι παραδείγματα:* — *ACI*

3, 12 ⟨*παραδείγμασι*⟩: *ὡς πρὸς τὰ ἔπη:* — *A*[g]

3, 12 ⟨*σπανιώτερον*⟩: *κοινὴ συλλαβὴ δηλονότι:* — *A*[i]

3, 15 *τὸ τοιαυ· κοινή ἐστιν ἐν μέσῳ τῷ τοιαυ· ὁ γὰρ ἴαμβος ἐν ταῖς ἀρτίαις χώραις ἀπὸ βραχείας ἄρχεται:.* — *AI*

3, 17 *τίνα τῶν παλαιῶν: τοῦτο Σωτάδου, ὃν ἀνεῖλε Φιλάδελφος ὁ Πτολεμαῖος ἐλεγχθεὶς ὑπ' αὐτοῦ, διότι τῇ ἀδελφῇ συγγίνοιτο. τὸ δὲ ἰωνικὸν ἀπὸ μείζονος σύγκειται ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν· ὁ Σωτάδης οὖν ἀντὶ τῆς ἐν ἀρχῇ μακρᾶς δύο βραχείας παρέλαβε καὶ ἐν τῷ τρίτῳ δὲ ποδὶ δύο συλλαβὰς βραχείας ἀντὶ μιᾶς μακρᾶς:* — *AI*

3, 17 *τίνα τῶν παλαι καὶ τὴν λαι συλλαβὴν καίτοι ἐν μέσῳ οὖσαν κοινὴν ἔλαβε καὶ ἐν τῷ τρίτῳ δὲ ποδὶ ἔλαβε δύο βραχείας καὶ ἔστιν ὁ ποὺς πεντασύλλαβος*

*[ῶν ἱστορι]ῶν θέλετ' ἔσα.*

*τὸ θέλετ' ἀντὶ μιᾶς μακρᾶς παρέλαβεν:* — *A*

3, 17 *ἡ τίνα δισύλλαβος ἀντὶ μιᾶς μακρᾶς παραλαμβάνεται· ἡ γὰρ συζυγία γίνεται πεντασύλλαβος τίνα τῶν παλαι. καὶ ἡ λαι γὰρ κοινὴ ἀντὶ βραχείας παρα-*

8 Choer. 41, 14—15

1 *πεπερατωμένη I* | *τίθησι σαφῆ τούτου τὰ I* ‖ 8 *τὸ δὲ τίνα τῶν παλαιῶν Σωτάδου ἐστιν ὃν I* ‖ 9 *ὅτι I* ‖ 10 a *τὸ ἰωνικὸν* (om. *δὲ*) incipit in *I* alterum schol. ‖ 11 *ἐκ A, ἀπὸ I* | *ὁ γοῦν Σωτάδης ἀντὶ I* ‖ 12 post *βραχείας* add. *τὴν τίνα I* | *δὲ* om. *I* ‖ 13 *βραχείας* om. *A* ‖ 14 *μιᾶς* om. *I*, *μακρᾶς* om. *A* ‖ 15 hoc scholion antecedenti continuatur in *A* ‖ 15 verba *καὶ* — 16 *κοινὴν ἔλαβε* etiam in *I* ‖ 16—20 in *D* non nisi haec *ἀντὶ μιᾶς μακρᾶς καὶ τὸ θέλε ὡσαύτως* ‖ 20 *θελε A* ‖ 21—100, 2 hoc schol. in *A* antecedit scholio 99, 8 sqq. ‖ 22 *ἡ γὰρ συζυγία A*, *ἡ λᾶι γὰρ C*

λαμβανομένη ἐν μέσῃ λέξει· κέκοπται γὰρ τὸ πᾰλαῐω̄ν. τὸ θέλετ' ἀντὶ μιᾶς μακρᾶς παραλαμβάνεται: — A C

3, 19 γλυκώνειον: — $A^g C^g$

3, 19 ἡ θᾱῑ κοινή· ἰαμβικὴ γὰρ ἡ τελευταία: — $A^i C^g$

3, 19 ἤ κου νῦν ἐπὶ Ληθαίου: ἡ θᾱῑ κοινή· [8] ἰαμβικὴ γὰρ ἡ κατάκλεις τοῦ γλυκωνείου καλουμένου, ὡς ἐκ τῆς ἀντιστροφῆς ἔστιν ἰδεῖν, λέγω δὴ τοῦ

γουνοῦμαί σ' ἐλαφηβόλε·

ἡ γὰρ λε̄ ἀντὶ μακρᾶς, ὅτι τελευταία ἐστίν. — ἔτι δὲ εἰ εἴποις, δύναταί τις τὴν συζυγίαν λέγειν τὴν πὶ ληθαίου καθαρὰν ἀντισπαστικὴν τῆς τελευταίας οὔσης ἀδιαφόρου, ἀλλ' ἐναντιοῦται ἡ ἀντιστροφή· εὑρίσκομεν γὰρ ὅλα τὰ ἀντιστρέφοντα ἰαμβικῇ κατακλειόμενα

ξανθὰ παῖ Διὸς ἀγρίων.

ἀεὶ δὲ τὸ ἀντισπαστικὸν δίμετρον τὸν πρῶτον ἁπλοῦν πόδα ἀδιάφορον λαμβάνει: — A C

4, 1 εἰ γὰρ δυνατὸν ἦν ἐν ἔπεσι τὴν κοινὴν ἐπὶ μέσης λέξεως εἶναι, οὐκ ἐκώλυεν εἰπεῖν Ἀρχέλαος. τὸ γὰρ ᾱ ἐκτείνεται: — A

4, 1 τὸ γὰρ Ἀρχέλαος μακρὸν ἔχει τὸ ᾱ: — $A^i C^g$

4, 7 ⟨ἀμυσχρόν⟩: καθαρόν: — $A^g C^g$

4, 9 Πηνελάοιο γὰρ ἦν· ἀλλ' ἐπειδὴ ἐκτεταμένον 101

[9]

6 sqq. Choer. 42, 16 sqq. || 22 Choer. 43, 10

1 κέκοπται — παλαιῶν om. C | ⏑ ⏑ – addidi || 2 a τὸ θέλετ' in A inc. alter. schol. | A add. τροχαϊκὴ γάρ ἐστιν ἡ τρίτη ἀεὶ συζυγία || 4 τὸ θαι κοινη, δίιαμβος πι ληθαίου D || 7 τὸ γλυκώνειον καλούμενον AC, corr. Caes.; an delenda sunt? || 8 τῆς C, τινὸς A || 10 ἔτι Wilam., ὅτι AC | εἰ εἴπῃς A, ἢν εἴπῃς C || 11 δύνατό A || 18—101, 2 in I haec sunt τὸ γὰρ Ἀρχελαΐδος καὶ τὸ Πηνελάοιο τὸ λᾱ ἐκτεταμένον· γίνεται οὖν κοινή || 21 Ἀρχέλαος] fort. Ἀρχελαΐδος || 22 $K^2$ add. ἢ ἀμαυρόν

ἦν τὸ ᾱ, οὐκ ἠδύνατο δὲ τοῦτο, μετέβαλεν εἰς τὸ ε̄ βραχύ: — *AC*

4, 10 ⟨ἐπισημασίας ἠξίωσε⟩: ἀντὶ τοῦ ἐπεσημήνατο: — $A^i C^g$

4, 14 χωλίαμβον γὰρ ἐποίησε, τοῦ ἕκτου ποδὸς ἀπὸ μακρᾶς ἀρχομένου. χωλιάμβους δὲ Ἱππῶναξ ἐποίησε· καὶ διὰ τοῦτο εἶπεν

Ἱππώνακτος τὸ μέτρον.

ἔνθεν καὶ οὐ καλῶς ἐπιλαμβάνεται Ἱππώνακτος· αὐτὸς γὰρ οὗτος τοῦτο ἐπετήδευσε τὸ μέτρον: — *AC*

4, 15 μήποτε οὐδέ ἐστιν ἐν μέσῳ λέξεως κοινή· τὰς γὰρ διφθόγγους, ἃς παρέθετο, ἀπὸ ἑνὸς ἡμίσεος χρόνου ἔχουσιν, ἡ α̅ι̅ καὶ ἡ ο̅ι̅. διὸ καὶ προπαροξύνονται ὡς τὸ ἄνθρωποι, καίτοι τῶν φύσει μακρῶν μηδέποτε προπαροξυνομένων, εἰ μὴ Ἀττικῶς διὰ τὸ Μενέλεως ἢ Τυνδάρεως· — ἀμέλει τοι ἐν τῇ δοτικῇ ἐπεὶ διὰ τοῦ σ̄ προσλαμβάνει τὸ ἡμιχρόνιον, ἐν τῷ ἀνθρώποις καταβιβάζει τὸν τόνον καὶ γὰρ παροξύτονός ἐστιν. — αἱ προειρημέναι τοίνυν δίφθογγοι οὐκ εἰσὶ κοιναί, ἀλλ᾽ ἀντὶ βραχείας παραλαμβάνονται ὑπὸ τῶν παλαιῶν. οὐκ ἤγαγεν οὖν παράδειγμα Ἡφαιστίων ἐν μέσῳ λέξεως μακρὰν ἔχουσαν δύο χρόνους. τὸ δ᾽ οἶδ᾽ ἀρετὴν οἷος ἐσσί (Heph. 5, 1) καὶ συνίζησιν ἔχει· ἔστι γὰρ οἷος ἐσσί ὁμοίως καὶ τὸ Ἕκτορ υἱὲ Πριάμοιο (Heph. 5, 12)· ποδίζεται γὰρ οὕτως Ἕκτο̆ρ υἱ̆ὲ Πριά: — *AC*

12 Choer. 44, 22 || 23 cf. etiam Choer. 45, 16—23

2 βραχύ om. *C* || 3 ἀντὶ τοῦ om. *C* || 8 τὸ] εἴγε τὸ *A* || 9—10 ἔνθεν — μέτρον om. *C* || 11 οὐδὲν *C* || 12 χρόνου ἴσμεν ἐχούσας ἢ α̅ι̅ *C* || 17 ἐν τῷ om. *C* || 21 παραδείγματα *C* || 23 καὶ om. *C* || 24 ὁμοίως om. *C* | ἕκτωρ *AC* || 25 ἕκτωρ *AC* | signa qualitatis addidi

5, 3 *εἰς τὸ δοι ἐστὶν ἡ κοινή:* — *A*ⁱ*C*ᵍ

5, 5 *ἐπεὶ ἐκ δύο τελείων ἐστὶν ἡ σύνθεσις· ἔστι δὲ ἡ κοινὴ εἰς τὸ μαι:* — *A*(*C*)

5, 8 *διὰ τὸ ὥσπερ μίαν καὶ αὐτὴν δοκεῖν εἶναι καὶ μὴ ἀπηρτίσθαι, κοινὴ ἔδοξεν ἡ [χα]μαί:* — *A*ⁱ

5, 10 *ἐπεὶ εἴρηται περὶ τῶν γενομένων κοινῶν διφθόγγων, εἰκότως καὶ περὶ τῆς υι διφθόγγου διέλαβε, καὶ αὐτῆς μὲν κοινῆς πολλάκις γενομένης, κακοφωνίαν δὲ μᾶλλον ἐχούσης. ἐπὶ τῶν ἄλλων γὰρ οὐκ ἐνέφαινε πολλὴν ὁ στίχος τραχύτητα:* — *AC*

5, 13 *δεύτερον τρόπον φησὶ τῆς κοινῆς συλλαβῆς,* 109
*ὅταν τὸ μὲν πρῶτον ἄφωνον ᾖ, τὸ δὲ δεύτερον ὑγρὸν* [11]
*καὶ κατὰ σύλληψιν ὑπάρχωσιν· καὶ εἰκότως· τὸ γὰρ ἄφωνον πάνυ ἐστὶν ἀσθενὲς ὡς κακόφωνον, τὸ δὲ δεύτερον εὐόλισθον καὶ τρέχον· διὰ γοῦν τὴν ἀσθένειαν τοῦ ἀφώνου καὶ τὸ εὐκίνητον τοῦ ὑγροῦ οὐκ αἰσθάνεται ἡ ἀκοὴ τὴν μακρὰν καὶ γίνεται κοινὴ συλλαβή. δύο δὲ ἄφωνα οὐ τέθεινται, ἅτε τῶν δύο τῶν ὁμοίων, εἰ καὶ ἀσθενέστερα ὑπάρχοιεν, πλέον ἑλκόντων ἤπερ τῶν ἀνομοίων· ἀμέλει τοι ἅμαξαν δύο ὄνοι*

6 Choer. 45, 2 sqq. ‖ 11 Choer. 47, 19—48, 15. Mar. Vict. VI 38, 9—22 ‖ 15 cf. schol. in Dion. Thr. 205, 2 ‖ 18 schol. in Dion. Thr. 350, 24 sqq.

2—3 in *C* non nisi *εἰς τὸ μαι ἐστὶν ἡ κοινή* ‖ 4—5 Hephaestionem male intellexit ‖ 6 *ἐπεὶ εἴρηται καὶ C*, *εἴρηται A* ‖ 8 *μὲν* om. *C* | *κακοφωνίας C* ‖ 9 ab *ἐπὶ* in *AC* inc. nov. schol. | *γὰρ* om. *A* ‖ 11 *δεύτερος δὲ τρόπος ἐστι κοινῆς ὅταν C* ‖ 12 *ἢ C*, *ἐστὶ AI* ‖ 13 post *καὶ* add. *ὅταν A* ‖ pro 11—13 *D ὅταν κατὰ σύλληψιν ὦσι, δῆλον τὸ γὰρ κτλ.* ‖ 13 *καὶ* (alt.) om. *CI* ‖ 14 *παντὸς I*, *πάντῃ D* ‖ 15 *καὶ* om. *D* | *οὖν AC* ‖ 17 *συλλαβὴ* om. *D* ‖ 18 pro *δύο* — 20 *ἤπερ D* haec *δύο δὲ ἄφωνα οὐ ποιοῦσιν· πλέον γὰρ δύνανται, εἰ καὶ ἀσθενέστερα, τὰ δύο ὅμοια* ‖ 19 *εἰ*] *εἴτε I* ‖ 20 *ἤπερ*] *ἢ I* | *ἀνομοίων*] rell. om. *C*

ἦν τὸ ᾱ, οὐκ ἠδύνατο δὲ τοῦτο, μετέβαλεν εἰς τὸ ε̄ βραχύ: — *AC*

4, 10 ⟨ἐπισημασίας ἠξίωσε⟩: ἀντὶ τοῦ ἐπεσημήνατο: — *A*ⁱ*C*ᵛ

4, 14 χωλίαμβον γὰρ ἐποίησε, τοῦ ἕκτου ποδὸς ἀπὸ μακρᾶς ἀρχομένου. χωλιάμβους δὲ Ἱππῶναξ ἐποίησε· καὶ διὰ τοῦτο εἶπεν

Ἱππώνακτος τὸ μέτρον.

ἔνθεν καὶ οὐ καλῶς ἐπιλαμβάνεται Ἱππώνακτος· αὐτὸς γὰρ οὗτος τοῦτο ἐπετήδευσε τὸ μέτρον: — *AC*

4, 15 μήποτε οὐδέ ἐστιν ἐν μέσῳ λέξεως κοινή· τὰς γὰρ διφθόγγους, ἃς παρέθετο, ἀπὸ ἑνὸς ἡμίσεος χρόνου ἔχουσιν, ἡ αι̅ καὶ ἡ οι̅. διὸ καὶ προπαροξύνονται ὡς τὸ ἄνθρωποι, καίτοι τῶν φύσει μακρῶν μηδέποτε προπαροξυνομένων, εἰ μὴ Ἀττικῶς διὰ τὸ Μενέλεως ἢ Τυνδάρεως· — ἀμέλει τοι ἐν τῇ δοτικῇ ἐπεὶ διὰ τοῦ σ̄ προσλαμβάνει τὸ ἡμιχρόνιον, ἐν τῷ ἀνθρώποις καταβιβάζει τὸν τόνον καὶ γὰρ παροξύτονός ἐστιν. — αἱ προειρημέναι τοίνυν δίφθογγοι οὐκ εἰσὶ κοιναί, ἀλλ' ἀντὶ βραχείας παραλαμβάνονται ὑπὸ τῶν παλαιῶν. οὐκ ἤγαγεν οὖν παράδειγμα Ἡφαιστίων ἐν μέσῳ λέξεως μακρὰν ἔχουσαν δύο χρόνους. τὸ δ' οἶδ' ἀρετὴν οἷος ἐσσί (Heph. 5, 1) καὶ συνίζησιν ἔχει· ἔστι γὰρ οἷος ἐσσί ὁμοίως καὶ τὸ Ἕκτορ υἱὲ Πριάμοιο (Heph. 5, 12)· ποδίζεται γὰρ οὕτως Ἕκτŏρ υῑὲ Πριά: — *AC*

12 Choer. 44, 22 ‖ 23 cf. etiam Choer. 45, 16—23

2 βραχύ om. *C* ‖ 3 ἀντὶ τοῦ om. *C* ‖ 8 τὸ] εἴγε τὸ *A* ‖ 9—10 ἔνθεν — μέτρον om. *C* ‖ 11 οὐδέν *C* ‖ 12 χρόνου ἴσμεν ἐχούσας ἡ αι̅ *C* ‖ 17 ἐν τῷ om. *C* ‖ 21 παραδείγματα *C* ‖ 23 καὶ om. *C* ‖ 24 ὁμοίως om. *C* | ἕκτωρ *AC* ‖ 25 ἕκτωρ *AC* | signa qualitatis addidi

5, 3 εἰς τὸ $\overline{\text{δοι}}$ ἐστὶν ἡ κοινή: — $A^i C^g$

5, 5 ἐπεὶ ἐκ δύο τελείων ἐστὶν ἡ σύνθεσις· ἔστι δὲ ἡ κοινὴ εἰς τὸ $\overline{\text{μαι}}$: — A(C)

5, 8 διὰ τὸ ὥσπερ μίαν καὶ αὐτὴν δοκεῖν εἶναι καὶ μὴ ἀπηρτίσθαι, κοινὴ ἔδοξεν ἡ [χα]μαί: — $A^i$

5, 10 ἐπεὶ εἴρηται περὶ τῶν γενομένων κοινῶν διφθόγγων, εἰκότως καὶ περὶ τῆς $\overline{\text{υι}}$ διφθόγγου διέλαβε, καὶ αὐτῆς μὲν κοινῆς πολλάκις γενομένης, κακοφωνίαν δὲ μᾶλλον ἐχούσης. ἐπὶ τῶν ἄλλων γὰρ οὐκ ἐνέφαινε πολλὴν ὁ στίχος τραχύτητα: — AC

5, 13 δεύτερον τρόπον φησὶ τῆς κοινῆς συλλαβῆς, 109
ὅταν τὸ μὲν πρῶτον ἄφωνον ᾖ, τὸ δὲ δεύτερον ὑγρὸν [11]
καὶ κατὰ σύλληψιν ὑπάρχωσιν· καὶ εἰκότως· τὸ γὰρ ἄφωνον πάνυ ἐστὶν ἀσθενὲς ὡς κακόφωνον, τὸ δὲ δεύτερον εὐόλισθον καὶ τρέχον· διὰ γοῦν τὴν ἀσθένειαν τοῦ ἀφώνου καὶ τὸ εὐκίνητον τοῦ ὑγροῦ οὐκ αἰσθάνεται ἡ ἀκοὴ τὴν μακρὰν καὶ γίνεται κοινὴ συλλαβή. δύο δὲ ἄφωνα οὐ τέθεινται, ἅτε τῶν δύο τῶν ὁμοίων, εἰ καὶ ἀσθενέστερα ὑπάρχοιεν, πλέον ἑλκόντων ἤπερ τῶν ἀνομοίων· ἀμέλει τοι ἅμαξαν δύο ὄνοι

6 Choer. 45, 2 sqq. ‖ 11 Choer. 47, 19—48, 15. Mar. Vict. VI 38, 9—22 ‖ 15 cf. schol. in Dion. Thr. 205, 2 ‖ 18 schol. in Dion. Thr. 350, 24 sqq.

2—3 in *C* non nisi εἰς τὸ $\overline{\text{μαι}}$ ἐστὶν ἡ κοινή ‖ 4—5 Hephaestionem male intellexit ‖ 6 ἐπεὶ εἴρηται καὶ *C*, εἴρηται *A* ‖ 8 μὲν om. *C* | κακοφωνίας *C* ‖ 9 ab ἐπὶ in *AC* inc. nov. schol. | γὰρ om. *A* ‖ 11 δεύτερος δὲ τρόπος ἐστι κοινῆς ὅταν *C* ‖ 12 ᾖ *C*, ἐστὶ *AI* ‖ 13 post καὶ add. ὅταν *A* ‖ pro 11—13 *D* ὅταν κατὰ σύλληψιν ὦσι, δῆλον τὸ γὰρ κτλ. ‖ 13 καὶ (alt.) om. *CI* ‖ 14 παντὸς *I*, πάντῃ *D* ‖ 15 καὶ om. *D* | οὖν *AC* ‖ 17 συλλαβὴ om. *D* ‖ 18 pro δύο — 20 ἤπερ *D* haec δύο δὲ ἄφωνα οὐ ποιοῦσιν· πλέον γὰρ δύνανται, εἰ καὶ ἀσθενέστερα, τὰ δύο ὅμοια ‖ 19 εἰ] εἴτε *I* ‖ 20 ἤπερ] ἢ *I* | ἀνομοίων] rell. om. *C*

*θ̅ καὶ τοῦ μ̅ γίνεται [μακρὰ] κοινή· καὶ ἐν τῷ δόντι τε τοῦ κ̅ καὶ μ̅ ἐπιφερομένου κοινὴ γίνεται: — AC*

7, 5 *ἐν τῷ οὐκ ἀριθματοί ἡ κοινὴ ⟨τοῦ θ̅μ̅ ἐπιφερομένου⟩ καὶ ἐν τῷ τεκμαρ τοῦ κ̅μ̅ ἐπιφερομένου: — I*

7, 19 *εἰς τὸ γα: — A*[i]

7, 21 *εἰς τὸ το: — A*[i]

8, 5 *εἰς τὸ μεν: — A*[i]

## Cap. II.

.8 *ἡ συνεκφώνησις ἀναγκαῖον μάθημα καὶ πάνυ με-*
3] *τρικοῖς ἁρμοδιώτατον· πολλοὶ γὰρ λελυμάνθαι δοκοῦντες στίχοι καὶ ἄμετρον ἔχοντες τὴν σύνθεσιν διὰ τῆς συνεκφωνήσεως ἀναλαμβάνουσι τὸν κόσμον τῆς μετροποιΐας. τὸ γὰρ*

*ὑμῖν μὲν θεοὶ δοῖεν* (*A* 18)

*εἰ κοίνην τις λάβοι, μέγιστον ποιήσει ἐναντίωμα τοῖς προειρημένοις· φαμὲν γὰρ κόσμον εἶναι κοινῆς, ὅταν εἰς φωνῆεν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην. ἐνταῦθα δὲ κατὰ τὸν δεύτερον πόδα τῇ ο̅ι̅ συλλαβῇ τὸ δο̅ι̅ ἐπιφερόμενον σκάζειν ποιεῖ τὸν στί-*

10 cf. schol. in Dion. Thr. 211, 8 ‖ 15 cf. commentar. metr. AV 183 adn. 240. 244 ‖ 17 *ὅταν* — 18 *ἀρχομένην* = Dion. Thr. 20, 4—5

1 *μακρὰ* delevi ‖ 1—2 pro *γίνεται — γίνεται* in *C* non nisi haec *καὶ τεκμαρτὸν τοῦ κ̅ καὶ μ* ‖ 3 continuatur in *I* scholio p. 104, 22 ‖ 6 *τὸν A* ‖ 10 post *ἀναγκαῖον* add. *DI ἐστι* ‖ pro 11 *πολλοὶ* — 20 *ἐπιφερόμενον* in *C* haec *ἥτις ἐστὶ καὶ συνίζησις· ἦν γὰρ ἐπὶ τὸ ὑμῖν μὲν θεοὶ δοῖεν, ἣν μὴ συνεκφώνησις* (*συνεκφωνήσῃς PQ*) *τὸ ε̄· καὶ γένηται σπονδεῖος* ‖ 13 *ἀπολαμβάνουσι DI, ἀναλαμβάνει A* ‖ 15 *I* add. *οὐλύμπια δώματ' ἔχοντες* ‖ 16 *εἰ*] *εἰ μὴ D* ‖ 17 *φασὶ μὲν I* | *κόσμον*] fort. *τρόπον* vel *τόπον* | *ὅταν A, εἰ DI* ‖ 18 *λήγῃ A, λήγει DI* | *ἔχει ADI* ‖ 19 *κατὰ* om. *A*, est in *K* | pro *δὲ — πόδα* in *D* non nisi *μὲν* | *τῆς ο̅ι̅ συλλαβῆς I* ‖ 20 *τὸ δο̅ι̅ K, τὸν δὲ A*

χον. εἰ μὴ τῷ τῆς συνεκφωνήσεως θεραπευθείη λόγῳ· συνεκφώνησον γὰρ τὸ ε̄ καὶ γίνεται σπονδεῖος [ὑμῖν] μὲν θοι. — αὕτη ἡ συνεκφώνησις καλεῖται καὶ συνίζησις· τούτων δὲ τετύχηκε τῶν ὀνομάτων, ὅτι ἡ φωνὴ ὑποθλίβουσα καὶ ὑποκλέπτουσά τι τῶν φωνηέντων τὰς κακομετρίας ἀφαιρεῖ τῶν στίχων· ὅταν γὰρ φωνηέντων γένηται ἀλλεπάλληλος φορά, συνεκφώνησις γινομένη καὶ ἐφιζάνειν ἀλλήλοις ποιοῦσα τὰ φωνήεντα τὰς δύο συλλαβὰς εἰς μίαν συναιρεῖ. οἷον ἐπὶ τοῦ προκειμένου παραδείγματος τὸ θεοὶ δισύλλαβον· ὑποκλέψασα ⟨δὲ⟩ διὰ τὴν χρείαν ἡ συνεκφώνησις τὸ μὲν ε̄ συνεξέθλιψε, τὸ δὲ οι̅ προενεγκοῦσα μονοσύλλαβον ἀντὶ δισυλλάβου πεποίηκε τοὔνομα καὶ γέγονε θοι: — A(C)DI

8, 12 ⟨συνεκφώνησις⟩: ἡ αὐτὴ καὶ συνίζησις: — $A^{I}$ 12

8, 12 καὶ τὸν λόγον τοῦτον προσλαμβάνει ὡς συμβαλλόμενον αὐτῷ εἰς τὸν περὶ τῶν ποδῶν λόγον· ἰστέον δὲ ὅτι πάνυ πολλὴ βοήθεια ἐπενοήθη τοῖς μέτροις παρὰ τῶν παλαιῶν: — AI

8, 12 διαφέρει συνεκφώνησις συναλοιφῆς τούτοις. 11

1 cf. schol. in Dion. Thr. 53, 8. 209, 16 ‖ 3 Eustath. ad *A* 1 p. 10, 44 sqq.; schol. in Dion. Thr. 210, 8; cf. K. E. A. Schmidt: Beiträge zur Gesch. d. Gramm. p. 94 ‖ 7 schol. in Dion. Thr. 210, 9 sqq. ‖ 20 sqq. Choer. schol. in Theod. GG IV 2 p. 323, 31 sqq. (cf. IV 1 p. XCVIII 18). — schol. in Dion. Thr. 146, 29 sqq. 210, 10 sqq. 352, 11—14. exc. ex cod. Bar. Cramer AO IV 200,

1 pro *εἰ* — 4 *ὀνομάτων* in *C* non nisi haec *συνέθλιψε δὲ τὸ ε̄·* ‖ 2 *συνεκφώνησον K*, *συνεκφώνησις A*, *συνεκφωνῶ DI* | *θεοι DI* ‖ 3 *καλεῖται A*, *λέγεται DI* ‖ 5 *ὑπερθλίβουσα AC* | *τι* om. *D* ‖ 6 *ἀφαιρεῖται C* | *φωνήεντος D* ‖ 7 *γενομένη C* ‖ 9 *συναιρεῖ*] rell. om. *C* ‖ 10 *παραδείγματος*] rell. om. *D* ‖ 11 *δὲ* addidi ‖ 12 *προσενεγκοῦσα I* ‖ 13 add. *I τρόπον τινά* ‖ 16—19 in *I* est post schol. 16, 17 ‖ 16 *ἰστέον οὖν ὡς ὁ Ἡφαιστίων προσλαμβάνει καὶ τὸν λόγον τὸν περὶ συνεκφωνήσεως ὡς I* | *προλαμβάνει* et *συμβαλλόμενος* Den. ‖ 18 *τῷ μέτρῳ A* ‖ 19 *τοῖς παλαιοῖς A*

*ἑνὶ μέν, ὅτι ἡ συναλοιφὴ κατὰ τρόπους ἑπτὰ γίνεται·*
*ἁπλοῦς μὲν τρεῖς*
*ἔκθλιψιν οἷον κατὰ ἐμοῦ κατ' ἐμοῦ,*
*κρᾶσιν οἷον τὰ ἐμὰ τἀμά,*
*συναίρεσιν οἷον Νηρήϊδος Νηρῇδος·*
*συνθέτους δὲ τέσσαρας*
*ἔκθλιψιν κρᾶσιν οἷον καὶ ἐγὼ κἀγώ,*
*ἔκθλιψιν συναίρεσιν ὡς τὸ οἱ αἰπόλοι ᾡπόλοι* (Theokr. I 80),
*κρᾶσιν συναίρεσιν ὡς τὸ ἐμοὶ ὑποδύνει ἐμοὐποδύνει,*
*ἔκθλιψιν κρᾶσιν συναίρεσιν ὡς παρ' Εὐπόλιδι ἐν Χρυσῷ Γένει* (fr. 285)
*καὶ σκεῦος οὐδὲν εὗρον ἐν τῳκήματι.*

*ἡ μὲν οὖν συναλοιφὴ κατὰ τούτους τοὺς τρόπους, ἡ δὲ συνίζησις οὔ. καὶ μία μὲν διαφορὰ αὕτη. κλοπὴ δέ ἐστι χρόνων αὕτη, γραμμάτων κλοπῆς οὔσης τῆς συναλοιφῆς· ὅτι ἡ μὲν συναλοιφὴ ὡς γράφεται καὶ βαίνεται, οἷον*
*ὣς ἔφαθ', οἱ δ' ἄρα·*
*οὐ γὰρ ὁλοκλήρως βαίνομεν οἷον ὣς ἔφατο, ἀλλ' ὡς γράφεται ἔφαθ'. ἡ δὲ συνεκφώνησις ὁλοκλήρως μὲν γράφεται, βαίνεται δὲ ἐλλιπῶς, οἷον*

25 sqq. Mar. Vict. VI 66, 5 sqq. Mar. Plot. VI 453, 4. Diom. I 442, 15. 25. — *συναλοιφαί* Quint. 9, 4, 36 ‖ 18 Choer. 54, 24—55, 3. schol.[B] (lib. V) 22, 13. append. ad Hel. Mon. AV 180 § 3. schol. in Dion. Thr. 210, 10

2—15 *ἁπλοῦς — τρόπους* om. *D* ‖ 3 *ἔκθλιψις* *I* et sic semper ‖ 5 *Νηρηΐδες Νηρῇδες* *I* ‖ 7 *οἷον ἔκθλιψις καὶ κρᾶσις ὡς τὸ ἐγὼ καγώ* *I* ‖ 8 et 10 pro *ὡς τὸ* in *I* *οἷον* ‖ 11 *ἐμ.* frg. com. suspic. Wilam. ‖ 12 *καὶ συναίρεσις* *I* ‖ 16 pro *καὶ* — 18 *συναλοιφῆς* in *D* non nisi *δεύτερον δὲ* ‖ 17 *δὲ* scripsi, *γὰρ* codd. ‖ 18 *ὅτι* *AD*, *ἔτι* *I* (*ὅτι* = *ἰστέον ὅτι* Den.) ‖ 19 *φαίνεται* *I* ‖ 20 *ὣς* om. *D* ‖ 21—22 *οὐ — ἔφαθ* om. *D*

*χρυσέῳ ἀνὰ σκήπτρῳ,*
*χρυσᾷ ἀνὰ σκήπτρῳ.*

*κοινὸν δὲ ἑκατέρᾳ τὸ παρατηρεῖν, μὴ σύμφωνον ἢ μεταξύ:* — *A(D)I*

† *διαφέρει κρᾶσις συναιρέσεως ὅτι ἡ μὲν συναίρεσις ἐλαττοῖ τὰ φωνήεντα, ἡ δὲ κρᾶσις ἑνοῖ:* — *I*

9, 3 *τὸ παρ' Ὁμήρῳ οὕτως ἀναγνωστέον ἐν ⟨συν⟩εκφωνήσει οἷον ν̅α̅ μέν μοι κατέαξε* (ι 283): — *AD*

9, 6 *ἔστι γὰρ ἰωνικὸν ἀπὸ μείζονος· καὶ γὰρ ἡ δευτέρα συζυγία ⟨ἰωνικὴ⟩ ην Πηλιάδα τῶν α̅ δ̅α̅ συλλαβῶν τῶν δύο βραχειῶν ἀντὶ μιᾶς βραχείας παραλαμβανομένων, ἵν' ᾖ σ ε ί ω ν μ ε λ ί η ν Π η λ[ε]ί δ α:* — *ACDI*

9, 7 *Ἰλιάδα ἔγραψε Σωτάδης μεταθεὶς τὰ τοῦ ποιητοῦ εἰς ⟨τὸ⟩ ἴδιον μέτρον:* — *ACDI*

9, 11 *τὸ Ἀλκιβιάδης διὰ τὸ εἶναι ἑξῆς δύο βραχείας:* — *AC*[g]

9, 11 *τῷ ἔπει ὑπέταξεν ἴαμβον διὰ τὸ μὴ δύνασθαι τὰς δύο βραχείας ἀντὶ μιᾶς ἐκφωνηθῆναι ἐν ἔπει:* — *A*

9, 17 *η δ ι α ν ε: τῆς δια ἀντὶ μιᾶς βραχείας παρα-* 12
*λαμβανομένης· ὁ πούς ἐστι τετρασύλλαβος:* — *ACDI* [2

10 Choer. 56, 5; recta sunt apud Eustath. ad *A* 1 p. 10, 40 sqq.

1 *καὶ ἐλίσσετο πάντας ἀχαιοὺς I* | *σκήπτρῳ*] rell. om. *D* ‖ 2 om. *I* ‖ 3 *ἑκατέρου I* ‖ 5—6 in *I* legitur post 106, 19, sed pertinet ad schol. 107, 4. 5 ‖ 8 *νέα* codd. ‖ 9 *γὰρ* (pr.)] *οὖν τὸ παράδειγμα DI* ‖ 10 *ἰωνικὴ* add. Pauw | *Πηλιάδα ἦν D* | *τῶν α̅δ̅α̅ συλλαβῶν PQ* (om. *τῶν δ. βρ.*); *τῆς α̅δ̅α̅ συλλαβῆς AC*, *τῆς α̅ καὶ δ̅α̅ συλλαβῆς* Choer., *τῶν α̅δ̅α̅ συλλαβῶν* om. *DI* (perversam doctrinam corrigere non licet) ‖ 11 *μιᾶς*] rell. om. *D* | *μιᾶς λαμβανομένων I* ‖ 12 *ἵν — Πηλειδα* om. *C* ‖ 14 *θεὶς AC* ‖ 15 *τὸ* ins. Wilam. ‖ 16 hoc schol. bis est in *A* ‖ 20—21 in *DI* non nisi haec *ὁ πρῶτος ποὺς τετρασύλλαβος* (*πούς ἐστι τὸ τρισύλλαβος I*) *τῆς δια ἀ. μ. β. π.* ‖ 21 *τρισύλλαβος DI*

*ἐνὶ μέν, ὅτι ἡ συναλοιφὴ κατὰ τρόπους ἑπτὰ γίνεται· ἁπλοῦς μὲν τρεῖς*

*ἔκθλιψιν οἷον κατὰ ἐμοῦ κατ' ἐμοῦ,*
*κρᾶσιν οἷον τὰ ἐμὰ τἀμά,*
*συναίρεσιν οἷον Νηρήϊδος Νηρῇδος·*

*συνθέτους δὲ τέσσαρας*

*ἔκθλιψιν κρᾶσιν οἷον καὶ ἐγὼ κἀγώ,*
*ἔκθλιψιν συναίρεσιν ὡς τὸ οἱ αἰπόλοι ᾡπόλοι* (Theokr. I 80),
*κρᾶσιν συναίρεσιν ὡς τὸ ἐμοὶ ὑποδύνει ἐμοὐποδύνει,*

*ἔκθλιψιν κρᾶσιν συναίρεσιν ὡς παρ' Εὐπόλιδι ἐν Χρυσῷ Γένει* (fr. 285)

*καὶ σκεῦος οὐδὲν εὗρον ἐν τῴκήματι.*

*ἡ μὲν οὖν συναλοιφὴ κατὰ τούτους τοὺς τρόπους, ἡ δὲ συνίζησις οὔ. καὶ μία μὲν διαφορὰ αὕτη. κλοπὴ δέ ἐστι χρόνων αὕτη, γραμμάτων κλοπῆς οὔσης τῆς συναλοιφῆς· ὅτι ἡ μὲν συναλοιφὴ ὡς γράφεται καὶ βαίνεται, οἷον*

*ὣς ἔφαθ', οἱ δ' ἄρα·*

*οὐ γὰρ ὁλοκλήρως βαίνομεν οἷον ὣς ἔφατο, ἀλλ' ὡς γράφεται ἔφαθ'. ἡ δὲ συνεκφώνησις ὁλοκλήρως μὲν γράφεται, βαίνεται δὲ ἐλλιπῶς, οἷον*

25 sqq. Mar. Vict. VI 66, 5 sqq. Mar. Plot. VI 453, 4. Diom. I 442, 15. 25. — *συναλοιφαί* Quint. 9, 4, 36 ‖ 18 Choer. 54, 24—55, 3. schol.[B] (lib. V) 22, 13. append. ad Hel. Mon. AV 180 § 3. schol. in Dion. Thr. 210, 10

2—15 *ἁπλοῦς — τρόπους* om. *D* ‖ 3 *ἔκθλιψις* *I* et sic semper ‖ 5 *Νηρηΐδες Νηρῇδες* *I* ‖ 7 *οἷον ἔκθλιψις καὶ κρᾶσις ὡς τὸ ἐγὼ καγώ* *I* ‖ 8 et 10 pro *ὡς τὸ* in *I* *οἷον* ‖ 11 *ἐμ.* frg. com. suspic. Wilam. ‖ 12 *καὶ συναίρεσις* *I* ‖ 16 pro *καὶ* — 18 *συναλοιφῆς* in *D* non nisi *δεύτερον δὲ* ‖ 17 *δὲ* scripsi, *γὰρ* codd. ‖ 18 *ὅτι* *AD*, *ἔτι* *I* (*ὅτι* = *ἰστέον ὅτι* Den.) ‖ 19 *φαίνεται* I ‖ 20 *ὣς* om. *D* ‖ 21—22 *οὐ — ἔφαθ* om. D

*χρυσέῳ ἀνὰ σκήπτρῳ,*
*χρυσῷ ἀνὰ σκήπτρῳ.*

*κοινὸν δὲ ἑκατέρᾳ τὸ παρατηρεῖν, μὴ σύμφωνον ἢ μεταξύ:* — *A(D)I*

† *διαφέρει κρᾶσις συναιρέσεως ὅτι ἡ μὲν συναίρεσις ἐλαττοῖ τὰ φωνήεντα, ἡ δὲ κρᾶσις ἑνοῖ:* — *I*

9, 3 *τὸ παρ' Ὁμήρῳ οὕτως ἀναγνωστέον ἐν ⟨συν⟩εκφωνήσει οἷον* $\overline{\textit{να}}$ *μέν μοι κατέαξε* (ι 283): — *AD*

9, 6 *ἔστι γὰρ ἰωνικὸν ἀπὸ μείζονος· καὶ γὰρ ἡ δευτέρα συζυγία ⟨ἰωνική⟩ ην Πηλιάδα τῶν* $\overline{\alpha}$ $\overline{\delta\alpha}$ *συλλαβῶν τῶν δύο βραχειῶν ἀντὶ μιᾶς βραχείας παραλαμβανομένων, ἵν' ᾖ σείων μελίην Πηλ[ε]ίδα:* — *ACDI*

9, 7 *Ἰλιάδα ἔγραψε Σωτάδης μεταθεὶς τὰ τοῦ ποιητοῦ εἰς ⟨τὸ⟩ ἴδιον μέτρον:* — *ACDI*

9, 11 *τὸ Ἀλκιβιάδης διὰ τὸ εἶναι ἑξῆς δύο βραχείας:* — *AC*[g]

9, 11 *τῷ ἔπει ὑπέταξεν ἴαμβον διὰ τὸ μὴ δύνασθαι τὰς δύο βραχείας ἀντὶ μιᾶς ἐκφωνηθῆναι ἐν ἔπει:* — *A*

9, 17 *η διανε: τῆς δια ἀντὶ μιᾶς βραχείας παρα-* 121
*λαμβανομένης· ὁ πούς ἐστι τετρασύλλαβος:* — *ACDI* [21]

10 Choer. 56, 5; recta sunt apud Eustath. ad *A* 1 p. 10, 40 sqq.

1 *καὶ ἐλίσσετο πάντας ἀχαιοὺς I* | *σκήπτρῳ*] rell. om. *D* ‖ 2 om. *I* ‖ 3 *ἑκατέρου I* ‖ 5—6 in *I* legitur post 106, 19, sed pertinet ad schol. 107, 4. 5 ‖ 8 *νέα* codd. ‖ 9 *γὰρ* (pr.)] *οὖν τὸ παράδειγμα DI* ‖ 10 *ἰωνική* add. Pauw | *Πηλιάδα ἣν D* | *τῶν* $\overline{\textit{αδα}}$ *συλλαβῶν PQ* (om. *τῶν δ. βρ.*); *τῆς αδα συλλαβῆς AC*, *τῆς* $\overline{\alpha}$ *καὶ* $\overline{\delta\alpha}$ *συλλαβῆς* Choer., *τῶν* $\overline{\textit{αδα}}$ *συλλαβῶν* om. *DI* (perversam doctrinam corrigere non licet) ‖ 11 *μιᾶς*] rell. om. *D* | *μιᾶς λαμβανομένων I* ‖ 12 *ἵν — Πηλειδα* om. *C* ‖ 14 *θεὶς AC* ‖ 15 *τὸ* ins. Wilam. ‖ 16 hoc schol. bis est in *A* ‖ 20—21 in *DI* non nisi haec *ὁ πρῶτος ποὺς τετρασύλλαβος* (*πούς ἐστι τὸ τρισύλλαβος I*) *τῆς δια ἀ. μ. β. π.* ‖ 21 *τρισύλλαβος DI*

11, 21 *ἐὰν ἡ τελευταία συλλαβὴ τοῦ ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος βραχεῖα γένηται, εὑρίσκεται παίων τρίτος· ἐὰν δὲ ὁ ἀπὸ μείζονος τὴν πρώτην βραχεῖαν ἔχῃ, εὑρίσκεται ὁ δεύτερος παίων:* — *ADI*

26 11, 26 *ἀπὸ τῶν ἓξ ποδῶν τῶν ἑξαχρόνων τέσσαρα μέτρα γίνονται, τά τε ἰωνικὰ καὶ τὸ χοριαμβικὸν καὶ τὸ ἀντισπαστικόν· ἅπερ καλεῖται ἐπιπλοκὴ τετραδικὴ ἑξάσημος. ἓν γὰρ μέτρον τὸ ἰωνικὸν ἀπὸ μείζονος. τῆς κατ' ἀρχὴν συλλαβῆς λαμβανομένης γίνεται τὸ λοιπὸν χοριαμβικόν, καὶ τῆς δευτέρας λαμβανομένης γίνεται ἀπ' ἐλάσσονος ἰωνικόν, καὶ τῆς τρίτης λαμβανομένης τὸ ἀντισπαστικὸν γίνεται. καὶ οὗτοι μὲν οὕτως. ὁ δὲ ἴαμβος γινόμενος μετὰ τῶν χοριαμβικῶν καὶ ἀντισπαστικῶν τὸ ἐπίμικτον ποιεῖ, ὁ δὲ τροχαῖος μετὰ τῶν ἰωνικῶν ποιεῖ τὸ ἐπίμικτον μέτρον:* — *ACDI*

11, 27 *τὸ ἀνακλώμενον μέτρον τοιοῦτόν ἐστιν, ὡς ἰωνικὸν εἶναι τὸ ἀπ' ἐλάσσονος τόδε. ααββααββ. ἡ τελευταία τοῦ πρώτου ποδὸς ἀνακλᾶται ἐπὶ τὴν τοῦ δευτέρου ἄρχουσαν βραχεῖαν, ὡς εἶναι τὸ πρῶτον ἀντὶ ἰωνικοῦ παίωνα τρίτον, τὸ δὲ δεύτερον ἐπίτριτον δεύτερον:* — *ACDI*

12, 10 *ἡ γὰρ μακρὰ εἰς δύο βραχείας ἀναλυομένη τὸν χορεῖον ποιεῖ καὶ οὗτος τὸν χορίαμβον:* — *A*

12, 10 *φασὶ γὰρ τὸν τροχαῖον καὶ χορεῖον:* — *A*[i]

22 cf. schol.[A] p. 137, 1—3 et adn.

1 *τοῦ ἀπ'*] *ἀπ' D* ‖ 3 *ὁ* om. *D* ‖ 4 *ὁ δ. π. εὑρ. DI* ‖ 5 *τῶν* (post. loco) om. *A* ‖ 6 post *ἰωνικὰ* add. *C δύο* ‖ 7 *ὅπερ C* ‖ 8 *τὸ μέτρον C* ‖ 9 *κατ' ἀρχὴν συλλαβῆς DI*, *κατ' ἀρχῆς AC* ‖ 12 post *γίνεται C* add. *εἶτα ἰωνικὸν ἀπὸ μείζονος* ‖ 17 *ααββααββ* scripsi, *δαββαββ A*, *δαμβαβ I* | pro *τόδε* — *ἡ* in *D λέγεται δὲ οὕτως ὅτι* | pro *τόδε* — *ἀνακλᾶται* in *C ἀνακλᾶται δὲ ἡ τελευταίου τοῦ πρώτου* ‖ 19 *βραχεῖαν* om. *D* ‖ 23 *οὗτος* scripsi, *οὐ A* ‖ 24 cf. adn. ad 110, 10

12, 12 ἐπίτριτος λέγεται ὁ ἔχων τινὰ ἀριθμὸν καὶ τούτου τὸ τρίτον, οἷον ὁ τέσσαρα πρὸς τὸν τρία· ἔνθεν πόδες ἐπίτριτοι: — *ACI*

† ἐπίτριτος δὲ λέγεται ὡς ἀριθμοῦ τινα ἔχων ἀναλογίαν· τετρασύλλαβος γὰρ ὢν ἀπὸ βραχείας καὶ τριῶν μακρῶν διαιρεῖται εἰς τέσσαρα καὶ τρία. ἔχουσι γοῦν χρόνους αἱ δύο μακραὶ τέσσαρας, ἡ μακρὰ δὲ καὶ ἡ βραχεῖα χρόνους τρεῖς, καὶ ἐντεῦθεν συνάγεται ὁ ἐπίτριτος: — *D*

12, 14 ⟨ἑπτάσημος⟩: τουτέστιν ἑπτάχρονος: — $A^{i}$

12, 23 ⟨ταυτοποδία⟩: σπονδειακὴ γὰρ οὐκ ἔστι συζυγία: — $AC^{g}$

12, 20 τὸ γὰρ ἀντισπαστικὸν ἐνιάκις μακρὰν ἔχει τὴν ἄρχουσαν: — $AC^{g}DI$

## Cap. IV.

ἰστέον ὡς, ἐὰν τὰ δακτυλικὰ καὶ ἀναπαιστικὰ βαίνηται κατὰ συζυγίαν, ἔχουσιν ἀποθέσεις ἕξ. 14 [2

ἀκατάληκτον ⟦ἤγουν μὴ ἔχον τὸ τυχὸν ἔλλειμμα⟧ ὡς τὸ

μῶσάγε Καλλιόπα θύγατερ Διός.

καταληκτικὸν εἰς δισύλλαβον ⟦ἤγουν ἐνδέον τοῦ τελείου μιᾷ συλλαβῇ ὡς ἐπὶ τοῦ αὐτοῦ παραδείγματος⟧ ὡς τὸ

μῶσάγε Καλλιόπα θύγατερ Δι.

καταληκτικὸν εἰς συλλαβὴν ⟦ἤγουν ἐνδέον δύο συλλαβαῖς⟧ ὡς τὸ

μῶσάγε Καλλιόπα θύγατερ.

1 ἰστέον δὲ ὅτι ἐπίτριτος ἀριθμὸς λέγεται ὁ ἀριθμόν τινα ἔχων ἐν ἑαυτῷ καὶ τὸ τρίτον τούτου οἷον *I* ‖ 2 ὅθεν καὶ ἐπίτριτοι πόδες *I* ‖ 10 in codd. refertur ad 12, 17 ἰαμβικὴ ἑπτάσημος ‖ 15 quae his uncis ⟦ ⟧ clausa sunt, add. *I* | καὶ] ἢ *I*

ὑπερκατάληκτον εἰς δισύλλαβον [[ἤγουν πρὸς τῷ τελείῳ καὶ μέρος δισύλλαβον]] ὡς τὸ

μῶσάγε Καλλιόπα θύ.

ὑπερκατάληκτον εἰς συλλαβὴν [[ἤγουν πρὸς τῷ τελείῳ καὶ μέρος ἔλαβε ποδὸς μονοσύλλαβον]] ὡς τὸ

μῶσάγε Καλλιόπα.

βραχυκατάληκτον [[δὲ]] ὡς τὸ

μῶσάγε Καλλιόπα θύγα.

[[ταῦτα μὲν οὕτως ἐν τῷ δακτυλικῷ τε καὶ ἀναπαιστικῷ μέτρῳ εὑρίσκεται.]] ἐν δὲ τοῖς ἄλλοις μέτροις αὐτάρκεις αἱ τέσσαρες πλὴν τῆς καταληκτικῆς εἰς δισύλλαβον καὶ ὑπερκαταλήκτου εἰς δισύλλαβον. δισυλλάβων γὰρ ὄντων τῶν ποδῶν τὸ μὲν καταληκτικὸν εἰς δισύλλαβον ἀκατάληκτόν ἐστι, τὸ δὲ ὑπερκατάληκτον εἰς δισύλλαβον βραχυκατάληκτον: — *AI*

τὸ αὐτό ἐστιν ἀπόθεσις καὶ κατάληξις· ⟨κατάληξις⟩ καὶ γενικόν ἐστιν ἀντὶ τοῦ ἀπόθεσις καὶ ἰδικὸν ἀντὶ τοῦ ἐλάττωσις· ἀπὸ τούτου οὖν τοῦ ἰδικοῦ ὠνόμασται τὸ ἀκατάληκτον καὶ καταληκτικόν· τὸ γὰρ ὑπερκατάληκτον δύναται ἀπὸ τοῦ γενικοῦ: — *ACI*

13, 8 (?) λείπει γὰρ κῶλον: — *A*'

13, 10 ἐὰν ᾖ δισύλλαβος ὁ ποὺς καὶ ἐνδέῃ μιᾷ συλλαβῇ, λέγεται εἶναι καταληκτικὸν εἰς συλλαβήν· εἰ δὲ τρισύλλαβος ὑπάρχει ὁ ποὺς καὶ ἐνδεῖ μιᾷ συλλαβῇ, λέγεται εἶναι καταληκτικὸν εἰς δύο συλλαβάς: — *ACI*

16—20 Choer. 63, 8—12 false interpretatus est ‖ 22 Choer. 63, 22

5 ποδὸς delendum videtur ‖ 7—8 haec verba post 112, 26 coll. Westph. ‖ 15 totum schol. praeterea est in *PQ*, non in *C* ‖ 16 κατάληξις addidi ‖ 21 in *A* non nisi pauca vestigia dispiciuntur, sed scholion est in *PQ* ‖ 22 ᾖ *I*, ἔστι *A*, om. *C* | post ποὺς add. *I* ὅπερ καὶ ἄνωθεν ἔφημεν | ἐνδέει *C*, ἐνδεῖ *AI* ‖ 23 καταληκτικὸς *I*, idem 25

13, 10 *ἐπὶ γὰρ ἰαμβικοῦ οὐ δύναται εἶναι παρὰ δύο συλλαβάς, ἐπεὶ ὅλος ὁ ποὺς ἐκλιμπάνει:* — *A*

13, 13 *λέγεται οὖν καταληκτικὸν εἰς συλλαβήν· λείπουσι γὰρ αἱ δύο βραχεῖαι συλλαβαὶ τοῦ δακτύλου:* — *A*

14, 1 *εἰς τὸ* $\overline{οι}$ *ἡ ⟨πρώτη⟩ διποδία τελειοῦται καὶ εἰς τὸ* $\overline{η}$ *ἡ ἑτέρα:* — *AD*

14, 6 *ἀντὶ τοῦ· εἶμι ὥστε ἀπὸ πασσάλου λυθεῖσα·* 143 *τοῦτο δὲ ἴσον τῷ· πορεύομαι ὥσπερ ἀπὸ πασσάλου λυθεῖσα:* — *A(D)*

14, 11 *δύο ἔχει ἀναπαίστους ἅδ' Ἄρτεμις ὦ καὶ ἔστι τὸ τελευταῖον δισύλλαβον τὸ κόραι:* — *AD*

14, 15 *ἄλλο κεφάλαιον:* — *A*

15, 3 *εἰς τὸ Ἀριστο ἐστὶ τὸ πέρας ὅπερ ἐστὶν ἀτελές:* — *AD*

15, 3 *ἦ μέγ' Ἀθηναίοισι φόως γένετ' ἡνίκ' Ἀριστο—*
*γείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος.* —
*οὐκ ἐᾷ με λέγειν ὁ Ζεὺς ὅτι πάντες ἐκάθευδον:* — *A*

15, 7 *εἰς τὸ Ἀπολλό ἐστὶ τὸ τέλος καὶ ἔστιν ἀτελές:* — *A*[i]

15, 10 *⟨οὐ γὰρ ἐνεχώρει⟩: θεῖναι τὸ ὄνομα ἐν ἑνὶ στίχῳ:* — *D*

15, 12 *τοὺς στρατηγοὺς διασύρει ὡς πολλὰ βουλευομένους.* — *τοῦτο καὶ χωλὸν γίνεται τῆς τελευταίας συλλαβῆς μὴ ληγούσης· τότε γὰρ ἀδιάφορόν ἐστιν, ὅτε λήγει:* — *A*[i]*CD*

3 Choer. 64, 7 ‖ 7 Choer. 66, 9

1 *περὶ A* ‖ 3 *συλλαβὴν* scripsi (cf. Choer.), *δισύλλαβον A* ‖ 5 in. *πρῶτον* add. *D* | *πρώτη* addidi ‖ 7—9 in *D* non nisi haec insunt *ἤτοι εἶμ' ὥσπερ ἀπὸ πάσσαλον λυθεῖσα* ‖ 7 *λυθεῖσα*] *λύουσα A* ‖ 10—11 scholion in *D* hoc est *τοῦτο ἔχει ἀναπαίστους δύο καὶ ἔστι τὸ κόρα δισύλλαβον* ‖ 13 pro *εἰς — ἐστι* in *D* est *ἐν τῷ* $\overline{στο}$ ‖ 17 quid sit, unde sumptum sit, nescio ‖ 18 *Ἀπολλό*] $\overline{α}$ *A* ‖ 21 *βουλομένους C*, *συλευομένους D* ‖ 23—24 verba *τοῦτο — ληγούσης* in solo *D* hic leguntur, in *A* post 116, 17; in *C* omnia post *βουλευομένους* desunt. verba *τότε — λήγει* in solo *A* insunt post 116, 17 ‖ 22 *γίνεται A*, *ἔστιν D*

## Cap. V.

, 5 ἐπειδὴ πᾶσα μέτρων ἀρχὴ ἀδιάφορος, καὶ ὁ ἴαμβος
4] ἐδέξατο ἐν ἀρχῇ τὸν σπονδεῖον· τούτου δὲ κοινωνήσαντος τῷ μέτρῳ καὶ οἱ ἀπ' αὐτοῦ λυθέντες ἐκοινώνησαν, δάκτυλός φημι καὶ ἀνάπαιστος· ὁ γὰρ χορεῖος τοῦ ἰάμβου ἐστὶ λύσις. — εἰ τοίνυν τὸν σπονδεῖον ἐν ταῖς ἀρτίαις οὐ δέχεται, οὐδὲ τὸν ἀπ' αὐτοῦ λυθέντα ἀνάπαιστον ὀφείλει δέχεσθαι. παρὰ μὲν οὖν ἰαμβοποιοῖς ⟨καὶ τραγικοῖς⟩ τοῦτο σώζεται, παρὰ δὲ κωμικοῖς, οὐ λίαν ἀντιποιουμένοις εὐμετρίας, οὐκέτι. (τὸν δὲ τροχαῖον, ὃς ἀντιπαθεῖ τῷ ἰαμβικῷ, παρῃτήσατο.) εὑρίσκεται δὲ παρὰ τοῖς κωμικοῖς συνεχῶς ὁ ἀνάπαιστος· τὸν γὰρ βίον οὗτοι μιμούμενοι θέλουσι δοκεῖν διαλελυμένως διαλέγεσθαι καὶ μὴ ἐμμέτρως, ὁ δὲ ἀνάπαιστος διαλελυμένην ποιεῖ τὴν φράσιν διὰ τὸ † τρίσημον· ἰαμβοποιοὶ μέντοι καὶ τραγῳδοποιοὶ ὡς μὴ ὄντες τοιοῦτοι οὐ συνεχῶς κέχρηνται: — *ACDI*
15 ἀπὸ ἰάμβου πρῶτον ὁ Ἡφαιστίων ἤρξατο, καίτοι
0] πολλῶν μετρικῶν τὰ πρῶτα τῷ δακτύλῳ παρεσχηκότων καὶ τιμησάντων τὸ πρῶτον εὑρεθὲν τῆς τέχνης προεδρείᾳ. ἐνταῦθα οὖν ὁ Ἡφαιστίων περὶ ἰαμβικοῦ πρῶ-

18 Mar. Vict. GL VI 69, 12 sqq. Serv. IV 457, 20 sqq.

2 ἐπειδὴ δὲ *I* | μέτρον *C* ‖ 3 δ' ἐκοινώνησαν πάντα τὰ μέτρα *C* ‖ 4 post ἐκοινώνησαν add. *I* καὶ οὗτοι τῷ ἰαμβικῷ μέτρῳ ‖ 5 δάκτυλον et ἀνάπαιστον *D* ‖ 7 ἐν — ἀρτίαις om. *D* ‖ 9 καὶ τραγικοῖς add. Gaisf. (cf. schol. p. 124, 12 sqq.), καὶ τραγῳδοποιοῖς Westph. | δὲ τοῖς *I* ‖ 10 εὐμετρίας scripsi, συμμετρίας codd. ‖ 11 παρῃτήσαντο Turn. ‖ 14 καὶ — 17 κέχρηνται om. *C* ‖ 16 τρίσημον ex χρήσιμον corr. *D*, τετράσημον Flor. | ὡς om. *D* ‖ 18—116, 1 pro ἀπὸ — τιμιώτερον *C* habet οὐχ ὅτι τῶν ἄλλων προτιμότερον τὸ ἰαμβικόν, ἀπὸ τούτου ὁ Ἡφαιστίων ἤρξατο· πρῶτον γὰρ καὶ τιμιώτερον τὸ δακτυλικόν ‖ 18 ἰάμβου δὲ *DI* ‖ 21—116, 1 ἐνταῦθα — λόγον om. *D*

*ἑξασύλλαβος, ἐκ δακτύλου καὶ χορείου ἑπτάχρονος, ἢ ἐκ δύο χορείων ἑξάχρονος· τὸν δὲ τελευταῖον πόδα λαμβάνει ἢ πυρρίχιον ἢ ἴαμβον, ὅταν ὁλόκληρον ᾖ, δηλαδὴ τὸ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον:* — *ACD*

† *ἰστέον ὅτι καταπλεὶς λέγεται, ὅτε ἀπήρτισται ἐκ τοῦ* [31 *ἀτελοῦς εἰς πόδα τέλειον ἢ τέως ἀτελὴς παραλήγουσα καὶ ἐποίησε τὸ μέτρον ἀπὸ καταληκτικοῦ, ἤγουν ἀτελοῦς, ἀκατάληκτον, ἤγουν τέλειον. γίνεται δὲ κατακλεὶς, ὅτε παραλήγει ὁ ἴαμβος ἐν τοῖς καταληκτικοῖς, ἤγουν ἀτελέσι, μέτροις — ἐπισφράγισις γάρ ἐστι μέτρου — ἢ εἰς ἀμφίβραχυν ἢ εἰς βακχεῖον. γίνεται δὲ οὕτως ἡ τελευταία καὶ περιττεύουσα συλλαβὴ βραχεῖα ἢ μακρά· εἰ μὲν βραχεῖα, συμπλακεῖσα τῷ ἰάμβῳ ἀμφίβραχυν ποιεῖ, εἰ δὲ μακρά, βακχεῖον:* — *D*

† *περὶ διμέτρων: ἰστέον ὅτι δίμετρα λέγεται ἐν μὲν τοῖς ἁπλοῖς ποσὶν οἱ δισύλλαβοι, οἷον ἴαμβος καὶ πυρρίχιος, τροχαῖος καὶ σπονδεῖος· δίμετροι δὲ λέγονται ὡς ἀπὸ δύο συλλαβῶν συνιστάμενοι ἢ ἀπὸ δύο χρόνων ὡς ὁ πυρρίχιος. λέγεται δὲ δίμετρα καὶ τὰ κατὰ διποδίαν μετρούμενα ἢ κατὰ συζυγίαν τεττάρων ποδῶν, οἷόν εἰσιν τὰ Ἀνακρεόντεια:* — *D*

16, 10 *ἰαμβικὸν δίμετρον ἀκατάληκτον ποδῶν ἁπλῶν* 14( *τεττάρων.* —

16, 13 *ἰαμβικὸν τρίμετρον ἀκατάληκτον ποδῶν ἁπλῶν ἕξ.* —

16, 15 *ἰαμβικὸν τετράμετρον ἀκατάληκτον ποδῶν ἁπλῶν ὀκτώ.* —

16, 18 *ἰαμβικὸν δίμετρον καταληκτικὸν ποδῶν ἁπλῶν τριῶν καὶ συλλαβῆς μιᾶς.* —

16, 21 *ἰαμβικὸν τρίμετρον καταληκτικὸν ποδῶν ἁπλῶν πέντε καὶ συλλαβῆς μιᾶς.* —

16, 23 *ἰαμβικὸν τετράμετρον καταληκτικὸν ποδῶν ἁπλῶν ἑπτὰ καὶ συλλαβῆς μιᾶς.* — *ACD*

17, 1 *ἰαμβικὸν τρίμετρον χωλόν, οὗ ἡ τελευταία ἢ*

5 *ὅτε* scripsi, *ὅτι* *D* ‖ 15 *καὶ* scripsi, *ἢ* *D* ‖ 32 continuatur a *AC* antecedenti scholio

τροχαῖος ἢ σπονδεῖος, ἡ δὲ παραλήγουσα οὐδέποτε τρισύλλαβος, ἀλλ' ἢ ἴαμβος ἢ σπανίως σπονδεῖος. ὁμοίως δὲ κατὰ διποδίαν μετρεῖται ποδῶν ἁπλῶν ἕξ: — *ACD*

† χωλὸν λέγεται καθό, τοῦ μὲν ὀρθοῦ ἰαμβικοῦ τροχαῖον ἐν οὐδεμιᾷ χώρᾳ δεχομένου, ἐν δὲ τῷ τελευταίῳ ποδὶ ἴαμβον ἢ πυρρίχιον ἐπιφερομένου, τὸ χωλὸν δέχεται μὲν κατὰ πᾶσαν χώραν ἀδιαφόρως τὸν τροχαῖον καὶ τὸν σπονδεῖον, ἐν τῇ τελευταίᾳ πρὸς τούτοις δάκτυλόν τε καὶ τρίβραχυν, τοὺς δὲ τῷ ὀρθῷ ἰαμβικῷ οὐ δέχεται παραλήγοντας: — *D*

16, 18 ἡ θαι γὰρ μόνη ἐστὶν τελευταῖος πούς: — *A(D)*

16, 20 καταληκτικὸν δηλονότι· ἀπὸ κοινοῦ γὰρ πάλιν τὸ καταληκτικόν (cf. 16, 16): — *AD*

17, 4 τὴν γὰρ ἀρχομένην συλλαβὴν τοῦ τελευταίου ποδὸς δεῖ βραχεῖαν εἶναι: — *AD*

17, 5 δεῖ γὰρ τὴν ἀρχομένην τοῦ τελευταίου ποδὸς μακρὰν εἶναι: — *AD*

17, 13 τὸ λᾶντα σπονδεῖος: — *A*

1] πεντάμετρα δὲ βραχυκατάληκτα τὸ

πάτερ Λυκάμβα ποῖον ἐφράσω τόδε; τίς σὰς παρήειρεν;

καταληκτικὸν δὲ τὸ

πάτερ Λυκάμβα ποῖον ἐφράσω τόδε; τίς σὰς παρήειρε φρε.

1 παραλήγουσα *A* per comp. sic π with ελ above, unde *C* τελευταία; ὁ δὲ παραλήγων *D* ‖ 2 post ἴαμβος *C* inser. ἢ πυρρίχιος | post σπονδεῖος *C* sic pergit ἢ πυρρίχιος ὅταν ᾖ χωλόν· τοῦτο δὲ ἐπὶ τοῦ τριμέτρου ἰαμβικοῦ ἢ τοῦ χωλοῦ ἢ τοῦ ἑτέρου ‖ 11 τελευταῖος πούς scripsi, ἡ τελευταία συλλαβή *A*; in *D* non nisi haec sunt ἡ σθαι τελευταίως ‖ 13 ἀπὸ — 14 καταληκτικόν om. *D* ‖ 15 γὰρ om. *D* ‖ pro 20—24 in *D* non nisi haec sunt ἰστέον ὅτι πεντάμετρα βραχυκατάληκτα καλεῖται οἷον τὸ πάτερ λυκάβα ποῖον ἐφράσω τόδε; τίς τὰς σὰς παρήειρε φρένας ‖ 20 ἰστέον δὲ καὶ τοῦτο ὅτι πεντάμετρα βραχυκατάληκτα καλεῖται οἷον τὸ *I* ‖ 21 et 23 λυκάβα *A*, ἐκφράσω *I* ‖ 22 τὸ] οἷον τὸ τοιόνδε *I*

*ἑξασύλλαβος, ἐκ δακτύλου καὶ χορείου ἑπτάχρονος, ἢ ἐκ δύο χορείων ἑξάχρονος· τὸν δὲ τελευταῖον πόδα λαμβάνει ἢ πυρρίχιον ἢ ἴαμβον, ὅταν ὁλόκληρον ᾖ, δηλαδὴ τὸ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον: — ACD*

† *ἰστέον ὅτι κατακλεὶς λέγεται, ὅτε ἀπήρτισται ἐκ τοῦ* [3 *ἀτελοῦς εἰς πόδα τέλειον ἡ τέως ἀτελὴς παραλήγουσα καὶ ἐποίησε τὸ μέτρον ἀπὸ καταληκτικοῦ, ἤγουν ἀτελοῦς, ἀκατάληκτον, ἤγουν τέλειον. γίνεται δὲ κατακλείς, ὅτε παραλήγει ὁ ἴαμβος ἐν τοῖς καταληκτικοῖς, ἤγουν ἀτελέσι, μέτροις — ἐπισφράγισις γάρ ἐστι μέτρου — ἢ εἰς ἀμφίβραχυν ἢ εἰς βακχεῖον. γίνεται δὲ οὕτως ἡ τελευταία καὶ περιττεύουσα συλλαβὴ βραχεῖα ἢ μακρά· εἰ μὲν βραχεῖα, συμπλακεῖσα τῷ ἰάμβῳ ἀμφίβραχυν ποιεῖ, εἰ δὲ μακρά, βακχεῖον: — D*

† *περὶ διμέτρων: ἰστέον ὅτι δίμετρα λέγεται ἐν μὲν τοῖς ἁπλοῖς ποσὶν οἱ δισύλλαβοι, οἷον ἴαμβος καὶ πυρρίχιος, τροχαῖος καὶ σπονδεῖος· δίμετροι δὲ λέγονται ὡς ἀπὸ δύο συλλαβῶν συνιστάμενοι ἢ ἀπὸ δύο χρόνων ὡς ὁ πυρρίχιος. λέγεται δὲ δίμετρα καὶ τὰ κατὰ διποδίαν μετρούμενα ἢ κατὰ συζυγίαν τεττάρων ποδῶν, οἷόν εἰσιν τὰ Ἀνακρεόντεια: — D*

16, 10 *ἰαμβικὸν δίμετρον ἀκατάληκτον ποδῶν ἁπλῶν* 14 *τεττάρων.* —

16, 13 *ἰαμβικὸν τρίμετρον ἀκατάληκτον ποδῶν ἁπλῶν ἕξ.* —

16, 15 *ἰαμβικὸν τετράμετρον ἀκατάληκτον ποδῶν ἁπλῶν ὀκτώ.* —

16, 18 *ἰαμβικὸν δίμετρον καταληκτικὸν ποδῶν ἁπλῶν τριῶν καὶ συλλαβῆς μιᾶς.* —

16, 21 *ἰαμβικὸν τρίμετρον καταληκτικὸν ποδῶν ἁπλῶν πέντε καὶ συλλαβῆς μιᾶς.* —

16, 23 *ἰαμβικὸν τετράμετρον καταληκτικὸν ποδῶν ἁπλῶν ἑπτὰ καὶ συλλαβῆς μιᾶς.* — *ACD*

17, 1 *ἰαμβικὸν τρίμετρον χωλόν, οὗ ἡ τελευταία ἢ*

5 *ὅτε* scripsi, *ὅτι* *D* || 15 *καὶ* scripsi, *ἢ* *D* || 32 continuatur ι *AC* antecedenti scholio

*τροχαῖος ἢ σπονδεῖος, ἡ δὲ παραλήγουσα οὐδέποτε τρισύλλαβος, ἀλλ' ἢ ἴαμβος ἢ σπανίως σπονδεῖος. ὁμοίως δὲ κατὰ διποδίαν μετρεῖται ποδῶν ἁπλῶν ἕξ*: — *ACD*

† *χωλὸν λέγεται καθό, τοῦ μὲν ὀρθοῦ ἰαμβικοῦ τροχαῖον ἐν οὐδεμιᾷ χώρᾳ δεχομένου, ἐν δὲ τῷ τελευταίῳ ποδὶ ἴαμβον ἢ πυρρίχιον ἐπιφερομένου, τὸ χωλὸν δέχεται μὲν κατὰ πᾶσαν χώραν ἀδιαφόρως τὸν τροχαῖον καὶ τὸν σπονδεῖον, ἐν τῇ τελευταίᾳ πρὸς τούτοις δάκτυλόν τε καὶ τρίβραχυν, τοὺς δὲ τῷ ὀρθῷ ἰαμβικῷ οὐ δέχεται παραλήγοντας*: — *D*

16, 18 *ἡ θαι γὰρ μόνη ἐστὶν τελευταῖος πούς*: — *A*(*D*)

16, 20 *καταληκτικὸν δηλονότι· ἀπὸ κοινοῦ γὰρ πάλιν τὸ καταληκτικόν* (cf. 16, 16): — *AD*

17, 4 *τὴν γὰρ ἀρχομένην συλλαβὴν τοῦ τελευταίου ποδὸς δεῖ βραχεῖαν εἶναι*: — *AD*

17, 5 *δεῖ γὰρ τὴν ἀρχομένην τοῦ τελευταίου ποδὸς μακρὰν εἶναι*: — *AD*

17, 13 *τὸ λᾶντα σπονδεῖος*: — *Á*

1] *πεντάμετρα δὲ βραχυκατάληκτα τὸ*

*πάτερ Λυκάμβα ποῖον ἐφράσω τόδε; τίς σὰς παρήειρεν;*

*καταληκτικὸν δὲ τὸ*

*πάτερ Λυκάμβα ποῖον ἐφράσω τόδε; τίς σὰς παρήειρε φρε.*

5) *Λέγεται δὲ τὸ μέτρον πολλαχῶς. ἔστι γὰρ μέτρον τὸ μετροῦν καὶ ⟨τὸ⟩ μετρούμενον, καθάπερ καὶ μέδιμνος καὶ χοῖνιξ καὶ πῆχυς. λέγεται μέτρον καὶ ἡ συμμετρία, ὡς δηλοῖ τὸ λεγόμενον 'πᾶν μέτρον ἄριστον'. λέγεται δὲ μέτρον καὶ ὁ πούς ὁ ἁπλοῦς, ὅθεν καὶ τὸν στίχον ἑξάμετρόν φαμεν, οἱονεὶ ἓξ πόδας ἔχοντα. λέγεται μέτρον καὶ ἡ διποδία, ὅθεν καὶ τοὺς ἰάμβους τριμέτρους εἰώθαμεν καλεῖν κατὰ διποδίαν αὐτοὺς ἀριθμοῦντες. λέγεται μέτρον καὶ τὸ σύστημα τῶν*
6) *ποδῶν, οἷον στίχος ἢ ἴαμβος, ὅθεν λέγομεν τήνδε τὴν ῥαψῳδίαν πεντακόσια τυχὸν ἔχειν μέτρα, οἱονεὶ στίχους πεντακοσίους. λέγεται πάλιν μέτρον καθολικῶς πᾶσα ἔμμετρος φράσις πρὸς ἀντιδιαστολὴν τῆς πεζῆς λέξεως, οἱονεὶ τὸ ποίημα. λέγεται καὶ ἰδικῶς ἕκαστον μέτρον, τὸ δακτυλικὸν ἢ ἰωνικὸν ἤ τι τῶν τοιούτων. λέγεται μέτρον καὶ ὁ χρόνος· ὅθεν δάκτυλος τετράμετρός ἐστιν, οἱονεὶ τετράχρονος, καὶ ὁ ἡρωϊκὸς στίχος*

1 Long. 83, 1 sqq. || 8 Long. 84, 1 sqq. || 11 *μέτρον ἄριστον*] Long. 84, 2

2 *ἄλλοις* post *πολλοῖς* add. Stud. || 6 *περὶ* (alt.) om. *R* (idem cod. V ap. Arist.) | *ῥυθμῶν* Arist., *περὶ ῥυθμῶν* *RK* Long. || 9 *τὸ* Long., An. Ambr., om. *RK* || 9/10 *μέδιμνον* *K* || 10 *χοῖνιξ* An. Ambr. 231, 15 (*χόα* Long. 82, 7), *λέξις* *K* et fort. *R* || 17 *ἢ* om. *K* (*στίχος*, ut saepe, est vers. hexam. dact.) || 22 post *δακτυλικὸν* add. *τυχὸν* *R*

## Cap. I.

### *Περὶ βραχείας συλλαβῆς.*

Βραχεῖά ἐστι συλλαβὴ ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως οὕτως ὥς μὴ εἶναι μεταξὺ τούτου τοῦ φωνήεντος καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ [φωνήεντος μὴ ὑπάρχειν] σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ, ἀλλ᾽ ἤτοι ἓν ἢ μηδὲ ἕν. — *U*

Βραχεῖα συλλαβή ἐστιν ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως, ὥς μεταξὺ αὐτῆς καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ φωνήεντος μὴ ὑπάρχειν πλείονα σύμφωνα ἑνὸς ἁπλοῦ, ἀλλ᾽ ἤτοι ἓν ἢ μηδὲ ἕν. — *K*

*Ἰστέον ὅτι, ὡς προείρηται, ἐγχειρίδιον γράφων καὶ ὡς ἐν εἰσαγωγῆς τρόπῳ, οὐκ ἤρξατο πρῶτον ἀπὸ στοι-* (91 *χείων, ὥς τινές φασιν, ἢ λέγειν τοῦ μέτρου ὅρον, ἢ ἀπὸ τοῦ γένους τῆς συλλαβῆς, οἱονεὶ τῆς καθόλου συλλαβῆς (καθόλου γὰρ συλλαβή ἐστιν, ὥς φησιν ὁ Διονύσιος ἐν τῇ τέχνῃ, κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων, οἷον Κάρ, βοῦς), ἀλλ᾽ ἀπὸ τῆς ἐν εἴδει συλλαβῆς, οἱονεὶ μακρᾶς καὶ βραχείας καὶ κοινῆς. ὕλη γὰρ τῶν μέτρων ἐστὶν ἡ συλλαβή, καὶ ἄνευ ταύτης οὐκ ἂν συσταίη μέτρον. — καὶ αὐτὸς μὲν λέγει, ὡς καὶ πάντες συμφωνοῦσι, τῆς συλλαβῆς εἶναι τρία εἴδη τῆς καθόλου, λέγω δὴ μα-*

2—12 Long. 87, 22 ‖ 13 Long. 86, 1. 14. — cf. schol. in Dion. Thr. 159, 2 ‖ 14/15 *ἀπὸ στοιχείων* Ar. Quint. 28, 18. An. Vat. AV 98 § 2 ‖ 18 Dion. Thr. 16,7 ‖ 22 Long. 86,15. Choer. 182,13

1 *ἀρχὴ τοῦ κειμένου· ὁ πρόλογος* ante *περὶ* add. *K* ‖ 6 cf. Long. 86, 3 ‖ 9 *αὐτῆς*] *αὐτοῦ* scribendum, sed *αὐτῆς* etiam Long. ‖ 14/15 *στοιχείων*] *στίχου* *K* ‖ 15 post *ἢ* (praet. l.) lac. indic. Egen.; fort. ⟨*ἀπὸ τοῦ*⟩ ‖ 16 *οἱονεὶ* om. *K* ‖ 17 *ὡς Διονύσιος φησὶν* *K*

38) 4. *Ἐπιγέγραπται* δὲ τὸ παρὸν σύγγραμμα ἐγχειρίδιον, ἢ ὅτι, ὥσπερ τὸ ἐγχειρίδιον ξίφος ὀξὺ καὶ τμητικόν ἐστιν, οὕτως καὶ τοῦτό ἐστιν ὀξῦνον καὶ τέμνον τὴν διδασκαλίαν· ἤ, ὅπερ ἄμεινον, παρὰ τὸ μικρὸν εἶναι πάνυ (ἐπιτομὴν γὰρ ποιεῖται τῶν ἐν πλάτει αὐτῷ εἰρημένων) καί, ὥς φησιν ἡ συνήθεια, παρὰ τὸ ἐν χερσὶν ἔχειν· οὕτω γὰρ καὶ ὁ Ἡλιόδωρος, ποιήσας καὶ αὐτὸς ἐγχειρίδιον περὶ μέτρων, φησὶν ἀρχόμενος *τοῖς βουλομένοις ἐν χερσὶν ἔχειν τὰ κεφαλαιωδέστατα τῆς μετρικῆς θεωρίας καὶ τὰ ἑξῆς.* — Ἰστέον δ' ὅτι [οὗτος ὁ Ἡλιόδωρος] πρῶτον ἐποίησε περὶ μέτρων μη' βιβλία, εἶθ' ὕστερον ἐπέτεμεν αὐτὰ εἰς ἕνδεκα, εἶτα πάλιν εἰς τρία, εἶτα πλέον εἰς ἕν, τοῦτο τὸ ἐγχειρίδιον. παρὰ τὸ μικρὸν οὖν αὐτὸ εἶναι καὶ ἐν ταῖς χερσὶν εὐχερῶς φέρεσθαι ἐπιγέγραπται ἐγχειρίδιον.

39) 5. *Διαιρεῖται* δὲ εἰς δύο· καὶ ἐν μὲν τῷ πρώτῳ διαλαμβάνει περὶ *συλλαβῶν*, ὅτι πᾶσα συλλαβὴ ἢ βραχεῖά ἐστιν ἢ μακρὰ ἢ κοινή, καὶ περὶ *συνεκφωνήσεως*, ἥτις λέγεται καὶ συνίζησις· εἶτα καὶ περὶ *ποδῶν* καὶ περὶ διαφόρων *μέτρων* ὅτι ἐστιν ἰαμβικὸν τροχαϊκὸν δακτυλικὸν ἰωνικὸν καί τινα τοιαῦτα. ἐν δὲ τῷ δευτέρῳ περὶ τῶν *ἀντιπαθούντων*, ὅτι οὗτος ὁ ποὺς τῷδ' ἀντιπαθεῖ, οἷον ὁ τροχαῖος τῷ ἰάμβῳ ἀντίκειται καὶ ὁ σπονδεῖος τῷ πυρριχίῳ, ὁ δάκτυλος τῷ ἀναπαίστῳ καί τινα τοιαῦτα· εἶτα καὶ περὶ *ἀσυναρτήτων*, ὅτι ἀσύστατον καὶ ἀσυνάρτητόν ἐστι τόδε

1 Long. 86, 6. schol.[A] 93, 3 || 13 cf. infra cap. XIII init.

-τικὸν *RK* || 6 φησιν ex φασιν corr. K, Ἡλιόδωρος del. Rossbach || 21 ὅτι] ὁ K || ἀντιπαθούντων desin. R || 26 τινὰ]

*λέγεται κδ΄ ἔχειν μέτρα, οἱονεὶ χρόνους, ὡς δηλοῖ ὁ Ὀρφεὺς ἢ ἡ Πυθία λέγουσα περὶ τοῦ ἔπους οὕτως*

*ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων.*

*(Ἰστέον δὲ ὅτι ἄλλως λαμβάνουσι τοὺς χρόνους οἱ* (9 *μετρικοί, ἤγουν οἱ γραμματικοί, καὶ ἄλλως οἱ ῥυθμικοί. οἱ γραμματικοὶ ἐκεῖνον μακρὸν χρόνον ἐπίστανται τὸν ἔχοντα δύο χρόνους, καὶ οὐ κατάγονται εἰς μεῖζόν τι· οἱ δὲ ῥυθμικοὶ λέγουσι τόδε εἶναι μακρότερον τοῦδε, φάσκοντες τὴν μὲν τῶν συλλαβῶν εἶναι* 35 *δύο ἡμίσεος χρόνων, τὴν δὲ τριῶν, τὴν δὲ πλειόνων· οἷον τὴν ω̅ς̅ οἱ γραμματικοὶ λέγουσι δύο χρόνων εἶναι, οἱ δὲ ῥυθμικοὶ δύο ἡμίσεος, δύο μὲν τοῦ ω̅ μακροῦ, ἡμιχρονίου δὲ τοῦ σ̅· πᾶν γὰρ σύμφωνον λέγεται ἔχειν ἡμιχρόνιον.) — Σκοπὸν οὖν ἔχων ἐστίν, ὡς προείπο-* (8 *μεν, ὁ τεχνικὸς περὶ μέτρων διαλαβεῖν. —*

2. *Χρήσιμον δέ ἐστι τὸ παρὸν σύγγραμμα οὐ πᾶσιν, ἀλλὰ τοῖς ἔμμετρα ποιήσουσι βιβλία, οὐ γὰρ ῥήτορσιν ἢ ἁπλῶς τοῖς τῇ πεζῇ φράσει κεχρημένοις.*

3. *Γνήσιον δέ ἐστι τὸ παρὸν σύγγραμμα Ἡφαι-* (8 *στίωνος πρῶτον μὲν ἐκ τῆς κοινῆς μαρτυρίας τῶν ὑπομνήματα ποιησάντων εἰς αὐτό, εἶτα δὲ καὶ ἐκ τοῦ μεμνῆσθαι αὐτὸν τούτου καὶ ἐν τοῖς ἑτέροις αὐτοῦ ποιήμασι· ποιεῖ γὰρ βιβλίον περὶ ποιήματος, ὅπερ καὶ ἀεὶ συνευρίσκεται τούτῳ τῷ περὶ μέτρων βιβλίῳ.*

4 schol.[A] 95, 15. schol.[B] (lib. IV) 16, 5. schol. in Dion. Thr. 205, 24. Dion. Hal. de c. v. c. 15 p. 57, 9 sqq. Prisc. GL II 51, 25

1 *μέτρα ἔχειν* *R* | *ὁ* om. *K* || 3 *ἑξαμερὲς τετόρων* Long., An. Ambr. 231, 7; *ἑξαμετρὲς τεττάρων* codd. || 4—14 ad vocem *χρόνους* addita sunt ex scholl. Heph.[B] p. 16, 5—10 || 7 *καταγίνονται* codd. et scholl. Heph., *καταφέρουσι* Egenolff; fort. *κατάγονται* || 8 *τόδε*] *τόνδε* schol.[B] || 9 *συλλαβὴν* *R* || 13 *τὸ ω̅ μακρόν, ἡμίσεος δὲ τὸ σ* prop. Hoersch., *ἡμιχρονίου δὲ τοῦ σ̅* scripsi, *ἡμίχρονον δὲ τὸ σ̅* *R*, *ἡμίχρονον δὲ τὸ γ̅* *K* || 17 *ποιήσουσι* Hoersch., *ποιήσασι* codd. || 18 *τοῖς τῇ* om. *K* || 21 *αὐτὸ* Hense, *αὐτὸν* codd. 23 *πονήμασι* Stud.

8) 4. *Ἐπιγέγραπται δὲ τὸ παρὸν σύγγραμμα ἐγχειρίδιον, ἢ ὅτι, ὥσπερ τὸ ἐγχειρίδιον ξίφος ὀξὺ καὶ τμητικόν ἐστιν, οὕτως καὶ τοῦτό ἐστιν ὀξῦνον καὶ τέμνον τὴν διδασκαλίαν· ἤ, ὅπερ ἄμεινον, παρὰ τὸ μικρὸν εἶναι πάνυ (ἐπιτομὴν γὰρ ποιεῖται τῶν ἐν πλάτει αὐτῷ εἰρημένων) καί, ὥς φησιν ἡ συνήθεια, παρὰ τὸ ἐν χερσὶν ἔχειν· οὕτω γὰρ καὶ ὁ Ἡλιόδωρος, ποιήσας καὶ αὐτὸς ἐγχειρίδιον περὶ μέτρων, φησὶν ἀρχόμενος τοῖς βουλομένοις ἐν χερσὶν ἔχειν τὰ κεφαλαιωδέστατα τῆς μετρικῆς θεωρίας καὶ τὰ ἑξῆς. — Ἰστέον δ' ὅτι [οὗτος ὁ Ἡλιόδωρος] πρῶτον ἐποίησε περὶ μέτρων μη' βιβλία, εἶθ' ὕστερον ἐπέτεμεν αὐτὰ εἰς ἕνδεκα, εἶτα πάλιν εἰς τρία, εἶτα πλέον εἰς ἕν, τοῦτο τὸ ἐγχειρίδιον. παρὰ τὸ μικρὸν οὖν αὐτὸ εἶναι καὶ ἐν ταῖς χερσὶν εὐχερῶς φέρεσθαι ἐπιγέγραπται ἐγχειρίδιον.*

9) 5. *Διαιρεῖται δὲ εἰς δύο· καὶ ἐν μὲν τῷ πρώτῳ διαλαμβάνει περὶ συλλαβῶν, ὅτι πᾶσα συλλαβὴ ἢ βραχεῖά ἐστιν ἢ μακρὰ ἢ κοινή, καὶ περὶ συνεκφωνήσεως, ἥτις λέγεται καὶ συνίζησις· εἶτα καὶ περὶ ποδῶν καὶ περὶ διαφόρων μέτρων ὅτι ἐστὶν ἰαμβικὸν τροχαϊκὸν δακτυλικὸν ἰωνικὸν καί τινα τοιαῦτα. ἐν δὲ τῷ δευτέρῳ περὶ τῶν ἀντιπαθούντων, ὅτι οὗτος ὁ ποὺς τῷδ' ἀντιπαθεῖ, οἷον ὁ τροχαῖος τῷ ἰάμβῳ ἀντίκειται καὶ ὁ σπονδεῖος τῷ πυρριχίῳ, ὁ δάκτυλος τῷ ἀναπαίστῳ καί τινα τοιαῦτα· εἶτα καὶ περὶ ἀσυναρτήτων, ὅτι ἀσύστατον καὶ ἀσυνάρτητόν ἐστι τόδε*

1 Long. 86, 6. schol.[A] 93, 3 || 13 cf. infra cap. XIII init.

3 *τμητικὸν S, τακτικὸν RK* || 6 *φησιν* ex *φασιν* corr. K, *φασιν R* | 11 *οὗτος ὁ Ἡλιόδωρος* del. Rossbach || 21 *ὅτι*] *ὁ* K || 22 *τινά*] *τά* Egen. || 22 post *ἀντιπαθούντων* desin. R || 26 *τινὰ*] *τὰ* Egen.

παρὰ τόδε εἰρημένον, καὶ δῆλον ὅτι παραφέρει ἑκάστου τὰ παραδείγματα ἐξετάζων· εἶτα ζητεῖ καὶ περὶ πολυσχηματίστων καὶ οὕτω πληροῖ.

6. Ὤφειλε δὲ προτάττεσθαι τὸ παρὸν σύγγραμμα, 36
ὥς τινές φασι, πρὸ παντὸς ἐμμέτρου συγγράμματος (9(
καὶ πρὸ τῆς Ἰλιάδος· πρῶτον μὲν γὰρ ἔδει ἡμᾶς γνῶναι, τί ἐστι μέτρον καὶ ποῖον καὶ πόθεν λαμβάνεται, καὶ οὕτως αὐτὰ τὰ μέτρα γνῶναι εἰ καλῶς ἢ κακῶς ἔχουσιν. ἀλλὰ λέγομεν ὅτι ὕλη τοῦ παρόντος συγγράμματός εἰσι τὰ τῶν ποιητῶν ἔμμετρα ποιήματα· αὐτὰ γὰρ κανονίζει ὁ Ἡφαιστίων καὶ αὐτῶν τὰς χρήσεις παραφέρει, λέγων ὅτι τοιῷδε μέτρῳ ἐχρήσατο ὅδε ὁ ποιητής. πῶς δὲ τῆς ὕλης αὐτῆς ἀγνοουμένης εἴχομεν τὴν μέθοδον γνῶναι; οἷον πῶς ξύλων μὴ ὄντων ἠδύνατό τις τεκτονεύειν μαθεῖν; — Εὐλόγως οὖν πρότερον λέγομεν τὰς λέξεις — ἤγουν τὰ ποιήματα τὰ ἐπιδεχόμενα μέτρον — καὶ τὴν κίνησιν αὐτῶν τὴν διὰ τῶν ὀκτὼ μερῶν τοῦ λόγου, τὴν σύνταξιν αὐτῶν καὶ τὴν στιγμήν, καὶ ὕστερον τοῦτο τὸ παρὸν σύγγραμμα περὶ τοῦ μέτρου αὐτῶν διαλαμβάνον.

7. Ἀνάγεται δὲ πάλιν καὶ τοῦτο ὡς καὶ πᾶσα τεχνικὴ ζήτησις ὑπὸ ⟨τὸ⟩ τεχνικὸν ὄργανον τῆς γραμματικῆς· οὐ γάρ, ὥς τινες ἠθέλησαν λέγειν, ὑπὸ τὸ

16 cf. schol. in Dion. Thr. 124, 14 sqq. || 21 schol. in Dion. Thr. 124, 22

1 εἰρημένον] εἰρόμενον prop. Hoersch.; an ἠρτημένον? | παραφέρει semper scripsi, περιφέρει codd. || 6 fort. ⟨ὡς⟩ καὶ Kroll || 12 περιφέρει codd. | a μέτρῳ inc. *U* | ὅδε om. *U* || 13 τῆς ὕλης αὐτῆς scripsi, τῆς (ὕ. α. om.) *U*, τὴν ὕλην αὐτὴν *K* | ἀγνοοῦντες *K* || 15 τεκτονεύειν vel τεκταίνειν Mendels., τέκτων codd. || 16 λέγομεν πρῶτον *K* || 16 ἤγουν — 17 μέτρον fort. delenda || 17 αὐτῶν τὴν] τῶν *U* || 18 τὴν (post. l.) om. *U* || 19 τὸ om. *K*[1], add. *K*[2] || 20 διαλαμβάνομεν *U*; cf. 24 || 21 τοῦτω ὡς πᾶσα *U* || 22 τὸ add. Hoersch.

*ὅρον οὐκ ἔδοξεν αὐτῆς θεῖναι, οὐδὲ τῆς θέσει μακρᾶς· καὶ εἰκότως· ἐπειδή φασιν, ὅτι οὐκ ἐξ αὐτῶν εἰσίν, ἀλλὰ θέσει ἢ μακραὶ ἢ βραχεῖαι γίνονται. περιττὸν δὲ τῆς μὴ οὔσης ὅρον ἀποδοῦναι· οἱ γὰρ ὅροι τῶν ὄντων φύσει.*

*Εἷς τρόπος δέ ἐστι τῆς κοινῆς συλλαβῆς, εἰ καὶ ἁπλῶς αὐτὸς δοκεῖ τρεῖς λέγειν τρόπους, καθάπερ καὶ ὁ Διονύσιος. ὅταν γὰρ εἰς μακρὰν λήγῃ καὶ ἀπαρτίζῃ εἰς μέρος λόγου καθαρὸν καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, κοινὴ γίνεται. καὶ τοῦτο πάντως πρόδηλον ἐκ τῶν παραδειγμάτων. κεχρήμεθα δὲ αὐτῇ καὶ ἡμεῖς, ἡνίκ' ἂν ποιῶμεν τὸν ἀμφίμακρον καὶ παλιμβάκχειον πόδα.*

⌞(3, 10) Ῥᾷον γὰρ γίνεται ἡ τοιαύτη κοινή, ἐὰν ἡ συλλαβὴ εἰς μέρος λόγου ᾖ πεπερατωμένη, ὡς ἐν τοῖς προκειμένοις παραδείγμασι· σπανιώτερον δὲ καὶ ἐπὶ μέσης λέξεως· οὐ μὴν ἀλλ' ὅμως εὑρίσκεται, καὶ μάλιστα ἐν τοῖς ἄλλοις μέτροις· ἐν μὲν ἰαμβικῷ Αἰσχύλος ἐν Νιόβῃ (155 N)

Ἴστρος τοιαύτας παρθένους λοχεύεται,

ἐν δὲ ἰωνικῷ τῷ ἀπὸ μείζονος Σωτάδου ἐξ Ἀδώνιδος τόδε

τίνα τῶν παλαιῶν ἱστοριῶν θέλετ' ⟨ἐπ⟩ακοῦσαι,

ἐν δὲ ἀντισπαστικῷ Ἀνακρέοντος (1, 4)

ἥ κου νῦν ἐπὶ Ληθαίου⌟.

6 Choer. 185, 7 ‖ 7 Dion. Thr. 20, 4 ‖ 14 schol. in Dion. Thr. 350, 1 sqq. Choer. G Gr IV 1 p. 161, 10 sqq.

1 *θεῖναι*] *δοῦναι* schol.[A] ‖ 6 *τρόπος ἐστὶ κοινῆς εἰ* *U*; cf. **186,16. 187,23. 196,9** ‖ 7 *αὐτὸς δοκεῖ ἁπλῶς* *K* | *καθάπερ*] *ὡς* *K* ‖ 8 *ὁ* om. *U* | confusa doctrina, sed nihil mutandum. Hoersch. ante *ὅταν* nonnulla excidisse putavit | *μακρὰν*] *μακρὸν* Denig ‖ 9 *ἔχῃ*] *ἔχει* codd. ‖ 10 *πάντως*] *πάνυ* *K* ‖ 11 *δὲ* om. *U* ‖ 12 *ἡνίκα* (om. *ἄν*) *U* | *τὸν* om. *U* ‖ 23 *ἐπακοῦσαι* scripsi coll. p. 190, 16; *ἐσακοῦσαι* Heph.

## Cap. I.

### *Περὶ βραχείας συλλαβῆς.*

Βραχεῖά ἐστι συλλαβὴ ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως οὕτως ὡς μὴ εἶναι μεταξὺ τούτου τοῦ φωνήεντος καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ [φωνήεντος μὴ ὑπάρχειν] σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ, ἀλλ' ἤτοι ἓν ἢ μηδὲ ἕν. — *U*

Βραχεῖα συλλαβή ἐστιν ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως, ὡς μεταξὺ αὐτῆς καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ φωνήεντος μὴ ὑπάρχειν πλείονα σύμφωνα ἑνὸς ἁπλοῦ, ἀλλ' ἤτοι ἓν ἢ μηδὲ ἕν. — *K*

*Ἰστέον ὅτι, ὡς προείρηται, ἐγχειρίδιον γράφων καὶ ὡς ἐν εἰσαγωγῆς τρόπῳ, οὐκ ἤρξατο πρῶτον ἀπὸ στοι-* (91) *χείων, ὥς τινές φασιν, ἢ λέγειν τοῦ μέτρου ὅρον, ἢ ἀπὸ τοῦ γένους τῆς συλλαβῆς, οἱονεὶ τῆς καθόλου συλλαβῆς (καθόλου γὰρ συλλαβή ἐστιν, ὥς φησιν ὁ Διονύσιος ἐν τῇ τέχνῃ, κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων, οἷον Κάρ, βοῦς), ἀλλ' ἀπὸ τῆς ἐν εἴδει συλλαβῆς, οἱονεὶ μακρᾶς καὶ βραχείας καὶ κοινῆς. ὕλη γὰρ τῶν μέτρων ἐστὶν ἡ συλλαβή, καὶ ἄνευ ταύτης οὐκ ἂν συσταίη μέτρον. — καὶ αὐτὸς μὲν λέγει, ὡς καὶ πάντες συμφωνοῦσι, τῆς συλλαβῆς εἶναι τρία εἴδη τῆς καθόλου, λέγω δὴ μα-*

2—12 Long. 87, 22 ‖ 13 Long. 86, 1. 14. — cf. schol. in Dion. Thr. 159, 2 ‖ 14/15 *ἀπὸ στοιχείων* Ar. Quint. 28, 18. An. Vat. AV 98 § 2 ‖ 18 Dion. Thr. 16,7 ‖ 22 Long. 86,15. Choer. 182,13

1 *ἀρχὴ τοῦ κειμένου· ὁ πρόλογος* ante *περὶ* add. *K* ‖ 6 cf. Long. 86, 8 ‖ 9 *αὐτῆς*] *αὐτοῦ* scribendum, sed *αὐτῆς* etiam Long. ‖ 14/15 *στοιχείων*] *στίχου* *K* ‖ 15 post ἢ (praet. l.) lac. *indic. Egen.; fort.* ⟨*ἀπὸ τοῦ*⟩ ‖ 16 οἱονεὶ om. K ‖ 17 ὡς Διονύσιος φησὶν *K*

κρὰν καὶ βραχεῖαν καὶ τὴν λεγομένην κοινήν. ἀλλὰ τούτων [ἤγουν μιᾶς ἑκάστης] λέγει τινὰς διαφοράς, πότε καὶ πῶς καὶ κατὰ πόσους τρόπους γίνεται βραχεῖα ἢ μακρὰ ἢ κοινὴ συλλαβή. ὁ δ' Ὧρος ἄμεινον εἰς πέντε πᾶσαν συλλαβὴν παραλαμβάνων φησὶ πέντε μόνα εἴδη εἶναι συλλαβῶν, δύο μὲν τῆς βραχείας, δύο δὲ τῆς μακρᾶς, καὶ ἓν τῆς κοινῆς. ἡ γὰρ βραχεῖα συλλαβή, φησίν, ἢ φύσει ἐστὶ βραχεῖα ἢ θέσει· φύσει
38 μέν, ὅταν ἔχῃ ἓν τῶν φύσει βραχέων, θέσει δέ, ὅταν ἔχῃ ἓν τῶν διχρόνων. καὶ ἡ μακρὰ ὡσαύτως, φύσει μέν, ὅταν ἔχῃ ἓν τῶν φύσει μακρῶν, φωνηέντων τέ φημι καὶ διφθόγγων, θέσει δέ, ὅταν ἔχῃ δίχρονον ἢ βραχὺ φωνῆεν διὰ ⟨δύο⟩ συμφώνων ἢ ἑνὸς διπλοῦ ἐκτεινόμενον. ἓν τε εἶδος τῆς κοινῆς εἶναι τὸ δύνασθαι βραχεῖαν οὖσαν εἰς μακρὰν παραλαμβάνεσθαι, ἢ ἔμπαλιν τὸ δύνασθαι μακρὰν οὖσαν εἰς βραχεῖαν.

Διαλαμβάνει οὖν ὁ τεχνικὸς πρῶτον περὶ τῆς βρα-
7) χείας συλλαβῆς, καὶ ὁρισμὸν αὐτῆς ἀποδίδωσιν εὖ ἔχοντα καὶ ἀντιστρέφοντα πρὸς τὸ ὁριστόν, ὅπερ ὑγεία ἐστὶν ὅρου· σαφὴς δέ ἐστιν ὁ ὁρισμὸς καὶ ἐξηγήσεως οὐ δεόμενος. — Καλῶς δὲ εἶπε βραχεῖά ἐστι, καὶ οὐ βραχεῖα γίνεται, ὡς ἐν τῇ κοινῇ συλλαβῇ δείξομεν

14 ἓν εἶδος] cf. 189, 6 || 21 Long. 88, 5. schol.[A] 94, 10 || 23 βρ. γίνεται] Dion. Thr. 19, 6

2 τούτων scripsi, ταύτης codd. | ἤγουν — ἑκάστης delevi | μιᾶς καὶ U | καὶ πῶς καὶ πότε K || 4 συλλαβὴ post βραχεῖα K || 6 εἴδη μόνα K || 7 φησίν usque ad ἓν add. K[2] in mg. || 9 ὅταν — δὲ om. U || 9—10 ὅτε ἔχει ἕν τι τῶν U || 11 ὡς ὅταν K | ἔχῃ om. U | τε om. K || 13 δύο add. Wilam. || 14 K post τὸ add. ἔχειν καί, quod recep. Hoersch. lac. post ἔχειν indic. || 15/16 λαμβάνεσθαι U || 16 ἢ — 17 βραχεῖαν om. U || 18 ὁ μὲν K || 21 ὅστις σχεδὸν σαφής ἐστι καὶ ἐξηγήσεως οὐ δέεται K || 23 βραχεῖα om. K | δείξομεν] εἴπωμεν ex εἴπομεν fact. K[1]

*ἐντελέστερον. — καλῶς δὲ προσέθηκεν τὸ μὴ ἐπὶ τέλους λέξεως διὰ τὴν λεγομένην κοινήν· ἐὰν γὰρ εἰς μέρος ἀπαρτίζῃ λόγου, τῷ τῆς κοινῆς ὑποπίπτει λόγῳ, οἷον ἡ τα συλλαβὴ βραχεῖά ἐστι, καὶ ὅμως ἐν τόπῳ κεῖται μακρᾶς παρὰ τῷ ποιητῇ, ἔνθα φησὶ* (*Φ* 352)

*τὰ περὶ καλὰ ῥέεθρα·*

*ὁμοίως καὶ ἡ προς ἐν τῷ* (*I* 147)

*πρὸς οἶκον Πηλῆος·*

*σπονδεῖον γὰρ λέγομεν τὸν πόδα πρὸς οἶ. — καλῶς δὲ πάλιν προσέθηκεν μὴ ὑπάρχειν σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ διὰ τὴν θέσει μακράν· εἰ γὰρ συμβαίη βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπενεχθῆναι δύο σύμφωνα, εἴτε κατὰ σύλληψιν εἴτε κατὰ διάστασιν, ἢ ἓν διπλοῦν, θέσει μακρὰ γίνεται· καὶ πρόδηλον τὸ λεγόμενον.*

*Περὶ μακρᾶς φύσει.*

Μακρά ἐcτιν cυλλαβὴ ἡ ἔχουcα ⟨μακρὸν⟩ φωνῆεν ⟨ἢ⟩ μηκυνόμενον ἢ μίαν τῶν καλουμένων διφθόγγων, οὕτωc ὡc ἑξῆc εἶναι cύμφωνον ἤτοι τελικὸν αὐτῆc τῆc 39 cυλλαβῆc ἢ τῆc ἑξῆc ἀρκτικόν, οἷον θηc cωc, και· εἰ δὲ μή, οὐκ εἰcὶν ἄντικρυc μακραί, ἀλλὰ κοιναί, ὡc ἑξῆc ῥηθήcεται. — *U*

Μακρὰ cυλλαβή ἐcτιν ἡ ἔχουcα μακρὸν φωνῆεν ἢ μηκυνόμενον ἢ μίαν τῶν καλουμένων διφθόγγων, οὕτωc ὡc ἑξῆc εἶναι cύμφωνον, ἤτοι τελικὸν αὐτῆc τῆc cυλλαβῆc ἢ τῆc ἑξῆc ἀρκτικόν, οἷον θήc θώc. εἰ δὲ μή, οὐκ εἰcὶν ἀληθῶc μακραὶ ἀλλὰ κοιναί. — *K*

1—15 Long. 89, 2. schol. in Dion. Thr. 510, 33 || 6 schol. in Dion. Thr. 210, 6

1 *δὲ* om. *U* || 3 *μέρος λόγου ἀπαρτίζῃ* *K* || 6 *τὰ περὶ τὰ* *U* || 10 *πλείονα σύμφωνα* *K* || 13 *διάστασιν*] *παράθεσιν* *U* || 16 *φύσει*] *συλλαβῆς* *K*

*Πρῶτον μὲν περὶ τῆς φύσει μακρᾶς διαλαμβάνει, ὕστερον δὲ καὶ περὶ τῆς θέσει. φησὶ τοίνυν μακρὰν φύσει τὴν ἔχουσαν τὸ η̄ ἢ τὸ ω̄ ἢ ἓν τῶν διχρόνων ᾱ ῑ ῡ· καὶ ταῦτα γὰρ λέγει ποιεῖν φύσει μακράν, ἀλλὰ καὶ τὰς διφθόγγους· καὶ εὐλόγως· ἡ σύνθεσις γὰρ τῶν δύο φωνηέντων μακρὰν φύσει ποιεῖ μίαν, εἴτε μακρὸν εἶεν καὶ βραχύ, εἴτε τὰ δύο βραχέα. — τὸ δὲ* ὡς ἑξῆς εἶναι σύμφωνον τῆς μακρᾶς, ἢ τελικὸν αὐτῆς ἢ τῆς ἑξῆς ἀρκτικὸν *καλῶς προσέθηκεν, ἵνα διαστείλῃ τὴν κοινήν. εἰ γὰρ λήγει εἰς φωνῆεν καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην, κοινὴ γίνεται, οἷον*

*ἄνδρα μοι ἔννεπε μοῦσα* (α 1)·

⌊*ἡ γὰρ συλλαβὴ ἡ μοι μακρὰ οὖσα, ἐπειδὴ μὴ ἔχει ἐπιφερόμενον σύμφωνον, ἀντὶ βραχείας λαμβάνεται καὶ κοινὴ παρὰ τοῖς γραμματικοῖς ὀνομάζεται.*⌋ *τὸ αὐτὸ καὶ ἐπὶ τοῦ*

*πλάγχθη ἐπεὶ Τροίης* (α 2)·

*τὸ αὐτὸ καὶ ἐν τῷ*

*τοῦ κέρα ἐκ κεφαλῆς* (Δ 109)·

*ἡ γὰρ ρα συλλαβὴ φύσει ἐστὶ μακρά, κατὰ κρᾶσιν τῶν δύο ᾱᾰ οὖσα ἀπὸ τοῦ κέραα.*

## ⌊*Περὶ μακρᾶς* ⟨*θέσει*⟩⌋.

*Θέσει δὲ καλοῦσι μακρὰς οἱ γραμματικοὶ τὰς γινομένας ἐκ τῆς τῶν συμφώνων ἐπιπλοκῆς· καὶ λέγει*

20 schol.A 98, 13 sqq.

1 *μὲν* om. *U* ‖ 2 *καὶ* om. *U* ‖ 4 *ᾱ ῑ ῡ* om. *K* ‖ 5 *σύνθεσις*] *συνέλευσις U* ‖ 7 *εἶεν*] *εἴτε K* ‖ 8 *εἶναι καὶ U* ‖ 10 *ἀντιδιαστείλῃ* schol.A 92, 10 (cf. Choer. ad Theod. G Gr IV 2 p. 22, 18) ‖ 12 *οἷον*] *ὡς τὸ K* ‖ 18 *τροίας K* ‖ 23 *περὶ μ.* om. *K* | *θέσει* addidi coll. p. 186, 16 *U* ‖ 25 *τῆς* om. *U*

*ἐντελέστερον. — καλῶς δὲ προσέθηκεν τὸ μὴ ἐπὶ τέλους λέξεως διὰ τὴν λεγομένην κοινήν· ἐὰν γὰρ εἰς μέρος ἀπαρτίζῃ λόγου, τῷ τῆς κοινῆς ὑποπίπτει λόγῳ, οἷον ἡ τα συλλαβὴ βραχεῖά ἐστι, καὶ ὅμως ἐν τόπῳ κεῖται μακρᾶς παρὰ τῷ ποιητῇ, ἔνθα φησὶ* (Φ 352)

*τὰ περὶ καλὰ ῥέεθρα·*

*ὁμοίως καὶ ἡ προς ἐν τῷ* (I 147)

*πρὸς οἶκον Πηλῆος·*

*σπονδεῖον γὰρ λέγομεν τὸν πόδα πρὸς οἶ. — καλῶς δὲ πάλιν προσέθηκεν μὴ ὑπάρχειν σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ διὰ τὴν θέσει μακράν· εἰ γὰρ συμβαίη βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπενεχθῆναι δύο σύμφωνα, εἴτε κατὰ σύλληψιν εἴτε κατὰ διάστασιν, ἢ ἓν διπλοῦν, θέσει μακρὰ γίνεται· καὶ πρόδηλον τὸ λεγόμενον.*

## *Περὶ μακρᾶς φύσει.*

Μακρά ἐστιν συλλαβὴ ἡ ἔχουσα ⟨μακρὸν⟩ φωνῆεν ⟨ἢ⟩ μηκυνόμενον ἢ μίαν τῶν καλουμένων διφθόγγων, οὕτως ὥς ἑξῆς εἶναι σύμφωνον ἤτοι τελικὸν αὐτῆς τῆς 39 συλλαβῆς ἢ τῆς ἑξῆς ἀρκτικόν, οἷον θης σως, και· εἰ δὲ μή, οὐκ εἰσὶν ἄντικρυς μακραί, ἀλλὰ κοιναί, ὡς ἑξῆς ῥηθήσεται. — *U*

Μακρὰ συλλαβή ἐστιν ἡ ἔχουσα μακρὸν φωνῆεν ἢ μηκυνόμενον ἢ μίαν τῶν καλουμένων διφθόγγων, οὕτως ὡς ἑξῆς εἶναι σύμφωνον, ἤτοι τελικὸν αὐτῆς τῆς συλλαβῆς ἢ τῆς ἑξῆς ἀρκτικόν, οἷον θής θώς. εἰ δὲ μή, οὐκ εἰσὶν ἀληθῶς μακραὶ ἀλλὰ κοιναί. — *K*

1—15 Long. 89, 2. schol. in Dion. Thr. 510, 33 ‖ 6 schol. in Dion. Thr. 210, 6

1 *δὲ* om. *U* ‖ 3 *μέρος λόγου ἀπαρτίζῃ K* ‖ 6 *τὰ περὶ τὰ U* ‖ 10 *πλείονα σύμφωνα K* ‖ 13 *διάστασιν*] *παράθεσιν U* ‖ 16 *φύσει*] *συλλαβῆς K*

ὅρον οὐκ ἔδοξεν αὐτῆς θεῖναι, οὐδὲ τῆς θέσει μακρᾶς· καὶ εἰκότως· ἐπειδή φασίν, ὅτι οὐκ ἐξ αὐτῶν εἰσίν, ἀλλὰ θέσει ἢ μακραὶ ἢ βραχεῖαι γίνονται. περιττὸν δὲ τῆς μὴ οὔσης ὅρον ἀποδοῦναι· οἱ γὰρ ὅροι τῶν ὄντων φύσει.

4) Εἷς τρόπος δέ ἐστι τῆς κοινῆς συλλαβῆς, εἰ καὶ ἁπλῶς αὐτὸς δοκεῖ τρεῖς λέγειν τρόπους, καθάπερ καὶ ὁ Διονύσιος. ὅταν γὰρ εἰς μακρὰν λήγῃ καὶ ἀπαρτίζῃ εἰς μέρος λόγου καθαρὸν καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, κοινὴ γίνεται. καὶ τοῦτο πάντως πρόδηλον ἐκ τῶν παραδειγμάτων. κεχρήμεθα δὲ αὐτῇ καὶ ἡμεῖς, ἡνίκ' ἂν ποιῶμεν τὸν ἀμφίμακρον καὶ παλιμβάκχειον πόδα.

⌊(3, 10) Ῥᾷον γὰρ γίνεται ἡ τοιαύτη κοινή, ἐὰν ἡ συλλαβὴ εἰς μέρος λόγου ᾖ πεπερατωμένη, ὡς ἐν τοῖς προκειμένοις παραδείγμασι· σπανιώτερον δὲ καὶ ἐπὶ μέσης λέξεως· οὐ μὴν ἀλλ' ὅμως εὑρίσκεται, καὶ μάλιστα ἐν τοῖς ἄλλοις μέτροις· ἐν μὲν ἰαμβικῷ Αἰσχύλος ἐν Νιόβῃ (155 N)

Ἴστρος τοιαύτας παρθένους λοχεύεται,

ἐν δὲ ἰωνικῷ τῷ ἀπὸ μείζονος Σωτάδου ἐξ Ἀδώνιδος τόδε

τίνα τῶν παλαιῶν ἱστοριῶν θέλετ' ⟨ἐπ⟩ακοῦσαι,

ἐν δὲ ἀντισπαστικῷ Ἀνακρέοντος (1, 4)

ἢ κου νῦν ἐπὶ Ληθαίου⌋.

6 Choer. 185, 7 ‖ 7 Dion. Thr. 20, 4 ‖ 14 schol. in Dion. Thr. 350, 1 sqq. Choer. GGr IV 1 p. 161, 10 sqq.

1 θεῖναι] δοῦναι schol.[A] ‖ 6 τρόπος ἐστὶ κοινῆς εἰ *U*; cf. **186, 16. 187, 23. 196, 9** ‖ 7 αὐτὸς δοκεῖ ἁπλῶς *K* | καθάπερ] ὡς *K* ‖ 8 ὁ om. *U* | **confusa doctrina**, sed nihil mutandum. Hoersch. **ante ὅταν** [illegible] putavit | μακρὰν] μακρὸν Denig ‖ 9 ἔχῃ] [illegible] πάνυ *K* ‖ 11 δὲ om. *U* ‖ 12 [illegible] ‖ 23 ἐπακοῦσαι scripsi coll.

*αὐτῆς τρόπους καὶ διαφορὰς ε΄, ἃς καὶ ὁ Διονύσιός φησι ⌊πάνυ σαφεῖς οὔσας⌋.*

*Δεῖ δὲ σημειοῦσθαι ὅτι παραφέρει εἰς παράδειγμα* (1 *συλλαβῆς ἐχούσης βραχὺ φωνῆεν ἐπιφερομένων αὐτῇ δύο συμφώνων τῆς ἑτέρας συλλαβῆς τὸ Ἕκτωρ* (p. 2,15), *πάνυ ἁρμοδίως· ἀπὸ γὰρ τοῦ ἔχω ἕξω γέγονεν, ὁ ἐχόμενος καὶ ἀντιλαμβανόμενος τῆς οἰκείας πόλεως. οὐ γάρ ἐστιν ἀπὸ τῆς ἐκ προθέσεως, ἵνα τις ὑπολάβοι τὸ κ̄ εἶναι μετὰ τοῦ ε̄ καὶ τὴν τωρ συλλαβὴν κατ' ἰδίαν. — ⌊Τὰ δὲ λοιπὰ παραδείγματα πρόδηλα.⌋*

### *Περὶ κοινῆς συλλαβῆς.* 40

Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν διφθόγγῳ ἢ μακρῷ φωνήεντι ἢ μηκυνομένῳ ἐπιφέρηται φωνῆεν, οἷον

ἄνδρα μοι ἔννεπε, ⌊μοῦσα, ὃς πολλὰ
πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν (α 1. 2)·
τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα (Δ 109)⌋.

*Καλῶς οὐχ ὡρίσατο τὴν κοινὴν συλλαβήν. οὐ γάρ ἐστιν, ἀλλὰ γίνεται. τῶν δὲ μὴ ὄντων οὐ δεῖ παρέχειν ὅρους ὡς ὄντων. ἐν μέσῳ δὲ ἀμφοῖν κειμένη κοινὴ προσαγορεύεται.*

*Ἰστέον δ' ὅτι ὁρίζονταί τινες αὐτὴν οὕτως· κοινή* (1 *ἐστι συλλαβὴ ἀμφίδοξος συλλαβῆς δύναμις, ἣ πρὸς ἀμφότερα δύναται λαμβάνεσθαι, τῷ δὲ Ἡφαιστίωνι*

3—10 cf. corrupta schol.A 97,10 ‖ 21 schol.A 98,1—3. Choer. 196, 9 sqq. schol. in Dion. Thr. 349, 33

1 *διαφορὰς*] *ἐπιφορὰς* *U* ‖ 3 *περιφέρει* *K* ‖ 4 *συλλαβὴν ἔχουσαν* *K* | *ἐπιφερομένην* *K* ‖ 5 *τῆς*] *ἐκ τῆς* *U* ‖ 8 *ἀπὸ*] *ἐκ* *K* | *ὑπολάβη* *K* ‖ 13 *διφθόγγῳ*] *συμφώνω* *K* | *ἢ* (post. l.) om. *K* ‖ 14 *φωνῆεν*] *φωνήεντι* *U* ‖ 19—189, 5 om. *U*

*ὅρον οὐκ ἔδοξεν αὐτῆς θεῖναι, οὐδὲ τῆς θέσει μακρᾶς· καὶ εἰκότως· ἐπειδή φασιν, ὅτι οὐκ ἐξ αὐτῶν εἰσίν, ἀλλὰ θέσει ἢ μακραὶ ἢ βραχεῖαι γίνονται. περιττὸν δὲ τῆς μὴ οὔσης ὅρον ἀποδοῦναι· οἱ γὰρ ὅροι τῶν ὄντων φύσει.*

4) *Εἷς τρόπος δέ ἐστι τῆς κοινῆς συλλαβῆς, εἰ καὶ ἁπλῶς αὐτὸς δοκεῖ τρεῖς λέγειν τρόπους, καθάπερ καὶ ὁ Διονύσιος. ὅταν γὰρ εἰς μακρὰν λήγῃ καὶ ἀπαρτίζῃ εἰς μέρος λόγου καθαρὸν καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, κοινὴ γίνεται. καὶ τοῦτο πάντως πρόδηλον ἐκ τῶν παραδειγμάτων. κεχρήμεθα δὲ αὐτῇ καὶ ἡμεῖς, ἡνίκ' ἂν ποιῶμεν τὸν ἀμφίμακρον καὶ παλιμβάκχειον πόδα.*

⌊(3, 10) Ῥᾷον γὰρ γίνεται ἡ τοιαύτη κοινή, ἐὰν ἡ συλλαβὴ εἰς μέρος λόγου ᾖ πεπερατωμένη, ὡς ἐν τοῖς προκειμένοις παραδείγμασι· σπανιώτερον δὲ καὶ ἐπὶ μέσης λέξεως· οὐ μὴν ἀλλ' ὅμως εὑρίσκεται, καὶ μάλιστα ἐν τοῖς ἄλλοις μέτροις· ἐν μὲν ἰαμβικῷ Αἰσχύλος ἐν Νιόβῃ (155 N)

Ἴστρος τοιαύτας παρθένους λοχεύεται,

ἐν δὲ ἰωνικῷ τῷ ἀπὸ μείζονος Σωτάδου ἐξ Ἀδώνιδος τόδε

τίνα τῶν παλαιῶν ἱστοριῶν θέλετ' ⟨ἐπ⟩ακοῦσαι,

ἐν δὲ ἀντισπαστικῷ Ἀνακρέοντος (1, 4)

ἢ κου νῦν ἐπὶ Ληθαίου⌋

6 Choer. 185, 7 | 7 Dion. Thr. 20, 4 | 14 schol. in Dion. Thr. 350, 1 sqq. Choer. GGr IV 1 p. 161, 10 sqq.

1 *θεῖναι*] *δοῦναι* schol.[A] | 6 *τρόπος ἐστὶ κοινῆς εἰ* U: cf. 186, 16. 187, 23. 196, 9 | 7 *αὐτὸς δοκεῖ ἁπλῶς* K | *καθάπερ*] *ὡς* K 8 *ὁ* om. U | confusa doctrina, sed nihil mutandum. Hoersch. ante *ὅταν* nonnulla excidisse putavit | *μακρὰν*] *μακρὸν* Denig. 9 *ἔχῃ*] *ἔχει* codd. | 10 *πάντως*] *πάνυ* K | 11 *δὲ* om. U 12 *ἡνίκα* (om. *ἂν*) U | *τὸν* om. U | 23 *ἐπακοῦσαι* scripsi coll. p. 190, 16; *ἐσακοῦσαι* Heph.

Καλῶς τοῦτό φησιν, ὅτι ῥᾷον γίνεται, ἡνίκα ἀπαρτίζῃ εἰς μέρος λόγου καθαρὸν ἡ μακρά. γίνεται γὰρ καὶ ἐν μέσῳ λέξεως καὶ ἐν ἀρχῇ λέξεως κοινή, ἀλλ' οὐχ οὕτως 'ῥᾷον' καὶ εὐχερές. καὶ φέρει ἐν διαφόροις μέτροις τὰ παραδείγματα. 41

Φησὶ τοίνυν, ὅτι ὁ Αἰσχύλος κέχρηται ἐν Νιόβῃ δράματι εἰς ἰαμβικὸν μέτρον τῇ οι ἐν ἀρχῇ λέξεως οὔσῃ κοινῇ οὕτως, ἔνθα φησὶν

Ἴστρος τοιαύτας παρθένους λοχεύεται,

(⌊συνέστειλε γὰρ τὴν τοι συλλαβὴν ἐν δευτέρᾳ βάσει ἰάμβου. ἰστέον δὲ ὅτι οὐχ οὕτως ἔχει πᾶσα ἡ χρῆσις κατὰ τὸ τέλος, ἀλλὰ

Ἴστρος τοιαύτας παρθένους ἐξεύχεται
τρέφειν ὅ θ' ἁγνὸς Φᾶσις.⌋)

Καὶ Σωτάδης ἐν Ἀδώνιδι φησὶν

τίνα τῶν παλαιῶν ἱστοριῶν θέλετ' ἐπακοῦσαι.

⌊τοῦτον δὲ τὸν Σωτάδην ἀνεῖλε Πτολεμαῖος ὁ Φιλάδελφος ἐλεγχθεὶς καὶ ὑβρισθεὶς ἐξ αὐτοῦ, ὅτι συγγεγένηται τῇ οἰκείᾳ ἀδελφῇ ὁ Πτολεμαῖος.⌋ — Ἔστι δὲ τὸ μέτρον ἰωνικὸν ἀπὸ μείζονος. γίνεται δὲ τὸ καθαρὸν ἰωνικὸν ἀπὸ μείζονος ἀπὸ σπονδείου καὶ πυρριχίου ἕως ἔξω. ἔστι δ' ὅτε ἡ ⟨πρώτη⟩ μακρὰ εἰς δύο βραχείας διαλύεται, [ἔστι δ' ὅτε τὴν πρώτην συλλαβὴν μόνην] ὥστε τὸ σχῆμα γενέσθαι τοιοῦτον· ἀπὸ δύο βραχειῶν καὶ μακρᾶς, εἶτα ἀπὸ δύο βραχειῶν τὴν δευτέραν βάσιν καὶ λοιπὸν ἐφεξῆς. καὶ καλεῖται τὰ

1 ἰστέον δὲ ὅτι καλῶς φησί *K* ‖ 3 ἐν μέσῳ] ἐν μέτρῳ *K* | ἐν ἀρχῇ] ἀρχὴ *U* ‖ 4 ῥάων καὶ εὐχερῆς *U* ‖ 5 μέτροις om. *U* ‖ 6 κέχρηται Αἰσχύλος *K* ‖ 8 οὕτως om. *K* ‖ 15 ἔνθα ante φησὶν add. *U* ‖ 18/19 συγγεγένηται Hoersch., συγγένηται *U*, συγγίνοιτο schol.[A] p. 99,10 ‖ 22 ἕως ἔξω *K*, ἕως ἔξω τοῦτο δ' ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν *U*, καὶ ἐφεξῆς Hoersch. | πρώτη inserui ‖ 23 ἔστι — 24 μόνην delevi; post μόνην add. Stud. ἔχει διαλελυμένην | μόνην συλλαβὴν *U* ‖ 24 γίνεσθαι *K* ‖ 26 λοιπὸν om. *K* | τὰ om. *U*

τὸ τοιοῦτον σχῆμα ἔχοντα κοινὴ λύσις· [τὸ αὐτὸ καὶ ἐπὶ τῆς πέμπτης βάσεως ἐστὶν ἐνταῦθα· ἀπὸ γὰρ μακρᾶς καὶ δύο βραχειῶν ἐστι] κοινὴ γὰρ εὑρίσκεται τοῦ ἀπὸ μείζονος καὶ τοῦ ἀπ' ἐλάσσονος ἰωνικοῦ μέτρου. οὐσῶν γὰρ δύο μακρῶν καὶ δύο βραχειῶν, ἐὰν τὴν
2 πρώτην λύσω μακρὰν εἰς δύο βραχείας, ἡ κοινὴ γίνεται λύσις. καὶ τοὐναντίον εἰς τὸ ἀπ' ἐλάσσονος, ἐὰν αἱ δύο βραχεῖαι εἰς μίαν συνέλθωσι μακράν [ἡ κοινὴ γίνεται λύσις] καὶ τὴν δευτέραν μακρὰν τοῦ σπονδείου ποδὸς διαλύσω, τὸ αὐτὸ σχῆμα δείκνυται. καὶ διὰ τοῦτο κοινὴ λύσις προσαγορεύεται. — Πόθεν οὖν δῆλον, ὅτι ἰωνικόν ἐστιν ἀπὸ μείζονος; λέγομεν ὅτι ἐκ τῆς δευτέρας καὶ τρίτης συζυγίας ὡμολόγηται, ὅτι ἐκεῖναι ἀπὸ μακρᾶς ἄρχονται· ἡ δὲ μακρὰ ἀρκτική ἐστι τοῦ ἀπὸ μείζονος ἰωνικοῦ. — Ἔστιν οὖν τοῦτο τὸ μέτρον ἰωνικὸν ἀπὸ μείζονος τετράμετρον βραχυκατάληκτον. τετράμετρον δέ ἐστι βραχυκατάληκτον, ἐπεὶ τέσσαρας πόδας ἔχει τετρασυλλάβους παρὰ δύο συλλαβάς (διὸ καὶ βραχυκατάληκτον λέγεται)· ἔστι γὰρ ἡ πρώτη συζυγία πεντασύλλαβος (κατὰ διποδίαν γὰρ μετρεῖται), ἐκ τῆς κοινῆς λύσεως τὸν πρῶτον πόδα τρισύλλαβον ἔχουσα. — Ἀλλ' ἡ πέμπτη συλλαβὴ διὰ διφθόγγου γράφεται ἡ λαι, καὶ δοκεῖ εἶναι τὸ μέτρον χωλόν. ἀλλὰ λαμβάνομεν αὐτὴν κοινήν, λήγουσαν μὲν (τὴν συλλαβήν, οὐ μὴν τὴν λέξιν) εἰς φωνῆεν καὶ τὴν

1 κοινὴ λύσις] cf. schol. Pind. Ol. I p. 12, 21

1 λύσις] λέξις K ‖ 1 τὸ αὐτὸ — 3 ἐστι delevi ‖ 3 post ἐστι add. U ἐνταῦθα | κοινὸν U | pro τοῦ bis τὸ U ‖ 4 μέτρον ἰωνικοῦ K ‖ 6 πρώτην] μίαν K ‖ 7 εἰς τὸ] εἰσι καὶ K | ἐὰν] ἐὰν γὰρ K ‖ 8 ἡ — 9 λύσις delevi ‖ 9 ante τὴν in K εἰ supra lin. ‖ 13 συζυγίας καὶ τρίτης K ‖ 14 ἐκεῖναι] κἀκεῖνα K ‖ 15 οὖν τοῦτο om. U ‖ 18 παρὰ] περὶ δὲ U | τετρασυλλάβους post συλλαβάς ponit K ‖ 19 καὶ et λέγεται om. U ‖ 21 τῆς om. K

*ἑξῆς ἔχουσαν ἀπὸ φωνήεντος ἀρχομένην, τὴν* $\overline{\textit{ων}}$, *ὥστε πάλιν καὶ κατὰ μέσην λέξιν γίνεσθαι κοινήν.*

(3, 19) Ἦ κου νῦν ἐπὶ Ληθαίου;
*τοῦτο Ἀνακρέοντος* (1, 4) *ἐστὶν ἀντισπαστικὸν μέτρον. ἔστι δὲ τὸ ἀντισπαστικόν, ὅτι ἀπὸ σπονδείου ἄρχεται καὶ τροχαίου, ὡς ἐν τῷ*

*γουνοῦμαί σ' ἐλαφηβόλε* (Anacr. 1, 1)·

*ὁ δεύτερός ἐστι ποὺς διίαμβος, τῆς τελευταίας ἀδιαφορούσης. ἐνταῦθα οὖν ἡ* $\overline{\textit{θαι}}$ *συλλαβὴ τοῦ Ληθαίου ἐν μέσῳ λέξεως κοινή ἐστιν, ἀντὶ βραχείας παραλαμβανομένη.*

(3, 20) ⌊Ἐν δὲ τοῖς ἔπεσι σπανιώτερον⌋. —
*Λέγει ὅτι καὶ ἐν ἔπεσιν, ἤγουν ἡρωικοῖς μέτροις, γίνεται, σπανιώτερον δὲ ἐπὶ τούτων. ὅμως δὲ γίνεται καὶ ἐν ἐλεγείοις· ὅτι δὲ σπάνιον, φησί, δῆλον. Σοφο-* 43
*κλῆς γὰρ μὴ δυνάμενος, ἐγκωμιάζων τὸν Ἀρχέλαον, εἰς ἐλεγεῖον θεῖναι τὸ ὄνομα αὐτοῦ τοῦ Ἀρχελάου, ὅτι ἀμφίμακρον ποιεῖ ἀκάθαρτον (οὐ γὰρ ἀπήρτιζεν εἰς μέρος λόγου ἡ* $\overline{\textit{λα}}$ *συλλαβὴ μακρὰ οὖσα, ἵνα ποιήσῃ κοινήν), συνέστειλεν αὐτὴν καὶ ἐποίησεν ἀττικῶς Ἀρχέλεως.* ὁμοίως *καὶ Παρθένιος, εἰς Ἀρχελαΐδα γράφων καὶ μὴ θέλων ἐν ἐλεγείοις ποιεῖσθαι ἐν μέσῳ λέξεως κοινήν, ἀντὶ ἐλεγείου ἴαμβον ἐποίησεν οὕτως*

*ἀμυσχρὸν οὔνομ' ἔσσετ' Ἀρχελαΐδος* (Heph. p. 4,7).

3 *ἤ κου*] *οἴκου* (corr. ex *ὅ.κου*) *K* ‖ 4 *τοῦτο*] *τοῦ* *K* ‖ 5 *τὸ* del.? Hoersch. | *ὅτι* Hoersch., *ὅτε* codd. ‖ 6 *ὡς* om. *U* ‖ 8 *διίαμβος*] *ἴαμβος* *U* ‖ 13 *λέγει οὖν ὅτι ἐν* *K* | *ἤγουν*] *οἱονεὶ* *K* ‖ 14 *σπανιωτέρα* *K* ‖ 15 *ἐν ἐλεγείοις*] *ἐλεγείαις* (ex *ἐνεγείαις* fact.) *U* | *ὁ γὰρ Σοφοκλῆς ἐγκωμιάζων τὸν ἀρχέλαον καὶ μὴ δυνάμενος τὸ ὄνομα αὐτοῦ εἰς ἐλεγείαν θεῖναι, ἀμφίμακρον* *K* ‖ 16 *ἐγκωμιάζειν* *U* ‖ 17 *θεῖναι* *K*, *ἐλθεῖν· καὶ* *U*, fort. *ἐνθεῖναι* ‖ 19 *εἰς μέρος λόγου* om. *K* ‖ 20 *συνέστειλεν*] *συνέστειλε δὲ* *K* ‖ 21 *καὶ* om. *U* | 22 *ἐν ἐλεγείοις*] *ἐν τῇ ἐλεγείᾳ* *U* | *ποιεῖσθαι*] *ποιῆσαι* *K* ‖ 23 *ἐλεγείου* scripsi, *ἐλεγείας* codd. | *ἰαμβικὸν* *U* | *οὗτος* *U* ‖ 24 *ἔσσετ'* Heph., *ἔσετ'* *K*, *ἐστὶν* *U*

περὶ τόνων δείκνυται, αὗται πρὸς ἕνα ἥμισυ μόνον ἔχουσι χρόνον, τῆς φύσει μακρᾶς δύο ἐχούσης, ὅθεν καὶ ἐπὶ τέλους οὖσαι ἔχουσι πολλάκις τὸν προπαροξύτονον τόνον.

(5, 10) Εἶτα φέρει παράδειγμα ὁ τεχνικὸς καὶ ἐπὶ τῆς υ̅ι̅ διφθόγγου· ἥτις πάλιν ἔχει ἀπολογίαν ὅτι ἀσθενεστέρα ἐστίν, ὡς ἐκ δύο ὑποτακτικῶν, τοῦ ῡ καὶ τοῦ ῑ, συνεστηκυῖα· ὅθεν οὐδέποτε ἐν τέλει λέξεως εὑρίσκεται, ⌊καὶ εὐλόγως ὅτι οὐκ ἐν τέλει λέξεως⌋, ἀλλ' ἐν μέσῳ τὴν κοινὴν ἐποίησεν. Ἔστι δ' εὑρεῖν τὴν ο̅υ̅ δίφθογγον ὡσαύτως ποιοῦσαν κοινήν, οἷον παρὰ Ἀριστοφάνει (Nub. 838)

ὥσπερ τεθνεῶτος καταλούει μου τὸν βίον·

τὴν γὰρ λ̅ο̅υ̅ συλλαβὴν ἐν τετάρτῳ ποδὶ ἰάμβου συνέστειλεν. Ὁμοίως καὶ τὴν ε̅υ̅ εὑρίσκομεν ποιοῦσαν κοινήν, οἷον ἐν τῷ πρώτῳ ἰάμβῳ Ἱππώνακτος, ἔνθα φησὶ

μακάριος ὅστις θηρεύει † πρήσας (22[a])·

τὴν ρ̅ε̅υ̅ ἐν τετάρτῳ ποδὶ συνέστειλε· καὶ πάλιν ὁ αὐτὸς ἐν δευτέρῳ ποδὶ τὴν ε̅υ̅

καίτοι γ' εὔωνον αὐτὸν εἰ θέλεις δώσω (22[b])·

⌊εἶτα πάλιν ὁ αὐτὸς

ἐκέλευε βάλλειν καὶ λεύειν Ἱππώνακτα

τὴν λ̅ε̅υ̅ ἐν τετάρτῳ ποδί· λεύειν δέ φησιν ἀντὶ τοῦ λιθοβολεῖν⌋.

Ἰστέον δὲ ὅτι ἡ τοῦ ποιητοῦ χρῆσις ἡ ἔχουσα τὴν ο̅ι̅, ⌊ἣν παραφέρει ὁ τεχνικός (5, 1. *N* 275), ἐναντιοῦ-

6 Prisc. GL II 28, 15

1 ἥμισυν Hoersch. ‖ 4 τόνον om. *U* ‖ 5 ὁ τεχνικὸς παραδείγματα ἐπὶ *K* ‖ 6 υ̅ι̅] ο̅ι̅ *U*, η̅ *K* | ἥτις] οὕτως *U* ‖ 7 ὡς om. *U* ‖ 7—8 τῆς ῡ καὶ ῑ *K* ‖ 9 καὶ — λέξεως om. *K* ‖ 10 τὴν (post. l.) om. *U* ‖ 11 ὡσαύτως om. *K* ‖ 13 καταλύει *U* ‖ 14 μ̅ο̅υ̅ *U* ‖ 18 μακης ὅ τις *U* | πρήσας om. *K* ‖ 21 καί τι γ' εὔγονον U ‖ 26 δὲ] οὖν U

ται τῷ λόγῳ Ἡρωδιανοῦ τῷ ὅτι οὐδέποτε ἐν παλιμβακχείῳ ἔστιν εὑρεῖν, τὴν οι ἀντὶ βραχείας παραλαμβανομένην, ἀλλ' ἐν ἀμφιμάκρῳ, ὡς ἐν τῷ

δρῶν ἄειδε τοιαῦτα (4, 17)

καὶ τοῖς ὁμοίοις. ὁ δ' Ἡλιόδωρος ἔλεγεν αὐτὸ κατὰ (10 συνίζησιν. εὑρίσκεται δ' ἁπλῶς ἐν μέσῳ λέξεως κοινὴ καὶ ἐν παλιμβακχείῳ, ὡς καὶ παρὰ Τυρταίῳ 'ἥρωες' (17)· οὕτω γὰρ ἔλαβε τὸν δεύτερον πόδα τοῦ στίχου.

Ἰστέον δὲ ὅτι τῆς κοινῆς συλλαβῆς ὁ Ἡφαιστίων (10 ὅρον οὐκ εἶπεν, οὐ γάρ ἐστι κοινή· διὸ καλῶς φησὶ (3, 4) γίνεται δὲ κοινὴ καὶ οὐκ ἔστιν· ὅτι γὰρ οὐκ ἔστιν οὐδεμία συλλαβὴ κοινή, δῆλον· εἰ γάρ τις ἡμᾶς ἐρωτήσει, ποία ἐστὶ συλλαβὴ μακρά, ἀποφαντικῶς ἐροῦμεν ἡ μη καὶ ἡ βω, ὁμοίως καὶ βραχεῖα ἡ με καὶ ἡ βο. καὶ πάλιν μακρὰ ἡ χθη καὶ ⟨ἡ⟩ μοι· καὶ ὅμως ὁ ποιητὴς ἑκατέρᾳ τούτων ἐν τῷ 46

πλάγχθη ἐπεὶ Τροίης (α 2),

καὶ ἐν τῷ

ἄνδρα μοι ἔννεπε μοῦσα (α 1)

ὡς βραχείᾳ κέχρηται· καὶ ὅμως οὐκ εἰσὶ βραχεῖαι, ἀλλὰ κοιναὶ γίνονται. τοῦτο καὶ ἐπὶ πάσης κοινῆς.

Ἰστέον ὅτι τῶν τεχνικῶν καὶ μετρικῶν λεγόντων (1( περὶ τῆς φύσει μακρᾶς μὴ θέλειν αὐτὴν τὴν μακρὰν εἰς φωνῆεν καταλήγειν καὶ τὴν ἑξῆς ἔχειν ἀπὸ φωνήεντος ἀρχομένην, ἀλλὰ πάντως ἔχειν μεταξὺ σύμφω-

1 Herodianus et Heliodorus schol. in Dion. Thr. 351, 23 || 12 schol. in Dion. Thr. 349, 27

2 οι om. *K* || 3 ἐν τῷ] τὸ *U* || 7 καὶ (post. l.) om. *U* ἥρωος *U* || 8 οὗτος *U* || 9 pertinent haec ad 188, 19 | συλλαβῆς om. *U* || 10 ὅρον οὐκ εἶπεν] οὐδαμῶς *K* || 12 κοινὴ συλλαβὴ *K* || 13 ἐστὶ] ἐστὶ κοινὴ *U* | ἀπὸ φαντικῇ (om. ἐροῦμεν) *U* || 14 ἡ βω] ἡ om. *K* | ἡ βραχεῖα ἡ *U* || 16 ἐν τῷ om. *U* || 22 πρᾶξις δευτέρα· περὶ φύσει μακρᾶς *U*, sed enumeratio capitum in *U* perversa | τῶν om. *U* || 23 τῆς om. *U*

*νον (τότε γὰρ οὐ γενήσεται μακρά, ἡνίκα ἐστὶ καθαρά, ἀλλὰ κοινή), λέγει ὁ Ἡλιόδωρος βοηθεῖσθαι τῷ τοιούτῳ τρόπῳ καὶ μεῖναι αὐτὴν μακρὰν καὶ μὴ γίνεσθαι κοινὴν κατὰ η′ τρόπους. πρῶτον μέν, ὅτε στιγμὴ ἐπιφέρεται αὐτῇ τῇ μακρᾷ οἷον*

1) *ἀθάνατοι· οὐδ' εἴ τις ἀπόπροθι δώματα ναίει* (ε 80).

*δεύτερον δέ, ἐὰν αὐτὴ ἡ μακρὰ περισπᾶται οἷον*

*τῷ Ἀσκληπιάδῃ, ⌊ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός* (Δ 614).

*τρίτον, ἐὰν τῇ μακρᾷ περισπωμένῃ ἐπιφέρηται⌋*

*ἐσθλὸν δ' οὐδέ τι πω εἶπας ἔπος οὐδ' ἐτέλεσσας* (Α 108)·

*τὸ γὰρ εἶπας περισπᾶται.*

*τέταρτον, ἐὰν ὀξεῖα ἐπιφέρηται οἷον*

*πῇ ἔβη Ἀνδρομάχη λευκώλενος* (Ζ 377).

*πέμπτον, ἐὰν δασυνομένη λέξις ἐπιφέρηται οἷον*

*δόμεναι ἑλικώπιδα κούρην* (Α 98)·

*τὸ γὰρ ἑλικώπιδα ἐπιφέρεται δασυνόμενον.*

*ἕκτον, ὅτε συγκρουσμὸς καὶ συνέχεια ἔστι συναλοιφῆς γινομένης*

*Ἰδαῖ', Ἕκτορι ταῦτα κελεύετε μυθήσασθαι* (Η 284)·

*Ἰδαῖε γάρ ἐστι τὸ ἐντελές.*

*ἕβδομον, ὅτε ὁ ἢ διαζευκτικὸς † ἐπιφέρεται*

*ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεύς* (Α 145)·

47 *περὶ τῆς* $\overline{ας}$ *φησι συλλαβῆς· τοῦτο δὲ δεῖ παρατηρῆσαι, ὅτι πρὸ τοῦ* $\overline{η}$ *κεῖται σύμφωνον ἐν τῷ* $\overline{ας}$, *καὶ ὅμως*

1 *ἡνίκα*] *ἵνα* *K* ‖ 2 *βοηθῆσαι* *K* ‖ 2—3 *τὸν τοιοῦτον τρόπον* *U* ‖ 4 *ὅτε* Gaisf., *ὅτι* codd. ‖ 10 *ἐσθλὸν*] *ἐλθὼν* *K* | *εἶπες* *U* | *ἔπος* om. *K* | *ἐτέλεσας* codd. ‖ 12 *εἶπες* *U* | *περισπᾶται* om. *K*, lac. ind. *K*² ‖ 13 *τέταρτον δὲ* *U* ‖ 17 *ἐπιφέρει* *K* ‖ 18 *ὅταν* *U* ‖ 20 *ταῦτα κελεύεται* *U*, *κελεύει ταῦτα* *K* ‖ 22 *ἐπιφέρηται* *U* | Heliodorus haec fere scripsisse videtur *ὅτε τῷ ἢ διαζευκτικῷ ἐπιφέρεται φωνῆεν*; Choeroboscus, qui corrupta ut nunc sunt legit, perversam addidit explicationem 24—198, 2 ‖ 24 *περὶ δὲ τῆς* $\overline{ας}$ *συλλαβῆς τοῦτο φησί· δεῖ* *K*

ται τῷ λόγῳ Ἡρωδιανοῦ τῷ ὅτι οὐδέποτε ἐν παλιμβακχείῳ ἔστιν εὑρεῖν⌋ τὴν οι ἀντὶ βραχείας παραλαμβανομένην, ἀλλ' ἐν ἀμφιμάκρῳ, ὡς ἐν τῷ

δρῶν ἄειδε τοιαῦτα (4, 17)

καὶ τοῖς ὁμοίοις. ὁ δ' Ἡλιόδωρος ἔλεγεν αὐτὸ κατὰ (10 συνίζησιν. εὑρίσκεται δ' ἁπλῶς ἐν μέσῳ λέξεως κοινὴ καὶ ἐν παλιμβακχείῳ, ὡς καὶ παρὰ Τυρταίῳ 'ἥρωες' (17)· οὕτω γὰρ ἔλαβε τὸν δεύτερον πόδα τοῦ στίχου.

Ἰστέον δὲ ὅτι τῆς κοινῆς συλλαβῆς ὁ Ἡφαιστίων (10 ὅρον οὐκ εἶπεν, οὐ γάρ ἐστι κοινή· διὸ καλῶς φησὶ (3, 4) γίνεται δὲ κοινὴ καὶ οὐκ ἔστιν· ὅτι γὰρ οὐκ ἔστιν οὐδεμία συλλαβὴ κοινή, δῆλον· εἰ γάρ τις ἡμᾶς ἐρωτήσει, ποία ἐστὶ συλλαβὴ μακρά, ἀποφαντικῶς ἐροῦμεν ἡ μη καὶ ἡ βω, ὁμοίως καὶ βραχεῖα ἡ με καὶ ἡ βο. καὶ πάλιν μακρὰ ἡ χθη καὶ ⟨ἡ⟩ μοι· καὶ ὅμως ὁ ποιητὴς ἑκατέρᾳ τούτων ἐν τῷ 46

πλάγχθη ἐπεὶ Τροίης (α 2),

καὶ ἐν τῷ

ἄνδρα μοι ἔννεπε μοῦσα (α 1)

ὡς βραχείᾳ κέχρηται· καὶ ὅμως οὐκ εἰσὶ βραχεῖαι, ἀλλὰ κοιναὶ γίνονται. τοῦτο καὶ ἐπὶ πάσης κοινῆς.

Ἰστέον ὅτι τῶν τεχνικῶν καὶ μετρικῶν λεγόντων (10 περὶ τῆς φύσει μακρᾶς μὴ θέλειν αὐτὴν τὴν μακρὰν εἰς φωνῆεν καταλήγειν καὶ τὴν ἑξῆς ἔχειν ἀπὸ φωνήεντος ἀρχομένην, ἀλλὰ πάντως ἔχειν μεταξὺ σύμφω-

1 Herodianus et Heliodorus schol. in Dion. Thr. 351, 23 ‖ 12 schol. in Dion. Thr. 349, 27

2 οι om. *K* ‖ 3 ἐν τῷ] τὸ *U* ‖ 7 καὶ (post. l.) om. *U* | ἥρωος *U* ‖ 8 οὗτος *U* ‖ 9 pertinent haec ad 188, 19 | συλλαβῆς om. *U* ‖ 10 ὅρον οὐκ εἶπεν] οὐδαμῶς *K* ‖ 12 κοινὴ συλλαβὴ *K* | 13 ἐστὶ] ἐστὶ κοινὴ *U* | ἀπὸ φαντικῇ (om. ἐροῦμεν) *U* ‖ 14 ἡ βω] ἡ om. *K* | ἡ βραχεῖα ἡ *U* ‖ 16 ἐν τῶ om. *U* ‖ 22 πρᾶξις δευτέρα· περὶ φύσει μακρᾶς *U*, sed enumeratio capitum in *U* perversa | τῶν om. *U* ‖ 23 τῆς om. *U*

*νον (τότε γὰρ οὐ γενήσεται μακρά, ἡνίκα ἐστὶ καθαρά, ἀλλὰ κοινή), λέγει ὁ Ἡλιόδωρος βοηθεῖσθαι τῷ τοιούτῳ τρόπῳ καὶ μεῖναι αὐτὴν μακρὰν καὶ μὴ γίνεσθαι κοινὴν κατὰ η′ τρόπους. πρῶτον μέν, ὅτε στιγμὴ ἐπιφέρεται αὐτῇ τῇ μακρᾷ οἷον*

)1) *ἀθάνατοι· οὐδ' εἴ τις ἀπόπροθι δώματα ναίει* (ε 80).

*δεύτερον δέ, ἐὰν αὐτὴ ἡ μακρὰ περισπᾶται οἷον*

*τῷ Ἀσκληπιάδῃ, ⌊ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός* (*Δ* 614).

*τρίτον, ἐὰν τῇ μακρᾷ περισπωμένῃ ἐπιφέρηται⌋*

*ἐσθλὸν δ' οὐδέ τι πω εἶπας ἔπος οὐδ' ἐτέλεσσας* (*Α* 108)·

*τὸ γὰρ εἶπας περισπᾶται.*

*τέταρτον, ἐὰν ὀξεῖα ἐπιφέρηται οἷον*

*πῆ ἔβη Ἀνδρομάχη λευκώλενος* (Ζ 377).

*πέμπτον, ἐὰν δασυνομένη λέξις ἐπιφέρηται οἷον*

*δόμεναι ἑλικώπιδα κούρην* (*Α* 98)·

*τὸ γὰρ ἑλικώπιδα ἐπιφέρεται δασυνόμενον.*

*ἕκτον, ὅτε συγκρουσμὸς καὶ συνέχεια ἔστι συναλοιφῆς γινομένης*

*Ἰδαῖ', Ἕκτορι ταῦτα κελεύετε μυθήσασθαι* (*Η* 284)·

*Ἰδαῖε γάρ ἐστι τὸ ἐντελές.*

*ἕβδομον, ὅτε ὁ ἢ διαζευκτικὸς † ἐπιφέρεται*

*ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεύς* (*Α* 145)·

47 *περὶ τῆς* $\overline{ας}$ *φησι συλλαβῆς· τοῦτο δὲ δεῖ παρατηρῆσαι, ὅτι πρὸ τοῦ* $\overline{η}$ *κεῖται σύμφωνον ἐν τῷ* $\overline{ας}$, *καὶ ὅμως*

1 *ἡνίκα*] *ἵνα* *K* ‖ 2 *βοηθῆσαι* *K* ‖ 2—3 *τὸν τοιοῦτον τρόπον* *U* ‖ 4 *ὅτε* Gaisf., *ὅτι* codd. ‖ 10 *ἐσθλὸν*] *ἐλθὼν* *K* | *εἶπες* *U* | *ἔπος* om. *K* | *ἐτέλεσας* codd. ‖ 12 *εἶπες* *U* | *περισπᾶται* om. *K*, lac. ind. *K*[2] ‖ 13 *τέταρτον δὲ* *U* ‖ 17 *ἐπιφέρει* *K* ‖ 18 *ὅταν* *U* ‖ 20 *ταῦτα κελεύεται* *U*, *κελεύει ταῦτα* *K* ‖ 22 *ἐπιφέρηται* *U* | Heliodorus haec fere scripsisse videtur *ὅτε τῷ ἢ διαζευκτικῷ ἐπιφέρεται φωνῆεν*; Choeroboscus, qui corrupta ut nunc sunt legit, perversam addidit explicationem 24—198, 2 ‖ 24 *περὶ δὲ τῆς* $\overline{ας}$ *συλλαβῆς τοῦτο φησί· δεῖ* *K*

*ὥσπερ ⟨περὶ⟩ ἀμφιβαλλομένης καὶ οὐκέτι ὁμολογουμένης μακρᾶς φησὶν ὁ Ἡλιόδωρος.*

*ὄγδοον, ὅτε τὸ ῑ ἐπιφέρεται οἷον*

*ἡ δὲ μολυβδαίνῃ ἰκέλη εἰς βυσσὸν ὄρουσεν* (Ω 80).

(5, 13) Δεύτερος δέ ἐστι τρόπος, ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται ἐν τῇ ἑξῆς συλλαβῇ δύο σύμφωνα, ὧν τὸ μὲν πρῶτον ἄφωνόν ἐστι, τὸ δὲ δεύτερον ὑγρόν, οἷον ὅπλον, ἄκρον, (1(

⌊Πάτροκλέ μοι δειλῇ⌋ (Τ 287)

καὶ τὰ ἑξῆς.

⌊*Ἐνταῦθα τοὺς ἄλλους δύο τρόπους τῆς κοινῆς βούλεται ἐξετάσαι· τὸν γὰρ πρῶτον ἐν τῇ προλαβούσῃ διεξήλθομεν πράξει. ἔστιν οὖν ὁ δεύτερος τρόπος οὕτως, ὅτι γίνεται κοινή, ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι οἱονεὶ διχρόνῳ ἐπιφέρηται δύο σύμφωνα ἐν συλλήψει, ὧν τὸ πρῶτον ἔστι τῶν θ' ἀφώνων, τὸ δεύτερον ὑγρὸν οἱονεὶ ἓν τῶν δ' ἀμεταβόλων οἷον ὅπλον, ἄκρον, Πάτροκλε καὶ τὰ ὅμοια.*⌋ *Καλῶς δὲ πρόσκειται 'ἐν συλλήψει'· ἐὰν γὰρ ὦσιν ἐν διαστάσει, οὐ ποιοῦσι κοινήν, ἅτε δὴ τοῦ διαστήματος ἐν τῷ διαχωρίζειν τὰ σύμφωνα μείζονος γινομένου καὶ μὴ οὔσης ὀλισθηρᾶς καὶ συντόμου ⟨τῆς⟩ φωνῆς ὥστε δύνασθαι λαθεῖν.*

*Εἶτα ζητοῦσί τινες, διὰ τί μὴ τὰ δύο ὅμοια ποι-*

24 Choer. in Theod. G Gr IV 2 p. 78, 15 sqq. schol. in Dion. Thr. 350, 19—351, 13. Ar. Quint. 30, 15 sqq. Mar. Vict. G L VI 38, 9 sqq.

1 *περὶ* add. Caes. ‖ 3 *ὄγδοος τρόπος* *U* | *οἷον* om. *U* ‖ 4 *εἰς βυθὸν* *K* ‖ 5 *βραχεῖ* Heph., *βραχὺ* codd. ‖ 7 *δύο σύμφωνα* om. *K*, *σύμφωνα δύο* Heph. | *πρῶτον*] *πρότερον* *U* ‖ 9 *π. μ. δ.* om. *K* ‖ 10 *καὶ τὰ ἑξῆς* om. *U* ‖ 15 *ἐπιφέρεται* *U* ‖ 18 *δὲ* om. *K* ‖ 19 *τῇ συλλήψει* *U* | *γὰρ* om. *U* | *εἰσιν* *K* ‖ 21 *χωρίζειν* *U* | *σύμφωνα δὲ* *U* | *γενομένου* *U* ‖ 22 *καὶ συντόμου*] *ἐν συντόμου* *K*, *ἐν συντόμῳ* Westph. | *τῆς* ins. Wilam. ‖ 24 εἶτα ζητοῦσι] ζητοῦσι δὲ K

οὖσι κοινήν, λέγω δὴ δύο ἡμίφωνα ἢ δύο ἄφωνα ἢ δύο ἀμετάβολα. Καὶ λέγομεν περὶ τῶν ἡμιφώνων, ὅτι ὅλως ἡμίφωνον οὐ προηγεῖται ἡμιφώνου κατὰ σύλληψιν, εἰ μὴ σπανίως καὶ εἴς τινα κατὰ πάθος τὸ σ̄ τοῦ λ̄ μ̄ ν̄, ὥσπερ αὐτός φησι τὸ Μάσνης καὶ Πάσ-
18 νης· εἶτα καὶ ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου φησὶν τὸ Δασλῆρα· (ἔστι δὲ λίμνη Κυρήνης τῆς πενταπόλεως, ὅθεν ἦν ὁ Καλλίμαχος). τὸ γὰρ κατὰ τὸ τέλος ἔχον ἔμπαλιν τὸ λ̄ τοῦ σ̄ προηγούμενον [πάλιν] δι' ἀνάγκην ἅλς καὶ τὸ ν̄ Τίρυνς καὶ τὸ ρ̄ μάκαρς. κατὰ πάθος δὲ τὸ μάσλης ἀπὸ τοῦ μάσθλης καὶ τὸ ἐσλὸς ἀπὸ τοῦ ἐσθλός. — Περὶ δὲ τῶν ἀφώνων ἔστιν εἰπεῖν, ὅτι ἀσθενέστερά εἰσι μᾶλλον τῶν ἄλλων στοιχείων καὶ εὑρέθη ποιοῦντα σπανίως κοινὴν ἐν αὐτοῖς τὸ π̄ τ̄ καὶ τὸ κ̄ τ̄, οἷον παρὰ τῷ ποιητῇ (δ 229)

Αἰγυπτίη τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα.

⌊καὶ πάλιν παρὰ Ἱππώνακτι ἐν τετάρτῳ ποδὶ ἰάμβου

δοκέων ἐκεῖνον τῇ βακτηρίᾳ κόψαι.

καὶ πάλιν παρὰ τῷ αὐτῷ

ἡμίεκτον αἰτεῖ τοῦ φάλεω †κολάψαιε.⌋

εἶτα καὶ ὅτι τῷ λόγῳ τῆς κοινῆς οἱονεὶ βραχείας τὸ

6 Herodian. I 260, 22. Et. Mag. 249, 15 (= Herod. II 396, 19 sqq.) ‖ 11 Herod. II 393, 28. 395, 25. 715, 28 ‖ 14 AP IV 226, 10. AO IV 414, 19. Choer. in Theod. GGr IV 2 p. 79, 8 sqq.

2 *δύο* om. *K* ‖ 3 *ὅτι*] *ὡς* *K* ‖ 5 *σ τοῖς ἀμεταβόλοις ὑποτάσσεται τῷ λ̄ μ̄ ν̄ ρ̄* *K* | *μ̄ ν̄* om. *U* | *Μάσνης* Hoersch., *μάσλης* *UK* ‖ 6 *ἡρωδιανὸς φησὶν ἐν τῇ καθόλου· τὸ δὲ δάσληρα* *K* ‖ 8 *τὸ*] *τὰ* *K* | *ἔχον* scripsi, *ἔχουτ* *U* | *ἔμπαλιν ἔχοντα* *K* ‖ 9 *πάλιν* del. Wilam. ‖ 10 *ἅλς*] *δι' ἀνάγκην γὰρ τὸ ἅλς* *K* | *καὶ τύρνις καὶ μάκαρς* *K* | *καὶ* (ultim.) om. *U* ‖ 11 *δὲ*] *δὲ ὡς* *K* | *τὸ* (post. l.) om. *K* ‖ 12 *ἔστιν* om. *K* ‖ 14 *εὑρέθησαν σπανίως ποιοῦντα* *K* | *τὴν κοινὴν* *U* ‖ 15 *π̄ τ̄ καὶ*] *π̄* *U*, *π̄ τὸ τ̄ καὶ* *K* | *οἷον*] *ὡς* *K* ‖ 16 *φέρη πλεῖστα* *K* ‖ 17 *τετάρτῳ ποδὶ ἰάμβου* Studem., *τῷ τρόπῳ ἴαμβον* *U* ‖ 18 *ἐκτεῖνον* *U*

⟨κ̄ τ̄ καὶ⟩ τὸ π̄ τ̄ διπλασιάζεται τὸ κέκτηκα καὶ πέπτωκα, εἰ μὴ ἄρα κατὰ συγκοπὴν γέγονεν, ὡς ἐν τῷ περὶ ῥημάτων ἐδείχθη. — Περὶ δὲ τῶν ἀμεταβόλων ἔστιν εἰπεῖν, διὰ τί μὴ τὰ δύο ὑγρὰ ὀλισθηρὰ ὄντα ποιοῦσι κοινήν, ὅτι μήποτ' εὐλόγως. οὐ τοσοῦτον γάρ ἐστιν ὀλισθηρὰ τὰ β' ὑγρὰ ἢ ὅσον ὑγρὸν καὶ ξηρόν, ὡς ἡνίκα ἐστὶ τὸ ὑγρὸν κάτωθεν, τὸ δὲ ξηρὸν ἄνωθεν. οἷον ἔστι λαβεῖν παράδειγμα ἐπὶ τοῦ λεπύρου τοῦ πέπονος· ὅτι ἐὰν ἑστῶσι δύο ὑγρὰ καὶ ἄνωθεν καὶ κάτωθεν καὶ πατήσῃ τις αὐτά, οὐκ ὀλισθαίνει οὐδὲ πίπτει. ὡσαύτως καὶ ἐὰν κάτωθεν ᾖ τὸ ξηρὸν τοῦ λεπύρου, τὸ δὲ ὑγρὸν ἄνωθεν. εἰ δὲ τοὐναντίον κάτωθέν ἐστι τὸ ὑγρόν, ἄνωθεν δὲ τὸ ξηρὸν καὶ πατήσει τις αὐτό, εὐχερῶς ὀλισθαίνει καὶ πίπτει. οὕτως 49
οὖν καὶ ἐνταῦθα ἐπειδὴ ἄνωθέν ἐστι τὸ ξηρὸν οἱονεὶ τὸ ἄφωνον, κάτωθεν δὲ τὸ ὑγρὸν οἱονεὶ τὸ ἀμετάβολον, εὐλόγως γίνεται ὀλισθηρὰ ἡ φωνὴ καὶ ποιεῖ τὴν κοινήν. λανθάνει γὰρ ἡ μακρὰ ὀλισθαίνουσα καὶ συντόμως παρερχομένη. — Ἄλλως τε οὐδὲ ἔστι δύο ὑγρὰ ἐν συλλήψει, εἰ μὴ μόνον τὸ μ̄ τοῦ ν̄ προηγούμενον, ἅπερ καὶ ἔστιν εὑρεῖν ὡς ἀσθενέστερα πολλάκις τῷ

1 Choer. in Theod. G Gr IV 2 p. 79, 4 ‖ 3 schol.[A] 102, 13 sqq. schol. in Dion. Thr. 204, 9—19. Mar. Vict. G L VI 38, 9—22

1 κτ̄ καὶ prop. Hoersch. ‖ 2 συγκοπὴν εἴπωσιν, ἐδείχθει σὺν θεῷ ἐν τῷ περὶ ῥημάτων K ‖ 4 μὴ] καὶ U ‖ 5 ἀλόγως K ‖ 6 ὅσον transposui, in U post ὡς, in K deest | καὶ] ἢ K | ὡς om. K ‖ 8 λεπύρου Hoersch., λεπύου K, χετίου U ‖ 9 ἑστῶσι] ὦσι U ‖ 10 καὶ — αὐτὰ om. K | οὐδὲ Hoersch., οὔτε codd. ‖ 11 ὡσαύτως scripsi, οὕτως codd. | καὶ supra lin. K, om. U | κάτωθεν ᾖ] ἄνωθεν ἐστὶ K ‖ 12 λεπύου K, λεπτοῦ U | τὸ — ἄνωθεν om. U | ἄνωθεν Schoemann, κάτωθεν K ‖ 12/13 κάτωθέν ἐστι] κατωθεν ἢ U, ἄνωθεν ἐστὶ K | ἄνωθεν] κάτωθεν K ‖ 14 αὐτὸ om. K ‖ 15 ἄνωθεν] κάτωθεν K ‖ 16 κάτωθεν] ἄνωθεν K ‖ 18 γὰρ om. U ‖ 19 παρεχομένη U, in K ερ ex corr. | τε] τε δὲ U | ἔστι] εἰσι K ‖ 20 μόνον om. K | τὸ ν̄ τοῦ μ̄ U

λόγῳ τῆς κοινῆς λαμβανόμενα. πρῶτον μὲν γὰρ ἀνεδιπλασιάσθησαν κατὰ τὸν παρακείμενον ὡς βραχείας οὔσης τῆς συλλαβῆς, οἷον μέμνημαι. εἶτα δὲ καὶ ποιοῦσι κοινὴν ἐν τοῖς μέτροις. καὶ παραφέρει ὁ μετρικὸς τοῦτο ἐν διαφόροις· (6, 3) οἷον παρὰ τῷ Κρατίνῳ ἐν Πανόπταις δράματι (154) εἰς ἔπος

ἀλλοτριογνώμοις ἐπιλήσμοσι μνημονικοῖσι,

καὶ παρὰ Ἐπιχάρμῳ ἐν Μεγαρίδι

εὔυμνος καὶ μοισικὰν ἔχουσα πᾶσαν φιλόλυρος ἠχή.

ἔστι δὲ τὸ μέτρον τροχαϊκὸν τετράμετρον ὑπερκατάληκτον. ἰστέον δὲ ὅτι ἐν ταῖς ἀνίσοις τοῦ τοιούτου μέτρου, λέγω δὴ τοῦ τροχαϊκοῦ, σπονδεῖος οὐ πίπτει, ἀλλ' ἐν ταῖς ἀρτίαις τοῦτο γίνεται· διὰ τοῦτο γὰρ ἐνταῦθα τὸ μν ἐν τῇ πρώτῃ βάσει τὴν κοινὴν ἐποίησεν. ὑπερκατάληκτον δέ ἐστιν, ἐπεὶ μετὰ τοὺς τέσσαρας πόδας τοὺς κατὰ διποδίαν μετρουμένους συλλαβὴ περιττεύει. τὸν τέταρτον δὲ πόδα χορίαμβον ἔχει, τουτέστιν ἀπὸ τροχαίου καὶ ἰάμβου συγκείμενον· πάλιν δὲ τὸ φιλο δύο βραχεῖαι ἀντὶ μιᾶς μακρᾶς παρελήφθησαν. ⌊εἰσὶ δὲ πάλιν καὶ παρὰ Καλλιμάχῳ (27 = Heph. p. 6, 9)

τὼς μὲν ὁ Μνησάρχειος ἔφη ξένος·

οὐ δεῖ δὲ πάλιν ἡμᾶς χρήσασθαι· σπάνια γὰρ καὶ σεσημειωμένα.⌋

(6, 10) Ἐὰν μέντοι τῆς προτέρας συλλαβῆς τελικὸν ᾖ τὸ ἄφωνον, τῆς δὲ δευτέρας ἀρκτικὸν τὸ ὑγρόν,

6 Choer. in Theod. GGr IV 2 p. 78, 18. schol. in Dion. Thr. 350, 28

1 γὰρ] ὅτι K ‖ 1/2 ἐδιπλασιάσθησαν U ‖ 3 μέμνηται K ‖ 4 δὲ καὶ] δὴ K | περιφέρει codd. | ἐν] καὶ ἐν U ‖ 5 τῷ] τὸ U, om. K ‖ 6 ἐν] καὶ K ‖ 7 ἀλλοτριογνώμης K ‖ 13 ἀρτίοις U | τοῦτο γίνεται om. K ‖ 13/14 ἐνταῦθα om. K ‖ 15 μετὰ] κατὰ K ‖ 22 πῶς U | ἔφα U ‖ 25 ἐὰν] εἰ K | τῇ προτέρᾳ συλλαβῇ U, ἐν τῇ προτέρᾳ συλλαβῇ Heph. ‖ 26 τῆς δευτέρας ἐστιν U

$\overline{\text{οι}}$ αὐτὸν ἀντὶ βραχείας λαμβάνεσθαι ἢ ἁπλῶς κοινὴν ποιεῖν ὡς ἐν τοῖς προειρημένοις γέγονε μέτροις ⌊καὶ ἐν τοῖς ἐπιφερομένοις· ἔστι γὰρ παρὰ Ἀνακρέοντι ἐν ἐλεγείαις, ὥς φησιν ὁ τεχνικός·⌋ ἔτι δὲ ἔστιν εὑρεῖν (10 καὶ ⟨παρ'⟩ ἄλλοις ὡς παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ, ἔνθα φησὶ (1136)

μόνοις οἴονται συνταλαιπωρεῖν τάδε·

ἐν γὰρ τῷ δευτέρῳ ποδὶ τὴν $\overline{\text{οι}}$ συνέστειλεν. ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσιν ὡσαύτως, ἔνθα φησὶ (479)

καὶ τἀκ Βοιωτῶν ταῦτα συντυρούμενα

καὶ πάλιν ὁ αὐτὸς (480)

πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος·

τὴν $\overline{\text{βοι}}$ συνέστειλεν ἐν τετάρτῳ ποδί. ἀλλὰ καὶ Μένανδρος ἐν Ἐπιτρέπουσιν

οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει (181)

τὴν $\overline{\text{τοι}}$ ἐν τετάρτῳ ποδὶ συνέστειλε. τὸ αὐτὸ δέ ἐστι (10 καὶ ἐπὶ τῆς $\overline{\text{αι}}$ διφθόγγου, ὡς Εὔπολις ἐν Ἀστρατεύτοις φησὶν (35)

Ἀθηναίων εἰ βούλεταί τις ἐγγράφειν·

ἐν δευτέρῳ ποδὶ τὴν $\overline{\text{αι}}$ συνέστειλε. παρὰ δ' Ἱππώνακτι ἐπὶ τῆς $\overline{\text{αι}}$ καὶ $\overline{\text{οι}}$ διφθόγγου πολλή ἐστιν ἡ χρῆσις. οὐ δεῖ δὲ ἡμᾶς τοὺς νεωτέρους χρῆσθαι· εἰ δέ τις χρήσαιτο, ἔχει ἀπολογίαν· οὔτε γάρ εἰσι φύσει μακραὶ ἡ $\overline{\text{αι}}$ καὶ ἡ $\overline{\text{οι}}$ δίφθογγοι, ἀλλ', ὡς καὶ ἐν τῷ

15 Choer. in Theod. IV 1 p. 161, 14 ‖ 23 schol.[A] 101, 12 ‖ 24—195, 1 ἐν τῷ περὶ τόνων] Choer. περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων, in Theod. IV 1 p. 364, 26 sqq.

1 $\overline{\text{οι}}$ αὐτὸν scripsi, τοιαύτην codd. ‖ 2 ποιεῖν Hoersch., ποιεῖ codd. ‖ 4 ἔτι δὲ] ἀλλ' *U* ‖ 5 παρ' ἄλλοις Westph., ἄλλοις *K*, ἄλλας *U* | τῷ om. *U* ‖ 7 οἴονται] οἰόν τε Soph. ‖ 8 ἐν om. *U* ‖ 10 τἀκ Aristoph., τὰ *K*, τῶν *U* | συντυρούμενα Aristoph., σὺντηρούμενα *U*, συντηρουμένους *K* ‖ 12 ὤνιος Aristoph., ὀνήσιμος *UK* ‖ 13 ἐν om. *U* ‖ 16 ἐστι om. *U* ‖ 17 ὡς] αἱ *U* ‖ 19 ἀθηναίοισι *U* ‖ 20 παρὰ δ'] ἐν *U* ‖ 21 καὶ $\overline{\text{οι}}$ om. *U* | πολὺ *U* ‖ 23 φύσει μακραὶ] μακραὶ φησὶν *K* ‖ 24 δίφθογγος *K* | καὶ (post. l.) om. *K*

*περὶ τόνων δείκνυται, αὗται πρὸς ἕνα ἥμισυ μόνον ἔχουσι χρόνον, τῆς φύσει μακρᾶς δύο ἐχούσης, ὅθεν καὶ ἐπὶ τέλους οὖσαι ἔχουσι πολλάκις τὸν προπαροξύτονον τόνον.*

(5, 10) *Εἶτα φέρει παράδειγμα ὁ τεχνικὸς καὶ ἐπὶ τῆς* $\overline{\text{υι}}$ *διφθόγγου· ἥτις πάλιν ἔχει ἀπολογίαν ὅτι ἀσθενεστέρα ἐστίν, ὡς ἐκ δύο ὑποτακτικῶν, τοῦ* $\overline{\text{υ}}$ *καὶ τοῦ* ῑ, *συνεστηκυῖα· ὅθεν οὐδέποτε ἐν τέλει λέξεως εὑρίσκεται,* ⌞*καὶ εὐλόγως ὅτι οὐκ ἐν τέλει λέξεως*⌟, *ἀλλ' ἐν μέσῳ τὴν κοινὴν ἐποίησεν. Ἔστι δ' εὑρεῖν τὴν* $\overline{\text{ου}}$ *δίφθογγον ὡσαύτως ποιοῦσαν κοινήν, οἷον παρὰ Ἀριστοφάνει* (Nub. 838)

*ὥσπερ τεθνεῶτος καταλούει μου τὸν βίον·*

*τὴν γὰρ* $\overline{\text{λου}}$ *συλλαβὴν ἐν τετάρτῳ ποδὶ ἰάμβου συνέστειλεν. Ὁμοίως καὶ τὴν* $\overline{\text{ευ}}$ *εὑρίσκομεν ποιοῦσαν κοινήν, οἷον ἐν τῷ πρώτῳ ἰάμβῳ Ἱππώνακτος, ἔνθα φησὶ*

*μακάριος ὅστις θηρεύει* † *πρήσας* (22[a])·

*τὴν* $\overline{\text{ρευ}}$ *ἐν τετάρτῳ ποδὶ συνέστειλε· καὶ πάλιν ὁ αὐτὸς ἐν δευτέρῳ ποδὶ τὴν* $\overline{\text{ευ}}$

*καίτοι γ' εὔωνον αὐτὸν εἰ θέλεις δώσω* (22[b])·

⌞*εἶτα πάλιν ὁ αὐτὸς*

*ἐκέλευε βάλλειν καὶ λεύειν Ἱππώνακτα*

*τὴν* $\overline{\text{λευ}}$ *ἐν τετάρτῳ ποδί· λεύειν δέ φησιν ἀντὶ τοῦ λιθοβολεῖν*⌟.

*Ἰστέον δὲ ὅτι ἡ τοῦ ποιητοῦ χρῆσις ἡ ἔχουσα τὴν* $\overline{\text{οι}}$, ⌞*ἣν παραφέρει ὁ τεχνικός* (5, 1. *N* 275), *ἐναντιοῦ-*

6 Prisc. GL II 28, 15

1 *ἥμισυν* Hoersch. ‖ 4 *τόνον* om. *U* ‖ 5 *ὁ τεχνικὸς παραδείγματα ἐπὶ K* ‖ 6 $\overline{\text{υι}}$] $\overline{\text{οι}}$ *U*, $\overline{\text{η}}$ *K* | *ἥτις*] *οὕτως U* ‖ 7 *ὡς* om. *U* ‖ 7—8 *τῆς* ῡ *καὶ* ῑ *K* ‖ 9 *καὶ — λέξεως* om. *K* ‖ 10 *τὴν* (post. l.) om. *U* ‖ 11 *ὡσαύτως* om. *K* ‖ 13 *καταλύει U* ‖ 14 $\overline{\text{μου}}$ *U* ‖ 18 *μακηρ' ὅ τις U* | *πρήσας* om. *K* ‖ 21 *καί τι γ' εὔγονον* U ‖ 26 *δὲ*] *οὖν* U

ποιητικῶν cυμφώνων, ἀλλ' ἤτοι ἑνὸc ἢ μηδενόc· καὶ τὰ ἑξῆc. — *K*

*Πρόδηλόν ἐστι τὸ λεγόμενον, ὅτι γίνεται κοινὴ κατὰ τρίτον τρόπον, ὅταν βραχεῖα ᾖ ἀπαρτίζουσα εἰς μέρος λόγου καὶ οὐκ ἔχῃ δύο σύμφωνα ἐπιφερόμενα, ἀλλ' ἢ ἓν ἁπλοῦν ἢ μηδὲ ἕν, ἐπεὶ εὑρεθήσεται θέσει μακρὰ γινομένη. ἰστέον δ' ὅτι οὐ κεχρήμεθα ταύτῃ τῇ κοινῇ ἡμεῖς, ἀλλὰ μᾶλλον οἱ ποιηταί, οἷον τὸ*

*Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης* (Ξ 1)

*καὶ*

*Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε* (Ξ 459)

*καὶ* (1

*οἱ δὲ μέγα ἰάχοντες* (Ξ 421)

⟨*καὶ*⟩

*καὶ μέν οἱ Λύκιοι τέμενος τάμον* (Z 194)·

*καὶ μὲν σπονδεῖος ἐν ἀρχῇ στίχου. ἔσχε δέ τι ἐξαίρετον αὕτη παρὰ τὰς ἄλλας χρήσεις, ὅτι εἰς τέλος ἐστὶ ποδὸς καὶ οὐκ εἰς ἀρχὴν ὡς αἱ προειρημέναι.*

*Περὶ δὲ ταύτης τῆς βραχείας τῆς ἀντὶ κοινῆς λαμ-* 52
*βανομένης λέγει ὁ Ἡλιόδωρος δέκα τρόπους, πότε* (11
*δὴ καὶ πῶς εὑρίσκεται. φησὶ γὰρ οὕτως· ἡ βραχεῖα ἡ τοιαύτη εἰς τόπον μακρᾶς κοινὴ εὑρίσκεται, ὅτε τὸ ῑ ἐπιφέρεται, ὡς ἐν τῷ*

*οἱ δὲ μέγα ἰάχοντες* (Ξ 421).

3 schol. in Dion. Thr. 351,16 ‖ 9—12 Herod. II 657, 27—33 ‖ 20—207, 16 schol. in Dion. Thr. 52, 1—56, 14 et schol. (Heph.) p. 114, 13—118, 17 (Westph.); cf. Hoersch. in Mus. Rh. 36, 281

3 *πρόδηλον — γίνεται*] *γίνεται δὲ K* ‖ 4 *τρόπον* om. *K* | *ᾖ*] *ἐστὶν* codd. ‖ 5 *ἔχει U* ‖ 7 *οὐκ ἐχρήμεθα U* ‖ 7—8 *ἡμεῖς ταύτῃ τῇ κοινῇ K* ‖ 9 *πίοντά K* ‖ 12 *θυμὸν ὄρινε* om. *U* | hoc exempl. deest ap. Heph. ‖ 15 *καὶ* add. Studem. ‖ 17 *σπονδεῖος* Westph., *σπονδεῖον K*, *σπονδοῦ U* ‖ 22 *δὴ* om. *U* | *οὗτος U* ‖ 23 *μακρᾶς* Westph., *μακρὸν* codd. | *κοινὴ* om. *U* | *ὅτι K*

δεύτερος δέ ἐστι τρόπος ὁ ἀπὸ τῆς ὀξείας διαφόρως γινόμενος, ὅτε ἐπίκειται αὐτὴ τῇ βραχείᾳ συλλαβῇ, οἷον

Τρῶες δ' ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν (*M* 208).

διήρηται γὰρ ὁ τρόπος τῆς ὀξείας διαφόρως, ἢ προηγουμένης ἢ ἐπικειμένης, ὡς δέδεικται, ἢ καὶ ἐπιφερομένης· προηγουμένης μέν, οἷον

ἢ ναύτῃσι τέρας ἠὲ στρατῷ εὐρέϊ λαῶν (*Δ* 76)·

ἐπιφερομένης δὲ

ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα (*A* 70).

τρίτος ἐστὶ τρόπος ὁ ἀπὸ τῆς περισπωμένης ἐὰν ἐπιφέρηται, οἷον

ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν (*A* 193)·

τὸ $\bar{\varepsilon}$ καὶ τὸ $\overline{\omega\varsigma}$ εἰς μίαν μακρὰν κατὰ συνίζησιν ποδίζεται, ὡς εὐθέως προϊόντες γνωσόμεθα. ὁμοίως καὶ τὸ

3) πάντῃ ἐποιχόμενοι πρὶν αὖτ' ἐν χερσὶ γυναικῶν (Z 81).

καὶ εἰ προηγεῖται ἡ περισπωμένη, οἷον

οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν (Z 366)·

⌊ἔστι δὲ ἀπὸ εὐθείας τῆς οἰκεύς, σημαίνει δὲ τὸν τοῦ οἴκου.⌋

τέταρτός ἐστι τρόπος ὁ ἀπὸ τῆς δασείας ἢ ἐπικειμένης

Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι (*Π* 358),

ἢ ἐπιφερομένης

4 schol.[B] (lib. V) p. 23, 13. 32. Io. Sic. RhG VI 490, 14 ‖ 14 schol.[B] (lib. V) p. 24, 12 ‖ 25 schol. in Dion. Thr. 351, 25

1 ἐστι et ὁ — 2 γινόμενος om. *K* ‖ 2 ὅτε] ὅταν *U*, ὅταν ἡ ὀξεῖα *K* | αὐτῇ *K*, αὕτη *U* ‖ 4 ἐρίγησαν codd. ‖ 6 ἢ καὶ ἐπικειμένης *U* | καὶ om. *K* ‖ 7 οἷον] ὡς τὸ *K* ‖ 8 ἢ] ἠὲ *K*, ἢν *U* ‖ 10 τά τ' ἐσσ. — ἐόντα om. *U* ‖ 12 ἐστὶ om. *K* ‖ 16 τὸ $\overline{\omega\varsigma}$] $\overline{\omega}$ *U* ‖ 17 καὶ τὸ om. *U* ‖ 20 εἰ] ἐὰν *U* ‖ 24 ἐστι] δὲ *K* | ἢ — 25 Ἕκτορι om. *U*

*Ἀπόλλωνος ἑκάτοιο* (*Η* 83. *Υ* 295),
⌊*αἴ κε κακὸς ὥς* (Ζ 443)⌋,
*ἢ προηγουμένης*
*ἔλπομαι ἐκτελέεσθαι ἵνα μὴ ῥέξομεν ὧδε* (*Η* 353).
*πέμπτος τρόπος ἐστὶν ὁ διὰ τῆς στιγμῆς* 53
*καὶ πόσιας· ὁ δ' ἔπειτα θεοῖς εὔχεσθαι ἀνώγει* (Ζ 240),
*ὁμοίως καὶ τὸ*
*οὐδὲ μάλ' ἴφθιμος, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν* (*Θ* 144).
*ἕκτος ἐστὶ τρόπος ὁ διὰ τῶν ἀμεταβόλων λ̄ μ̄ ν̄ ρ̄*
*ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα* (*Β* 44),
*θυμὸν ἀπὸ μελέων* (*Η* 131. ο 354),
*ἀλλ' ὕδατι νίζοντες* (*Η* 425),
*ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτοῖσι βόεσσιν* (*Η* 474).
*οἱ δ' ἄλλοι τέσσαρες τρόποι, τουτέστιν ἕβδομος, ὄγδοος, ἔνατος, δέκατος, εἰσὶ διὰ τῶν δ' στοιχείων, ἢ διὰ τοῦ δ̄ ἢ π̄ ἢ σ̄ ἢ τ̄, οἵτινες καὶ διπλασιάζεσθαι πεφύκασιν,* ⌊*οἷον*⌋
*οὐδ' ἄρ' ἔτι δήν* (Ζ 139 al.),
*ὦ υἱὲ Πετεῶο* (*Δ* 338),
*Ἀρτέμιδί σε ἐΐσκω* (ζ 151—152),
*ἐπιφερομένου τοῦ σ̄, ἀλλὰ καὶ λήγοντος ἐν τῇ λος συλλαβῇ* (11
*βέλος ἐχεπευκές* (*Α* 51. *Δ* 129),

10 cf. π 89. ι 276. *Α* 169 ‖ 11 schol. in Dion. Thr. 351, 27 sqq.

2 est etiam in schol. Dion. Thr. ‖ 5 *ἐστιν ὁ* et *τῆς* om. *K* | *ὁ* om. *U*, add. Hoersch. ‖ 8 *καὶ τὸ* om. *U* ‖ 9 *οὐ δὴ K* | *ἦ*] *καὶ K* ‖ 11 *ἐστὶ*] *δὲ K* ‖ 15 *αὐτῇσι* Homerus ‖ 16 *τρόποι ὁ ἕβδομος ὁ ὄγδοος. ὁ ἔννατος καὶ δέκατος εἰσὶν οὗτοι ἢ δία τοῦ δ̄ στοιχείου ἢ δία τοῦ π̄ ἢ σ̄ U* | *σ̄*] *Γ K* ‖ 25 *β. ἐχ.* in codd. ante 23 *ἐπιφερομένου*; transpos. Hoersch.

τοῦ δὲ τ̄ ἐπιφερομένου

μήτε σύ γ' Ἄρηα τό γε δείδιθι (Ε 827)·

διπλασιάζονται δὲ οὕτως

ἔδδεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ (Α 33. Ω 571),
εἰωθότες ἔδμεναι ἄδδην (Ε 203),
ὁππότε τις μετὰ παυσωλὴν (Τ 201),
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται (Γ 71. 92. σ 46),
⌊ποσσὶ δ' ὑπὸ λιπαροῖσιν (Β 44),
ὅττι τοι ἐν μεγάροισιν (δ 392)⌋.

14 Ἔστι δὲ ἀνακεφαλαιώσασθαι τοὺς δέκα τρόπους οὕτως· ὁ τοῦ ἰῶτα, ὁ τῆς ὀξείας, ὁ τῆς περισπωμένης, ὁ τῆς δασείας, ὁ τῆς στιγμῆς, ὁ τῶν δ' ἀμεταβόλων, ὁ τοῦ δ̄, ὁ τοῦ π̄, ὁ τοῦ σ̄, ὁ τοῦ τ̄. καὶ τοσαῦτα περὶ τῆς κοινῆς.

⌊Ἄξιον δ' ἡμᾶς ἀπορῆσαι, τί δή ποτε τούτῳ τῷ τρίτῳ τρόπῳ τῆς κοινῆς οὐ κεχρήμεθα ἡμεῖς τῷ τὴν βραχεῖαν ποιεῖν κοινήν, ἀλλὰ μόνοι οἱ ποιηταί· (σπανίως γὰρ εὑρίσκεται εἰς ἄλλο μέτρον.) τοῖς γὰρ προειρημένοις καὶ ἡμεῖς κεχρήμεθα· (λέγομεν δή, ὅτε ἔστι φύσει μακρὰ εἰς φωνῆεν λήγουσα καὶ εἰς μέρος λόγου

4 Herodian II 285, 10

2 σὺ τόν γ' ἄρα δείδιθι K | post δείδιθι U add. ἡ ῡ συλλαβή | 3 διπλασιάζεται K | 4 καὶ — μύθῳ om. U | 7 μεταπαυσωλὴ Hom. | 8 κε] καὶ U | νικήσει U | γεγένηται (om. τε) K | 10 ποσὶ δ' ὑπαρυῖσιν U | 12 οὕτως om. U | 13 ῑ καὶ τῆς U | 13 (sub finem — 15 ὁ semper om. U | 15 τῆς om. K | pro 17—208, 8 in K nil nisi haec εὐλόγως δὲ ἡμεῖς τῇ μακρᾷ ἀντὶ βραχείας κεχρήμεθα ὡς περιττικῇ δύο βραχειῶν, οὐ μὴν δὲ τῇ βραχείᾳ ἀντὶ μακρᾶς ὡς οἱ ποιηταί et ea inserta post v. 11 | 18 τρόπῳ] τρισσῷ U | τῷ] τὸ U | 19 ποιεῖν] σχηματίζειν ποιοῦντι Hoersch. | 20—21 τὴν γὰρ κεχρημένην U | 21 δή Hoersch., δὲ U | ὅτε] ὅτι U

*καὶ τὴν ἑξῆς ἔχουσα ἀπὸ φωνήεντος ἀρχομένην, καὶ ὅτε ἔστι θέσει μακρὰ δύο συμφώνων ἐπιφερομένων ἐν συλλήψει, ὧν τὸ πρῶτον ἄφωνόν ἐστι, τὸ δεύτερον ἀμετάβολον). ἀλλὰ λέγομεν, ὅτι εὐλόγως. ἰστέον γὰρ ὅτι ἡ μακρὰ περιεκτική ἐστι βραχείας (ἐκ δύο βραχειῶν γὰρ σύγκειται), οὐ μὴν ἡ βραχεῖα τῆς μακρᾶς. καὶ εὐλόγως ἡμεῖς μακρᾷ ἀντὶ βραχείας κεχρήμεθα, οὐκ ἔμπαλιν δὲ βραχείᾳ ἀντὶ μακρᾶς.*⌋

## Cap. II.

### *Περὶ συνεκφωνήσεως.*

Cυνεκφώνηcίc ἐcτι, ὅπου ἂν δύο cυλλαβαὶ cύμφωνον μὴ ἔχουcαι μεταξὺ ἀλλήλων ἀντὶ μιᾶc παραληφθῶcι. — *U*

Cυνεκφώνηcίc ἐcτιν, ὅταν δύο cυλλαβαὶ cύμφωνον μετὰ ἀλλήλων μὴ ἔχουcαι ἀντὶ μιᾶc παραλαμβάνωνται. τρόποι δέ εἰcι τῆc cυνεκφωνήcεωc οἵδε. ἢ γὰρ δύο μακραί· καὶ τὰ ἑξῆc. — *K*

*Ἐνταῦθα περὶ τῆς συνεκφωνήσεως οἱονεὶ συνιζήσεως βούλεται διαλαβεῖν· ἰστέον δὲ ὅτι διαφέρει αὕτη ἡ συνεκφώνησις τῆς συναλοιφῆς· ἄλλως γὰρ ἡ συναλοιφὴ καὶ ἄλλως ἡ συνεκφώνησις μετρεῖται· ἡ μὲν γὰρ συναλοιφὴ καθάπερ γράφεται οὕτω καὶ μετρεῖται, οἷον*

*ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ* 55
(*Γ* 95 et saepius)·

11 schol. in Dion. Thr. 210, 14

2 ὅτε] *ὁτὰν U* ‖ 8 *δὲ*] *ἢ* vel *ἡ U* ‖ 10 *U* anteponit *πρᾶξις τρίτη* ‖ 11 *ὁπόταν* Heph. ‖ 15 *μετὰ*] legendum *μεταξὺ* | *παραλαμβάνονται K* ‖ 18—22 *τῆς συνιζήσεως ἤγουν συνεκφωνήσεως διαλαμβάνομεν· διαφέρει δὲ ἡ συνεκφώνησις τῆς συναλοιφῆς, ὅτι ἡ μὲν συναλοιφὴ K* ‖ 24 *ἀκὴν* — σιωπῇ om. K

ἀποβληθέντος γὰρ τοῦ ō ἐν τῷ ʻὣς ἔφατοʼ, ἀπεβλήθη καὶ ἐν τῷ μέτρῳ καὶ οὐ λαμβάνεται συλλαβή. ἡ δὲ συνεκφώνησις οὐχ ὡς γράφεται οὕτω καὶ μετρεῖται, ἀλλὰ δύο συλλαβαὶ εἰς μίαν συλλαμβάνονται ⌊ἐν τῷ μέτρῳ, οἷον αὐτός φησι μυρία παραδείγματα·

ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις (E 349)⌋·

ἡ γὰρ ἢ καὶ οὐ συλλαβαὶ εἰς μίαν μετροῦνται.

Λέγει δὲ αὐτῆς τῆς συνεκφωνήσεως πέντε τρόπους· ἢ γὰρ δύο μακραὶ εἰς μίαν γίνονται μακράν, ἢ βραχεῖα καὶ μακρὰ εἰς μίαν μακράν, ἢ μακρὰ καὶ βραχεῖα εἰς μίαν μακράν, ἢ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν. εἶτα ἐν τῷ τέλει τὸν πέμπτον φησὶ τρόπον, ὅτε βραχεῖα καὶ κοινὴ εἰς μίαν βραχεῖαν παραλαμβάνονται.

Ὁ δʼ Ἡλιόδωρος φησὶν ἐν τῇ εἰσαγωγῇ, ὅτι καὶ τρεῖς εἰς μίαν συνεκφωνοῦνται συλλαβαί, ὡς τὸ διπενθημιμερὲς τοῦτο, [οἱονεὶ] τὸ δοκοῦν εἶναι ἐλεγεῖον,

Ἀστερίς, οὔτε σʼ ἐγὼ φιλέω οὔτʼ Ἀπελλῆς (Anacr. 72[b]).

οὐ γάρ ἐστιν ἐλεγεῖον, ἀλλὰ τὸ πρῶτον αὐτοῦ μέρος ἐστὶ δακτυλικόν, τὸ δὲ δεύτερον ἰαμβικόν· δύο γὰρ ἰαμβικοὺς ἔχει πόδας καὶ συλλαβήν· τὸ οὖν φιλέω οὔ ἀπὸ βραχείας καὶ μιᾶς μακρᾶς.

4 Eustath. ad *A* 1 p. 11, 26 sqq. ‖ 9 schol. in Dion. Thr. 210, 15—211, 3. Ar. Quint. 33, 3 sqq.

1 ō om. *K* | ἔφαθʼ *K* ‖ 4 παραλαμβάνονται *K*, cf. Heph. ‖ 8 ἡ γὰρ ἦτα *U*, ἡ η̄ γὰρ *K* | post οὐ *K* add. λόγου χάριν | συλλαβὴ *U* | μετροῦνται] μεταποιοῦνται *U* ‖ 9 λέγει δὲ scripsi, λέγει γαρ *U*, καὶ λέγονται *K*, litteris ονται a *K*² correctione effectis | αὐτῆς om. *K* | πέντε] πάντως *K* ‖ 9/10 τρόποις *K* ‖ 10 γίνονται om. *K* | μίαν om. *U* ‖ 11 ἢ μακρὰ—12 μίαν μακράν om. *U* ‖ 13 εἶτα τὰ ἐν *K* ‖ 16 συναγωγῇ *U* ‖ 17 συλλαβὴν *U* ‖ 18 οἱονεὶ del. Wilam., οἱονεὶ — ἐλεγεῖον del. Hense ‖ 19—20 ἐλεγ. om. *U* ‖ 21 δὲ supra lin. *K*, om. *U* ‖ 22 ἰαμβικοὺς ἔχει πόδας scripsi, ἰάμβου ἔχει πόδας *U*, ἰάμβους ἔχει *K* ‖ 23 ἀπὸ δύο βραχέων K

*Ἰστέον δὲ ὅτι τὸν τέταρτον τρόπον, λέγω δὴ τὸν λέγοντα δύο βραχείας εἰς μίαν βραχεῖαν παραλαμβάνεσθαι, λέγει* (9, 6) *ἐν τοῖς ἄλλοις μέτροις κυρίως εὑρίσκεσθαι, σπανίως δὲ ἐν ἔπει. οἷον παρὰ Σωτάδῃ ἐν τῇ Ἰλιάδι*

*σείων μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον.*

*εἰς ἰθυφαλλικὸν δέ ἐστι τὸ μέτρον. ὅπερ τοιοῦτον ἔχει τρόπον· τὸ πρῶτον μέρος αὐτοῦ ἰωνικόν ἐστιν ἀπὸ μείζονος, τὸ δὲ ἔσχατον αὐτοῦ μέρος, ὃ ἐλέγομεν ἰθυφαλλικόν, ἐκ τριῶν τροχαίων μετρεῖται· οὕτως κατὰ διποδίαν*

*σείων μελίην Πηλιάδα*

*τῆς $\overline{α}$ καὶ $\overline{δα}$ συλλαβῆς εἰς μίαν μετρουμένης βραχεῖαν·* 56

*δεξιὸν κατ' ὦμον*

*τροχαῖοι. (ἰθυφαλλικὸν δ' ἐκλήθη, διότι εἰς τὰ φαλλαγώγια ἐν τῇ ἑορτῇ τοῦ Διονύσου αὐτῷ ἐχρήσαντο). — εἶτα, ἐπειδὴ ἔλεγε τοῦτο εἶναι σπάνιον ἐν στίχῳ, ὅμως δὲ εὑρῆσθαι, καὶ ἀγνοεῖν τοῦτο τὸν Κριτίαν* (Heph. p. 9, 10 sqq.), *ὅτι δυνατόν ἐστι δύο συλλαβὰς εἰς μίαν βραχεῖαν παραλαμβάνειν, (ἐνόμισεν εὐλόγως μὴ δύνασθαι τὸ τοῦ Ἀλκιβιάδου ὄνομα θεῖναι ἐν στίχῳ ἢ ἐλεγείῳ καὶ διὰ τοῦτο ἀντὶ ἐλεγείου ἐποίησεν ἴαμβον,*

13 eadem perversa doctrina est in schol.[A] 108, 10, recta habet Eustath. ad *Α* 1 p. 40, 40 sqq.

1—2 *τὸν λέγοντα*] *τὸ U* ‖ 3 *κυρίως* om. *U* ‖ 4 post *ἔπει* add. *K τουτέστιν ἐν στοιχείω*; cf. 17 | *οἷον π.* om. *U* ‖ 5 *τῇ* om. *K* ‖ 7 *εἰς* Stud., *εἷς U*, *ὡς K* | *ἰθυφαλλικὸν — 8 ἔχει*] *γ' εν φαλλικὸν· ἐστι δὲ τὸ δεύτερον τοιοῦτον τρόπον ἔχον U* ‖ 8 *μέρος*] *μέτρον K* | *ἐστιν* om. *U* ‖ 9 *μέρος αὐτοῦ U* | *λέγομεν K* ‖ 12 post *Πηλιάδα* add. *K δεξιὸν κατ' ὦμον* ‖ 13 *μετρουμένην U* ‖ 14 *$\overline{δεξι}$ τροχαῖος K*, *$\overline{δεξι}$ ὂν κατα τροχαιος ϊ* | *τ' ὦμον τροχαῖος* in linearum confinio *U*; i. e. *δεξι τροχαῖος, ον κ. τρ., ὦμ. τρ.* ‖ 15 *εἰς τοὺς φαλλοὺς K* ‖ 16 *ἐν τῇ* om. *U* ‖ 21 *τοῦ* om. *U* | *ὄνομα μὴ θεῖναι U* | *ἢ εἰς ἐλεγεῖον U* | post *ἐλεγείω* add. *K ἢ ἄλλῳ* ‖ 22 *διὰ τοῦτο* om. *U*

⌊*ὥστε εἶναι ἀντὶ στιχελεγείου στιχίαμβον*⌋) *καὶ φέρει τὴν χρῆσιν. παραφέρει δέ, ὅτι εὕρηται καὶ ἐν στίχῳ παρὰ Κορίννῃ ἐν πέμπτῃ* (Heph. p. 9, 16 sq.)· *τινὲς δέ φασιν ἐν δευτέρᾳ, κρεῖττον δέ ἐστιν ἐν πέμπτῃ. εἶτα καὶ παρὰ Πραξίλλῃ ποιητρίᾳ* (Heph. p. 9, 19).

## Cap. III.

### *Περὶ ποδῶν.*

Ἐκ τῶν cυλλαβῶν εἰcιν οἱ πόδεc, ὧν διcύλλαβοι μὲν δ΄. καὶ τὰ ἑξῆc.

3) *Ἐνταῦθα περὶ τῶν ποδῶν βούλεται διαλαμβάνειν ποῖοι καὶ πόσοι εἰσί· καὶ ἀναγκαῖόν ἐστιν ἡμᾶς πρότερον αὐτὸ τοῦτο γνῶναι, τί ἐστι πούς. πούς τοίνυν ἐστὶν σύνταξις συλλαβῶν ἄρσιν καὶ θέσιν περιέχουσα.*
57 *καὶ ἄλλως· πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ δύο ἕως ἕξ, ἐξ ὧν γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος. βάσις δέ ἐστι τὸ ἐκ δύο ποδῶν συνεστηκὸς τοῦ μὲν ἐν ἄρσει τοῦ δὲ ἐν θέσει παραλαμβανομένου. ἢ οὕτως· βάσις ἐστὶν* <*ἢ ἐκ δύο ποδῶν*> *ἢ ἐκ ποδὸς καὶ καταλήξεως, τουτέστι μιᾶς συλλαβῆς*

13 schol.[B] (lib. V) p. 25, 20. An. Ambr. AV 231, 30. Diom. π. π. AV 161, 10. An. Vat. AV 98 § 3. Io. Sic. RhG VI 239, 1. — Ar. Quint. 22, 26. Mar. Vict. GL VI 43, 9 sqq. 50, 4 sqq. Atil. Fort. GL VI 280, 10. Diom. GL I 474, 30 ‖ 15 *σχέσις* An. Vat. AV 99, 11; *κατάλληλος σύνθεσις* Io. Sic. 239, 3

1 *ὥστε — στιχίαμβον* om. *K* | *στιχελεγείου U* | 2 *περιφέρει K* 3 *πέμπτῳ* Heph. ‖ 5 *ποιητρίᾳ*] *ποιεῖ U* ‖ 8 *Γ* ante *π. π.* add. *U*, *π. π. K*[2] in mg. ‖ 10 *δ΄*] *δύο K* | *τὰ* om. *U* | 11 *ἐνταῦθα* — 12 *ἐστὶν* om. *U* | *τοῦτο αὐτὸ K* | 14 *σύνταξις U*, *σύνθεσις K*[2], *σύντασις? K*[1] | *ἄρσιν* — 15 *συλλαβῶν* om. *U* | *καὶ θέσιν* Nauck *ἢ θέσιν K* | 15 *σχέσις* schol.[B] p. 25, 24. An. Ambr. 232, 4: *θέσις* codd. ‖ 16 *διορίζομεν U* | 18 *ἐν* bis om. *K* | 19 *ἢ — ποδῶν* add. Hoersch. ‖ 20 *ἢ*] *ἡ* codd.

ποδὶ ἰσουμένης. γνωρίζεται δὲ ὁ μὲν πους ταῖς συλλαβαῖς, τὰ δὲ μέτρα τοῖς ποσὶν ἢ ταῖς βάσεσι. μέτρον δέ ἐστι ποδῶν ὡρισμένων ποιὰ σύνταξις κατὰ τὴν φυσικὴν συμμετρίαν πως ὑπὸ τῶν τοῦ λόγου μερῶν ἀφωρισμένη. — Ἰστέον δὲ ὅτι ἀπὸ δισυλλαβίας ἕως ἓξ συλλαβῶν μετροῦνται οἱ πόδες. καὶ ἔστιν αὐτῶν μετρῆσαι τὴν ποσότητα, ὥς τινες φασὶ τῶν τεχνικῶν, κατὰ διπλασιασμόν. εἰσὶ γὰρ δισύλλαβοι ἁπλοῖ τέσσαρες, τουτέστιν ὁ σπονδεῖος καὶ ὁ πυρρίχιος, ὁ τροχαῖος καὶ ὁ ἴαμβος. οὗτοι δὲ ἀντιστρεφόμενοι ἀλλήλους ποιοῦσι κυκλικῷ σχήματι. τοῦ γὰρ τροχαίου μετατιθεμένη ἡ μακρὰ τὸν ἴαμβον ἀποτελεῖ καὶ ἔμπαλιν ἡ τοῦ ἰάμβου τὸν τροχαῖον, καὶ αἱ τοῦ σπονδείου μακραὶ εἰς βραχεῖαν τὸν πυρρίχιον, καὶ ἔμπαλιν αἱ τοῦ πυρριχίου βραχεῖαι εἰς μακρὰν τὸν σπονδεῖον. εἰσὶν οὖν δισύλλαβοι τῶν ἁπλῶν πόδες τέσσαρες. εἶτα κατὰ ἀναδιπλασιασμὸν τρισύλλαβοι ὀκτώ, ὡς ὁ τεχνικός φησιν. πάλιν κατὰ ἀναδιπλασιασμὸν τῶν διπλῶν τετρασύλλαβοι ις', πεντασύλλαβοι μὲν λβ', ἑξασύλλαβοι δὲ ἑξηκοντατέσσαρες, ὥστε εἶναι τοὺς πάντας ὁμοῦ ρκδ'. — Ἄλλοι δ' ἄλλως ψηφίζουσιν, ὥστε καὶ πλείονα φθάνειν. τοὺς γὰρ δώδεκα ἁπλοῦς, τουτέστι τοὺς δ' δισυλλάβους καὶ ὀκτὼ τρισυλλάβους, δωκεκάκις πολυπλασιάζουσι· δωδεκάκις οὖν δώδεκα γίνονται ρμδ'. καὶ οὕτως οἱ περὶ Ὧρον καὶ Λογγῖνον ἐψήφιζον.

2 μέτρον] schol. in Dion. Thr. 449, 6 ‖ 10 Heph. fr. II p. 77, 7. 13 ‖ 25 schol.[B] (lib. V) 27, 1—13. An. Vat. AV 99, 16 sqq.

3 σύνταξις] σύντασις $K^1$, σύνθεσις $K^2$ ‖ 4 ὑπὸ τοῦ λόγου τῶν *U* ‖ 5 ἰστέον — 6 πόδες] μετροῦνται δὲ οἱ πόδες ἀπὸ δισυλλαβίας ἕως ἓξ συλλαβῶν *K* ‖ 8 fort. ἀναδιπλασιασμὸν ‖ 9 καὶ (pr.) om. *K* ‖ 10 ὁ om. *U* ‖ 14 αἱ] ἡ *U* ‖ 15 βραχεῖα *U* ‖ 16/17 et 18 διπλασιασμὸν *K* ‖ 19 μὲν et δὲ om. *K* ‖ 20 ὡς *U* ‖ 21 ἄλλως δὲ *U* | πλείονας? *Wilam.* ‖ 21/22 φθάνειν *K* (= effici, colligi. Wilam.), φθάζειν *U*; ἀριθμεῖν Schoemann ‖ 23 post δωδεκάκις add. γὰρ U ‖ 24 δ om. K

⌊*Περὶ ὀνομασίας τῶν ποδῶν.*⌋

*Πυρρίχιος* γοῦν ἐστίν, ὃν τινες καὶ προκελευσμα-
8 τικὸν καλοῦσιν, ὁ καὶ παρίαμβος καὶ ἡγεμὼν ⌊ἐκ δύο βραχειῶν, δίχρονος,⌋ λέγεται δὲ πυρρίχιος, ὅτι βραχύτατος ὢν καὶ ὀξύτατος ἐφήρμοσε μάλιστα τῇ συντόμῳ κινήσει τῆς ὀρχήσεως, ἣν πυρρίχην ὠνόμαζον, ἢ διὰ τὸ ὑπὸ Πύρρου, ⌊τοῦ καὶ Νεοπτολέμου⌋ τοῦ Ἀχιλλέως υἱοῦ εὑρεθῆναι τόν τε τοῦ ποδὸς καὶ τοῦ μέλους ⟨καὶ⟩ τῆς ὀρχήσεως ῥυθμόν, ἢ διὰ τὸ ὑπὸ Ἀχιλλέως παρὰ τῇ τοῦ Πατρόκλου πυρᾷ, ἢ διὰ τὴν σφοδρὰν κίνησιν καὶ πυρώδη. παρίαμβος δὲ ὁ αὐτὸς καλεῖται διὰ τὸ παρὰ ἕνα χρόνον ἴσος εἶναι τῷ ἰάμβῳ· ὁ μὲν γὰρ δίχρονός ἐστιν, ὁ δὲ ἴαμβος τρίχρονος. προκελευσματικὸς δὲ ἐκλήθη καὶ ἡγεμὼν διὰ τὸ βραχύτατος εἶναι πλέον παντὸς ποδὸς καὶ πρὸ πάντων εὑρῆσθαι, ἀκολουθεῖν τε αὐτῷ πάντα τὰ τῶν ποδῶν σχήματα καὶ μεγέθη.

*Σπονδεῖος* δέ ⌊ἐστιν ἐκ δύο μακρῶν, τετράχρονος,⌋ οἷον φωνή. λέγεται δ' οὕτως διὰ τὸ μάλιστα παραλαμβάνεσθαι εἰς τὰς ἱερουργίας καὶ σπονδοποιίας τῶν

1 ad hoc cap. cf. e. g. schol.[B] lib. V, c. 29. Dion. π. π. A V 161. An. Chis. A V 205. An. Ambr. A V 222—230. Mar. Vict. VI 44, 10—48, 23. Diom. I 475, 9—481, 12. Ter. Maur. VI v. 1359—1565. Mar. Plot. VI 497. 13—499. 22. Ps. Cens. VI 611. 5—22. cf. Hoerschelmann LdM p. 29 sqq. | 11 παρίαμβος] Mar. Vict. VI 44, 14

2 *K*² in mg. titulos addidit *περὶ πυρριχίου. περὶ σπονδείου* etc. per totum caput omisso solo trochaeo *γοῦν* om. *C* | 3 *ὃς C* | 5 *συντόμω C* | 6 *τῆς*] *τοῖς C* | 7 *το ἀπὸ K*, *τοῦ ὑπὸ C* | 8 *υἱοῦ ἀχιλλέως K* | 9 *καὶ* add. Hoersch. | 10 lac. post *πυρᾷ* ind. Hoersch., sed supplend. videtur *κεῖσθαι* | 11 *ὁ αὐτὸς* om. *C* | 12 *ἴσω C* | 14 *προκελευσματικὸς C* | 16 *ἀκολουθεῖν τε*] *ἀκολουθεῖ δ' K* *αὐτῷ K* | 19 *λέγεται*] *πρὸς ἐπιφέρεται C*

θεῶν, ἀφ' οὗ καὶ σπονδεῖον ἔτι καὶ νῦν μέλος προσαυλεῖν λέγουσι τοῖς ἱεροῖς.

Ὁ δὲ τροχαῖός ⌊ἐστιν ἐκ μακρᾶς καὶ βραχείας, τρίχρονος,⌋ οὕτω κληθείς, ἐπειδὴ διατετροχασμένην καὶ τροχαίαν ἐν τῇ κατασκευῇ τὴν ῥυθμοποιίαν ἔχει, διὰ τὸ τὴν μακρὰν ἐπιτρέχειν ἀεὶ τῇ βραχείᾳ καὶ ἀνάπαλιν τὴν βραχεῖαν ἕπεσθαι τῇ μακρᾷ.

Ἴαμβος δ' ⌊ἐκ βραχείας καὶ μακρᾶς, ⟨τρίχρονος⟩⌋ εἴρηται ἤτοι ἀπὸ Ἰάμβης τῆς Κελεοῦ θεραπαίνης, ἥτις τὴν Δήμητρα λυπουμένην ἠνάγκασε γελάσαι γέλοιόν τι εἰποῦσα, τῷ ῥυθμῷ τούτου τοῦ ποδὸς αὐτομάτως χρησαμένη. ἢ ἀπὸ Ἰάμβης τινὸς ἑτέρας, γραός, ᾗ Ἱππῶναξ ὁ ἰαμβοποιὸς παρὰ θάλασσαν ἔρια πλυνούσῃ συντυχὼν ἤκουσε τῆς σκάφης ἐφαψάμενος, ἐφ' ἧς ἔπλυνεν ἡ γραῦς,

ἄνθρωπ', ἄπελθε, τὴν σκάφην ἀνατρέπεις.

καὶ συλλαβὼν τὸ ῥηθὲν οὕτως ὠνόμασε τὸ μέτρον. 59
ἄλλοι δὲ περὶ τοῦ χωλιάμβου τὴν ἱστορίαν ταύτην ἀναφέρουσι, γράφοντες τὸ τέλος τοῦ στίχου

τὴν σκάφην ἀνατρέψεις.

4 schol. in Herm. RhG VII 982, 15. Trich. 262, 3 ‖ 15—19 cod. Palat. 356 (s. XIV) fol. 163ᵛ Ἰάμβης τινὸς, ἥτις κατὰ τύχην ἐν Ἐλευσῖνι πρώτη τὸ τοῦ ἐξ αὐτομάτου ἐξέφερε τὸν διωθοῦντα πλύνουσαν αὐτὴν καταμωκησαμένη οὕτως εἰποῦσα· ἄ. ἄ. τ. σ. ἀνατρέπεις ἐμοὶ μὲν ἀκαταθύμιος φαίνῃ. ἔργον δὲ μῶρον ἐκτελεῖς σκάφην τρέπων.

1 ἔτι καὶ] ἔτι *K* ‖ 1/2 προσαυλεῖσ *K* ‖ 4 ἐκλήθη *K* ‖ 5 τροχαίαν Hoersch., τραχεῖαν codd. ‖ 8 ἐκ βραχέος καὶ μακροῦ *U* 9 δὲ ante ἤτοι *U* | ἤτοι ἀπὸ] ἢ ἐκ *K*, ἢ ἀπὸ schol.[B] p. 28, 1 | θεραπαινίδος *K* ‖ 10 δήμητραν *U* ‖ 12 ἑταίρας *U* | ᾗ τινι παρὰ θαλ. *K* ‖ 14 συντυχὼν Ἱππῶναξ ἰαμβοποιὸς καὶ τῆς σκ. *K* | ἐφ' οἷς *U* ‖ 15 γραῦς ἤκουσε παρ' αὐτῆς K; sed cf. schol.[B] p. 28, 7 | 19 ἀναφέρουσι] λέγουσι *K* | τοῦ στίχου om. U

ἢ παρὰ τὸ ἰαμβίζειν, ὅ ἐστιν ἰὸν βάζειν ⌞τουτέστιν ⟨λόγους μεστοὺς πικρίας⟩ λέγειν⌟· λοιδορικὸν γὰρ τὸ μέτρον τὸ ἐκ τούτου τοῦ ποδὸς συνιστάμενον.

Τρισύλλαβοι δὲ οἵδε· Δάκτυλος, ὁ καὶ ἡρῷος. ⟨ἐκ μακρᾶς καὶ δύο βραχειῶν, τετράχρονος·⟩ καὶ δάκτυλος μὲν ἀπὸ τῶν Ἰδαίων Δακτύλων, οἳ τὸν μὲν ἀριθμὸν ἦσαν δέκα, παραστάται δὲ τυγχάνοντες τῆς Ῥέας καὶ μουσικώτατοι ὑπάρχοντες διὰ τῆς τῶν ὀργάνων χρήσεως ὕμνουν τὸν Δία. καὶ ἄλλως· δάκτυλος ἀπὸ τῆς ἐν ταῖς χορδαῖς γινομένης τῶν δακτύλων κινήσεως. ἡρῷος δὲ καλεῖται διὰ τὸ πρὸς τὰ τῶν ἡρώων ἔργα καὶ τοὺς τῆς γενεαλογίας ὕμνους προσαρμόζειν, ἢ διὰ τὸ πρώτῳ τούτῳ κεχρῆσθαι τοὺς ποιητὰς πρὸς τὴν ἡρωϊκὴν ἱστορίαν.

Ἀνάπαιστος δέ, ὃν καὶ καλοῦσι τινὲς ἀντιδάκτυλον, ⌞ἐκ δύο βραχειῶν καὶ μακρᾶς, τετράχρονος⌟. ἐκλήθη δὲ οὕτως διὰ τὸ ἀντικειμένως ἔχειν τῷ ἡρῴῳ (δύο γὰρ ἔχει βραχείας κατὰ τὴν ἀρχὴν τῆς πλήξεως τοῦ ῥυθμοῦ, τὴν δὲ τρίτην μακρὰν ἐν τῇ θέσει) καὶ ἄνω παίειν ἀεί.

Ἀμφίμακρος, ὁ καὶ κρητικὸς καὶ παιωνικὸς ὁ αὐτός, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ⌞πεντά-

1 Ar. Quint. 25, 25. Mar. Vict. VI 44, 27 ‖ 15 ἀντιδάκτυλον] Mar. Vict. 45, 19 ‖ 19—20 ἄνω παίειν] Eustath. ad A 40 p. 32, 12

2 λογ. μ. π. addidi ex schol. Heph.[B] p. 28, 9 | fort. λοιδορητικὸν | τοῦτο τὸ C | 3 ἐκ τούτου τοῦ π. σ. scripsi. ἐκ τοῦ π. τούτου σ. C, ἐκ τοῦ π. σ. τοῦ τοιούτου K | 5 ἐκ — τετράχρονος addidi | 6 μὲν ὁ K | τῶν om. K | ἰδίων codd. | 7 τυγχάνοντες et καὶ om. C | 9 καὶ ἄλλως om. C | δάκτυλοι δ' [illegible] C | 10 γινομένης om. C | 11 καλεῖται om. K | τα [illegible] 12 ἔργα [illegible] K | 12 ἁρμόζειν C | 13 τὸ] τῷ C | 15 δὲ om. K | [illegible] λοῦσι post ἀντιδάκτυλον pon. K | 16 καὶ ἐκλήθη [illegible] ἔχει om. C | 20 παίει K | 21 παιωνικὸς [illegible]

χρονος⌋. καὶ ἀμφίμακρος μὲν λέγεται, ὅτι ἑκατέρωθεν τῆς βραχείας ἔχει τὰς μακράς. κρητικὸς δέ, ὅτι ὑπὸ Κρητῶν εὑρῆσθαι δοκεῖ· ἐκεῖνοι γὰρ πρῶτοι τοῦτο τὸ γένος τῆς ῥυθμοποιίας ὀρχήσει τὴν βάσιν ἀπαρτίζοντες ἐποίουν. παιωνικὸς δέ, ἐπεὶ πρὸς τὰ παιωνικὰ καλούμενα μέτρα ἥρμοσται.

Ἀμφίβραχυς δέ, ἐκ βραχείας καὶ μακρᾶς ἐστὶ καὶ βραχείας, ⌊τετράχρονος. εἴρηται δ' οὕτως, ὅτι ὑπὸ δύο
βραχειῶν τὴν μακρὰν περιλαμβάνει ἔμπαλιν τοῦ ἀμφι- 60
μάκρου⌋· ὃν τινες καὶ ὑπερθετικὸν καλοῦσιν, ὅτι ὑπερτιθεμένην ἔχει ἄνωθεν τὴν βραχεῖαν.

Βακχεῖος δὲ ἐκ βραχείας καὶ δύο μακρῶν, ⌊πεντάχρονος⌋. καλεῖται δὲ οὕτως διὰ τὸ πρὸς τοὺς ⟨βακχικοὺς⟩ ῥυθμοὺς ἐπιτηδείως ἔχειν. τινὲς δὲ καὶ ὑποβάκχειον καλοῦσιν αὐτόν.

Ὁ δὲ παλιμβάκχειος, ⌊ὁ καὶ διονύσιος, ἐκ δύο μακρῶν καὶ βραχείας, πεντάχρονος⌋ καὶ ἀντιβάκχειος καλεῖται, ὅτι ἐναντίως διάκειται τῷ ῥυθμῷ πρὸς τὸν βακχεῖον, διονύσιος δὲ καθὸ καὶ αὐτὸς πρὸς τὰ Διονυσιακὰ μέλη πεποίηται. τινὲς δὲ αὐτὸν προσοδιακὸν καλοῦσιν καὶ πομπευτικὸν διὰ τὸ ἐν τοῖς προσοδίοις

2 Κουρητικός schol. (RV) Arist. Nub. 651 ‖ 21 pompicus Mar. Vict. 45, 27

1 ἀμφιμακρὸς δὲ (om. καὶ) K ‖ 2 τὴν μακρὰν U ‖ 3 πρῶτοι om. K ‖ 4 γένος] μέτρον K ‖ 5 ἰωνικὸς et ἰωνικὰ codd. ‖ 7 δὲ] ὅτι K | ἐκ βραχεος (om. καὶ μακρᾶς ἐστι) U ‖ 10 ὃν] τοῦτο U | παραλαμβάνει UK; corr. Egen. ‖ 11 ἄνωθεν om. K ‖ 12 δὲ om. K ‖ 13—14 τοῖς ῥυθμοῖς ἐπιδείσεως U | βακχικοὺς add. Studem. ‖ 14 τινὲς δὲ καὶ] ἔνιοι δὲ U ‖ 16 δὲ om. K | ὃς καὶ νυσειός U ‖ 17 καλεῖται ante καὶ pon. K ‖ 19 καλεῖται δὲ καὶ διονύσιος ἐκ δύο μακρῶν καὶ βραχείας καθὸ K ‖ 19/20 διονυσικὰ codd. ‖ 20 προσοδιακὸν ex An. Ambr. 226, 13, προποδιακὸν codd. ‖ 21 καλοῦσιν καὶ πομπευτικὸν] οἱ δὲ πομπικὸν καλοῦσι U | πομπευτικὸν schol. Heph.[B] p. 29, 2, πομποτικὸν K, πομπικὸν U | προσοδίοις] προποδίοις U, ποδίοις K

*ὕμνοις οὕτω καλουμένοις καὶ ἐν ταῖς πομπαῖς εἶναι ταῖς Διονυσιακαῖς.*

*Χόρειος* — *προπαροξυτόνως, ὡς Ἡρωδιανὸς ἐν τῇ καθόλου φησὶν* — *ὁ καὶ τρίβραχυς καὶ βραχυσύλλαβος καὶ τροχαῖος, ἐκ τριῶν βραχειῶν, ⌊τρίχρονος⌋. χόρειος μὲν οὖν, ὅτι πρὸς τὰ χορικὰ μέλη πολλάκις λαμβάνεται. τρίβραχυς δὲ διὰ τὸ ἐκ τριῶν βραχειῶν συγκεῖσθαι [ἐν τρισυλλάβοις]. βραχυσύλλαβος δὲ ὡς βραχείας ἔχων τὰς πάσας συλλαβάς. τροχαῖος δέ, ἐπειδὴ ὁ Σοφοκλῆς ἐν τῷ Θαμύρᾳ* (fr. 219) *φησὶ*

*πρόποδα μέλεα· τά δ' ὅσα κλύομεν*
*τρόχιμα, βάσιμα, χέρεσι, πόδεσι.*

*Μολοσσός, ὁ καὶ τρίμακρος, ⌊ἐκ τριῶν μακρῶν, ἑξάχρονος⌋. καλεῖται δὲ μολοσσὸς διὰ τὸ μέγιστος εἶναι πάντων τῶν ἁπλῶν ποδῶν καὶ μήκιστος. τοὺς δὲ μηκίστους τὸ παλαιὸν μολοσσοὺς ἐκάλουν, ὡς Σοφοκλῆς*

*μολοσσικαῖσι χερσὶν ἐκτείνων πέλας* (fr. 727)

61 *ἀντὶ τοῦ μεγάλαις. οἱ δὲ διὰ τὸ ὑπὸ Μολοσσῶν εὑρῆσθαι πρῶτον τὸ εἶδος τῆς ῥυθμοποιίας ταύτης. καλεῖται δὲ ἵππειος πάλιν διὰ τὸ τέλειον εἶναι τὸ ζῷον.*

*Τετρασύλλαβοι δὲ δεκαέξ. Προκελευσματικός, ὁ καὶ ἰσάριθμος, ἐκ τεσσάρων βραχειῶν, ⌊τετράχρονος⌋.*

3 *χόρειος*] cf. Herodian. II 606, 11 ‖ 15 *μήκιστος* Trich. 291, 7 ‖ 20 *ἵππειος*] Ter. Maur. VI 367 v. 1397. An. Bob. GL VI 307, 12; aliter An. Ambr. 229, 20

1 *καλουμένην U* | *ταῖς προπομπαῖς U* | post *πομπαῖς* add. *ἐπιτήδειον* Egenolff coll. schol.[B] p. 29, 3 ‖ 3 *προπ.*—4 *φησι* om. *K* | *τῇ* scripsi, *ῆ U*; fort. *τῷ ῆ* ‖ 4 *ὃ*] *ὅτι U* | *τρίβραχυς καὶ*] *τρίβραχυς ὃς καὶ U*, om. *K* ‖ 5 *χορεῖος K* ‖ 6 *χοριακὰ K*, *χωρικὰ U* (in ras.) ‖ 8 *ἐν τρισυλλάβοις* aut secludenda esse aut ad *πάσας συλλαβὰς* pertinere cens. Hoersch. ‖ 10 *Θαμύρᾳ* ex An. Ambr. Nauck, *θαμύρ U*, *θαμύριδι K* ‖ 11 *κλαίομεν U* | ad 11—12 cf. An. Ambr. 226, 19 ‖ 12 *χερσι U* ‖ 17 *μολοσσικαῖσι* An. Ambr. 227, 1, *μολοσσῆσι* codd. | *πέλας*] *χεῖρας* An. Ambr., *πέδας* Nauck ‖ 18 *μολοσσὸν U* ‖ 20 *δὲ* om. *U* ‖ 21 ante *τετρασύλλαβοι* in *U διπλοῖ προκελευσματικοί* ‖ 22 *ὁ*] *ἢ U*

προκελευσματικὸς δέ, ἐπειδὴ πρῶτός ἐστι τῶν διπλῶν, ὡς καὶ τὸν πυρρίχιον ἐλέγομεν ⟨προκελευσματικὸν⟩ καὶ ἡγεμόνα.

Παίων πρῶτος, ὁ καὶ παιωνικός, ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν πεντάχρονος. παιωνικὸς δὲ διὰ τὸ ἐν τοῖς παιᾶσιν ὕμνοις παραλαμβάνεσθαι·

Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών (Aristoph. Plut. 636).

παίων δεύτερος, ἢ σύμβλητος, ὁ καὶ κουρητικός, ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν, ⌊πεντάχρονος⌋. — παίων τρίτος ἢ διδυμαῖος ἢ κουρητικὸς ἢ δελφικός, ὁ καὶ δρόμιος καὶ ἀρίθμιος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, ⌊πεντάχρονος⌋. — παίων τέταρτος, ὁ ὑπορχηματικός, ὁ καὶ κρητικός, ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς ⟨πεντάχρονος⟩· δεῖ δὲ νοῆσαι, ὅτι κρητικὸς πρῶτος καὶ τέταρτος λέγεται.

Ἰωνικὸς ἀπὸ μείζονος ἢ περσικός, ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, ⌊ἑξάχρονος⌋. ἰωνικὸς μέν, ὅτι Ἴωνες αὐτῷ ἐκέχρηντο. περσικὸς δὲ διὰ τὸ τὰς ἱστορίας τὰς περσικὰς γεγράφθαι τούτῳ τῷ μέτρῳ, ὡς παρ' Αἰσχύλῳ καὶ ἄλλοις τισίν. — ἰωνικὸς ἀπ' ἐλάσσονος ἢ ὑποκύ- 62
κλιος, ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, ⌊ἑξάχρονος⌋.

Χορίαμβος ἢ κύκλιος ἢ ὑποβάκχειος ἢ καὶ βακχεῖος κατὰ τροχαῖον, ⌊τινὲς καὶ χορείαμβον αὐτὸν ἐκά-

2 schol. Pind. Ol. I p. 14, 6 || 20 ὡς — 21 τισίν om. schol.[B] recte

1 δὲ om. U || 2 λέγομεν K | προκελευσματικὸν addidi coll. p. 213, 16 || 4 ὁ] ὡς U || 5 πεντάχρονος om. K, παιωνικὸς om. U || 6 παιάσιν U, παιῶσιν ex παίασιν? corr. K ||· 7 ἀσκλησιοῦ U || 9 ἢ U, ὁ K | συμβλητὸς Hoersch. | κουρητικὸς An. Ambr. 228, 10, κρητικὸς codd. || 10 καὶ μακρᾶς om. U || 12 δρομαῖος U | ἀρίθμιος An. Ambr., ἀριθμὸς codd. || 13 καὶ βραχείας om. U | παίων — 16 λέγεται om. U || 16 τέταρτος scripsi, μόνος K || 17 ἀπὸ μείζονος om. U || 18 δύο om. K || 19 περσικὸς — 20 ὡς παρ' om. U || 20 γεγράφθαι schol. Heph.[B], ἐγγεγράφθαι K || 23 ἢ καὶ] καὶ U

λεσαν,⌋ ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς, ⌊ἑξάχρονος⌋

*Ἀντίσπαστος*, ὁ καὶ σπονδειακὸς καὶ βακχεῖος κατὰ ἴαμβον, ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, ⌊ἑξάχρονος⌋

*Διίαμβος* ἢ παράλληλος ἴαμβος ἢ ἰαμβικὴ ταυτοποδία, ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ⌊ἑξάχρονος⌋

*Διτρόχαιος* ἢ ἀντιπαράλληλος, ὁ καὶ κρητικὸς κατὰ Ἀριστόξενον ἢ διχόρειος ἢ τροχαϊκὴ ταυτοποδία, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, ⌊ἑξάχρονος⌋

*Ἐπίτριτος* πρῶτος ⟨ἢ⟩ ἵππειος πρῶτος ἢ καὶ παρικὸς ἢ καὶ δόχμιος, ἐκ βραχείας καὶ τριῶν μακρῶν, ἑπτάχρονος. ἰστέον δ' ὅτι τοὐναντίον τοῦ παιῶνος ἐνταῦθα ἡ βραχεῖα μετέρχεται. — ἐπίτριτος δεύτερος ἢ ἵππειος δεύτερος ἢ δόχμιος δεύτερος, ὁ καὶ παρικός, ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν, ⌊ἑπτάχρονος⌋ — ἐπίτριτος τρίτος ἢ ἵππειος τρίτος, ὁ καὶ παροδικός, ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς, ⌊ἑπτάχρονος⌋ — ἐπίτριτος τέταρτος, ὁ καὶ μονογενής, ἐκ τριῶν μακρῶν καὶ βραχείας, ⌊ἑπτάχρονος⌋

*Δισπόνδειος* ἢ ἐμβατήριος, ἐκ τεσσάρων μακρῶν, ὀκτάχρονος.

⌊Καὶ τοῦτο πρόδηλον· ἐν οἷς τὰ περὶ τῶν δισυλλάβων ⟨καὶ τρισυλλάβων⟩ καὶ τετρασυλλάβων ποδῶν ὅσα ἐχρῆν περὶ ὀνομασίας εἴρηται· τὸ δὲ ῥητὸν εὐχερὲς ὂν καὶ πρόδηλον παρερχόμεθα τοῦ τεχνικοῦ.⌋

3 schol. in Pind. Ol. I p. 12, 10

3 ἀνάπαιστος ὁ καὶ σπονδεῖος κατὰ *U* ‖ 4/5 βραχείας om. *U* ‖ 6 ἢ ante ἴαμβος add. *U* ‖ 13 ἢ add. Stud. | καὶ om. *K* ‖ 15 ἐναντίον *U* ‖ 16 ἔστι γὰρ ante ἐπίτριτος *U* ‖ 23 ἐμβατήριος Nauck, ἐκβατήριος *UK*, βατήριος An. Ambr. 230, 6

## Cap. IV.

### *Περὶ ἀποθέσεως μέτρων.* 63

Περὶ ἀκαταλήκτων. Ἀκατάληκτα καλεῖται μέτρα, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει οἷον ἐπὶ δακτυλικοῦ

μῶσάγε Καλλιόπα θύγατερ Διός (Alcm. 45)·

καταληκτικὰ δέ, ὅσα μεμειωμένον ἔχουσι τὸν τελευταῖον πόδα· καὶ τὰ ἑξῆς.

*Ἰστέον ὅτι ἀπόθεσις καὶ κατάληξις ταὐτόν ἐστι. περὶ ἀποθέσεως οὖν φησιν οἱονεὶ περὶ καταλήξεως. ἔστι δὲ καὶ γενικὸν ὄνομα ἡ ἀπόθεσις οἱονεί, ὡς εἴρηται, πᾶσα κατάληξις· ἔστι δὲ καὶ ἰδικὸν ἀντὶ τοῦ ἐλάττωσις. λέγει οὖν ποῖά εἰσιν ἀκατάληκτα μέτρα καὶ ποῖα καταληκτικὰ εἰς συλλαβὴν ἢ δύο συλλαβάς.*

*Ἀκατάληκτα τοίνυν ἐστίν, ὡς καὶ αὐτὸς σαφῶς παραδίδωσιν, ὅσα ἔχουσι τέλειον τὸν τελευταῖον πόδα μηδὲν λείποντα, οἷόν φησι τὸ παράδειγμα ἐπὶ δακτυλικοῦ τετραμέτρου· ἔχει γὰρ τοὺς τέσσαρας πόδας τελείους*

*μῶσάγε Καλλιόπα θύγατερ Διός.*

*Καταληκτικὰ δὲ τοὐναντίον ὅσα τὸν τελευταῖον πόδα ἀτελῆ ἔχουσιν, οἷον ἐπὶ ἰάμβου φησὶν*

*χαίροις ἀνύμφα, χαιρέτω δ' ὁ γαμβρός* (Sapph. 103)·

9 schol.[A] 113, 16. schol.[B] (lib. IV) 16, 25 || 15 Tricha 258, 31

2 *μέτρον* *U* || 3 titulum add. *K*[2] in mg., om. *U*; sed cf. 223, 19 || 4 *ἔχουσιν ὡς ἐπὶ τοῦδε τοῦ* *K* || 6 *μοῦσάγε* *K* | *θυγατέρα* *U* || 7 *τελευταῖον* om. *K* || 8 *τὰ* om. *U* || 10 *οἷον* *U* | *περὶ* om. *K* || 12 *τοῦ* om. *U* || 15 *εἰσὶν* *U* | *καὶ* om. *K* || 16 *δίδωσιν* *K* || 17 *τὸ* om. *U* || 18 *τετραμέτρου* Stud., *διμέτρου* codd. | *τέσσαρας πόδας]* *τρεῖς δακτύλους* *U* || 21 *καὶ ὅσα* *K* || 22 *ἀτελῆ πόδα* *K* | *ἰαμβικοῦ* Heph. || 23 ἀνύμφα U

*πέντε γὰρ ἔχει πόδας καὶ συλλαβήν. ἐὰν δὲ τρισύλλαβος ᾖ ὁ ποὺς ὁ ἐπὶ τοῦ τέλους καὶ συνιστὰς τὸ πᾶν μέτρον, ⟨οἷον⟩ ἐὰν ᾖ δακτυλικόν, δύναται εἶναι καταληκτικὸν εἰς συλλαβήν, τουτέστιν δύναται λείπειν δύο συλλαβάς, οἷόν φησι πάλιν ὁ αὐτὸς ἐπὶ δακτυλικοῦ μέτρου τὸ παράδειγμα*

64 *ἐν δὲ Βατουσιάδης* (Archil. 104)·

*δύο γὰρ ἔχει πόδας καὶ συλλαβὴν μίαν, καὶ τριμέτρου ὄντος ἡ ἐπὶ τέλους μία συλλαβὴ τόπον τοῦ τρισυλλάβου δακτύλου μόνη ἀνεπλήρωσεν. ἐπὶ δὲ τῶν τοιούτων μέτρων τῶν λειπόντων καὶ μὴ ὄντων ἐντελῶν τὰ μὲν παρὰ μίαν μόνην ὄντα συλλαβὴν λέγεται καταληκτικὰ εἰς δισύλλαβον (κατέληξε γὰρ εἰς δισύλλαβον πόδα, λείπει δὲ μία συλλαβή, ἵνα ᾖ τρισύλλαβος), τὰ δὲ παρὰ δύο συλλαβὰς λέγονται καταληκτικὰ εἰς συλλαβήν, ὅτι κατέληξεν εἰς συλλαβήν, λείπουσι δὲ ἔξωθεν δύο συλλαβαί, ἵνα ᾖ τὸ πᾶν τρισύλλαβον.*

*Διὰ τοῦτο γὰρ καὶ εἰς τὸ ἔπος εἰώθαμεν λέγειν· γένους μέν ἐστι δυαδικοῦ τετρασήμου, εἴδους δακτυλικοῦ, μεγέθους ἑξαμέτρου κατὰ πόδα, σχέσεως τακτικῆς, συντάξεως συνθέτου, ἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβον, τομῆς † τῆσδε. Ἐπειδὴ κυρίως τὸ μέτρον τοῦ ἔπους δακτυλικόν ἐστι πᾶν (εἰ γὰρ καὶ*

1—6 schol.[A] 113, 22 ‖ 18 sqq. An. Vat. AV 97 § 1. An. Chis. § 10

1 *καὶ συλλαβὴν* om. *U* ‖ 2 *ἐπὶ* Mendels., *ἀπὸ* codd. | *τοῦ* om. *U* | *συνιστῶν K* | *ᾖ*] *ἢ U*, *ἔστι K* ‖ 3 *οἷον ἔστι τὸ* Stud. ‖ 5 *εἰς δύο U*; cf. 224, 2 ‖ 9 *ἡ* om. *K* ‖ 10 *ἀνεπλήρωσε μόνη K* | *τῶν* om. *U* ‖ 12 *μόνην* om. *K* | *συλλαβὴν ὄντα K* ‖ 15 *λέγεται καταληκτικὸν U* ‖ 16 *λείπει U* ‖ 17 *ᾖ* om. *U* ‖ 18 *καὶ* om. *K* ‖ 20 *πόδας U* ‖ 22 *τομῆς τῆςδε* om. *U*; quamquam *τῆσδε* perversum est, *τομὴ* desiderari nequit; cf. AV 97; An. Chis. § 10 | ante *ἐπειδὴ* Hoersch. inseruit *εἴδους μὲν οὖν ἐστι δακτυλικοῦ*, sed videtur anacoluthum non sanandum ‖ 22—23 κυρίως *δακτυλικόν ἐστι τοῦ ἔπους τὸ μέτρον* (om. πᾶν) K

εὑρίσκεται σπονδεῖος ἐν αὐτῷ, ἀλλ᾽ οὖν δυνάμει καὶ αὐτὸς δάκτυλός ἐστι, τῆς δευτέρας τοῦ σπονδείου μακρᾶς ἀντὶ δύο βραχειῶν οὔσης καὶ κατὰ κρᾶσιν ⟨δύο⟩ βραχειῶν εἰς μίαν μακρὰν συνελθουσῶν) — ἐπειδὴ οὖν δακτυλικόν ἐστι τὸ μέτρον τοῦ ἔπους, κατὰ πόδα ἕνα ἑξάμετρον, ἔχει πέντε τελείους πόδας καὶ δύο συλλαβάς, τουτέστιν ἢ σπονδεῖον ἢ τροχαῖον, τῆς τελευταίας ἀδιαφορούσης, ὡς αὐτὸς μέλλει εἰπεῖν, καλῶς φαμὲν ʽἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβον᾽· καταλήγει γὰρ εἰς δύο συλλαβάς, λείπει δὲ μία, ἵνα γένηται τρισύλλαβον.

Ἄξιον δὲ ἡμᾶς πάντα ταῦτα τὰ τοῦ ἔπους ἐπεξεργάσασθαι, παρεπόμενα καὶ ἀχώριστα συμβεβηκότα ὄντα. Ἰστέον τοίνυν ὅτι γένους μέν ἐστι δυαδικοῦ τετρασήμου. ἐπειδὴ τεσσάρων ὄντων δισυλλάβων ποδῶν (πυρριχίου, σπονδείου, ἰάμβου καὶ τροχαίου) δύο μόνοι ἐξ αὐτῶν εἰσιν οἱ ἀποτελεστικοὶ μέτρων, ὅ τε ἴαμβος καὶ ὁ τροχαῖος (ὅθεν καὶ ἰαμβικὸν λέγεται μέτρον ἢ τρο- 65
χαϊκόν, οὐ μὴν πυρριχιακὸν ἢ σπονδειακόν, εἰ καὶ παραλαμβάνονται ἔστιν ὅτε κατά τινας χώρας τοῦ ἰάμβου καὶ τοῦ τροχαίου)· ἔστιν οὖν ὁ ἴαμβος γένους μὲν δυαδικοῦ τρισήμου οἱονεὶ τριχρόνου· ⌊ἐκ βραχείας ⟨γὰρ⟩ καὶ μακρᾶς συγκείμενος τρεῖς ποιεῖ χρόνους⌋. ὁμοίως δὲ καὶ ἐν τοῖς τρισυλλάβοις ὀκτὼ ὄντων τῶν

17 ἀποτελεστικοὶ cf. Trich. 255, 5

3 οὔσης — 4 βραχειῶν om. *U* ‖ 3 δύο inser. Mendelss. | συνελθούσης codd. ‖ 5 τοῦ om. *U* ‖ 6 καὶ ἔχει *K*, ἔστι καὶ ἔχει Hoersch. ‖ 7 ἢ bis] καὶ *U* ‖ 12 ταῦτα πάντα *K* | τὰ om. *U* ‖ 14 τοίνυν] δὲ *U* | post ἐστι add. *U* εἶπε ‖ 15 δισυλλάβων] συλλαβῶν *U* ‖ 16 καὶ ὁ] καὶ *U* ‖ 18 μέτρον λέγεται *K* ‖ 20 παραλαμβάνονται scripsi, λαμβάνονται *U*, συλλαμβάνονται *K* | κατὰ] καὶ κατὰ *U* ‖ 21 τοῦ om. *U* ‖ 22 μὲν om. *K* ‖ 23 γὰρ addidi coll. 223, 9

*ποδῶν δύο μόνοι εἰσὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος, ὅθεν καὶ περὶ αὐτῶν μόνων διαλαμβάνει ὁ τεχνικός, περί τε δακτυλικοῦ μέτρου κατ' ἰδίαν καὶ περὶ ἀναπαιστικοῦ· ἐπειδὴ οὖν ὁ στίχος ἀπὸ δακτύλου σύγκειται, εἰώθαμεν λέγειν· 'γένους μέν ἐστι δυαδικοῦ ⟨τετρασήμου⟩'. δύο γὰρ μόνοι εἰσὶ γενικοὶ καὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος. τετρασήμου δὲ εἴρηται οἱονεὶ τετραχρόνου· ⌊ἐκ μακρᾶς γὰρ καὶ δύο βραχειῶν συγκείμενος ὁ δάκτυλος τέσσαρας ἔχει χρόνους⌋. — Τὸ δὲ εἶδος δακτυλικὸν νενόηται. — Πάλιν μεγέθους ἑξαμέτρου κατὰ μονοποδίαν εἴρηται, ἐπειδὴ οὐ κατὰ διποδίαν μετρεῖται ὁ στίχος, ὡς ἕτερα πολλὰ μέτρα, οἷον ὁ ἴαμβος· οὗτος γὰρ ἓξ ἁπλοῦς πόδας ἔχων καὶ κατὰ διποδίαν μετρούμενος τρίμετρος καλεῖται· ὁ δὲ στίχος ὁ ἑξάμετρος κατὰ ἕνα πόδα μετρούμενος καὶ οὐ κατὰ διποδίαν, ὡς προείπομεν. — ⌊Πάλιν σχέσεως τακτικῆς λέγεται . . . .⌋*

Περὶ βραχυκαταλήκτων. (13, 18) βραχυκατάληκτα δὲ καλεῖται, ὅσα ἀπὸ διποδίας ἐπὶ τέλους ὅλῳ ποδὶ μεμείωται. καὶ ἑξῆς. — *U*

Βραχυκατάληκτα δὲ λέγεται, ὅσα ἀπὸ διποδίας ὅλῳ ποδὶ μεμείωται ἐπὶ τέλους, οἷον ἐπὶ ἰάμβου. καὶ τὰ ἑξῆς. — *K*

*Εἰπὼν περὶ ἀκαταλήκτων καὶ καταληκτικῶν μέτρων βούλεται διαλαβεῖν καὶ λέγει πάλιν περὶ βραχυκατα-*

1 *εἰσι μονοὶ K* ‖ 2 *καὶ ὁ*] *καὶ U* ‖ 4 *οὖν* om. *U* ‖ 5—6 *γένος ἐστὶ U* ‖ 6 *τετρασήμου* addidi ‖ 7 *γενικοὶ* in mg. (om. *καὶ*) *U* | *ὁ* om. *U* ‖ 8 *δὲ*] *γὰρ K* ‖ 10—11 *εἴδους δακτυλικοῦ νόηται U* ‖ 11—12 *κατὰ ποδίαν U* ‖ 13 *ὁ* om. *U* ‖ 14 *γὰρ* om. *U* | *ἁπλοῦς* om. *K* | *ἔχων πόδας K* | *καὶ* om. *K* | *ποδίαν U* et sic saepius ‖ 15 *μετρούμενος* Hoersch., *μετρουμένους* codd. | *ὁ* (sec. l.) om. *K* ‖ 18 lac. indicavi ‖ 25 *εἰπὼν—μέτρων* om. *K*, tum περὶ βραχυκαταλήκτων *διαλαμβάνει καὶ φησὶν* ὅτι βραχυκατάληκτα K

*προκελευσματικὸς δέ, ἐπειδὴ πρῶτός ἐστι τῶν διπλῶν, ὡς καὶ τὸν πυρρίχιον ἐλέγομεν ⟨προκελευσματικὸν⟩ καὶ ἡγεμόνα.*

*Παίων πρῶτος, ὁ καὶ παιωνικός, ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν πεντάχρονος. παιωνικὸς δὲ διὰ τὸ ἐν τοῖς παιᾶσιν ὕμνοις παραλαμβάνεσθαι·*

*Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών* (Aristoph. Plut. 636).

*παίων δεύτερος, ἢ σύμβλητος, ὁ καὶ κουρητικός, ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν, ⌊πεντάχρονος⌋. — παίων τρίτος ἢ διδυμαῖος ἢ κουρητικὸς ἢ δελφικός, ὁ καὶ δρόμιος καὶ ἀρίθμιος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, ⌊πεντάχρονος⌋. — παίων τέταρτος, ὁ ὑπορχηματικός, ὁ καὶ κρητικός, ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς ⟨πεντάχρονος⟩· δεῖ δὲ νοῆσαι, ὅτι κρητικὸς πρῶτος καὶ τέταρτος λέγεται.*

*Ἰωνικὸς ἀπὸ μείζονος ἢ περσικός, ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, ⌊ἑξάχρονος⌋. ἰωνικὸς μέν, ὅτι Ἴωνες αὐτῷ ἐκέχρηντο. περσικὸς δὲ διὰ τὸ τὰς ἱστορίας τὰς περσικὰς γεγράφθαι τούτῳ τῷ μέτρῳ, ὡς παρ' Αἰσχύλῳ καὶ ἄλλοις τισίν. — ἰωνικὸς ἀπ' ἐλάσσονος ἢ ὑποκύ-* 62
*κλιος, ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, ⌊ἑξάχρονος⌋.*

*Χορίαμβος ἢ κύκλιος ἢ ὑποβάκχειος ἢ καὶ βακχεῖος κατὰ τροχαῖον, ⌊τινὲς καὶ χορείαμβον αὐτὸν ἐκά-*

2 schol. Pind. Ol. I p. 14, 6 ‖ 20 *ὡς* — 21 *τισίν* om. schol.[B] recte

1 *δὲ* om. *U* ‖ 2 *λέγομεν K* | *προκελευσματικὸν* addidi coll. p. 213, 16 ‖ 4 *ὁ*] *ὡς U* ‖ 5 *πεντάχρονος* om. *K*, *παιωνικὸς* om. *U* ‖ 6 *παιάσιν U*, *παιῶσιν* ex *παίασιν*? corr. *K* ‖ 7 *ἀσκλησιοῦ U* ‖ 9 *ἢ U*, *ὁ K* | *συμβλητὸς* Hoersch. | *κουρητικὸς* An. Ambr. 228, 10, *κρητικὸς* codd. ‖ 10 *καὶ μακρᾶς* om. *U* ‖ 12 *δρομαῖος U* | *ἀρίθμιος* An. Ambr., *ἀριθμὸς* codd. ‖ 13 *καὶ βραχείας* om. *U* | *παίων* — 16 *λέγεται* om. *U* ‖ 16 *τέταρτος* scripsi, *μόνος K* ‖ 17 *ἀπὸ μείζονος* om. *U* ‖ 18 *δύο* om. *K* ‖ 19 *περσικὸς* — 20 *ὡς παρ'* om. *U* ‖ 20 *γεγράφθαι* schol. Heph.[B], *ἐγγεγράφθαι K* ‖ 23 *ἢ καὶ*] *καὶ U*

*λεσαν,⌋ ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς, ⌊ἑξάχρονος⌋.*

*Ἀντίσπαστος, ὁ καὶ σπονδειακὸς καὶ βακχεῖος κατὰ ἴαμβον, ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, ⌊ἑξάχρονος⌋.*

*Διίαμβος ἢ παράλληλος ἴαμβος ἢ ἰαμβικὴ ταυτοποδία, ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ⌊ἑξάχρονος⌋.*

*Διτρόχαιος ἢ ἀντιπαράλληλος, ὁ καὶ κρητικὸς κατὰ Ἀριστόξενον ἢ διχόρειος ἢ τροχαϊκὴ ταυτοποδία, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, ⌊ἑξάχρονος⌋.*

*Ἐπίτριτος πρῶτος ⟨ἢ⟩ ἵππειος πρῶτος ἢ καὶ καρικὸς ἢ καὶ δόχμιος, ἐκ βραχείας καὶ τριῶν μακρῶν, ἑπτάχρονος. ἰστέον δ' ὅτι τοὐναντίον τοῦ παιῶνος ἐνταῦθα ἡ βραχεῖα μετέρχεται. — ἐπίτριτος δεύτερος ἢ ἵππειος δεύτερος ἢ δόχμιος δεύτερος, ὁ καὶ καρικός, ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν, ⌊ἑπτάχρονος⌋. — ἐπίτριτος τρίτος ἢ ἵππειος τρίτος, ὁ καὶ παροδικός, ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς, ⌊ἑπτάχρονος⌋. — ἐπίτριτος τέταρτος, ὁ καὶ μονογενής, ἐκ τριῶν μακρῶν καὶ βραχείας, ⌊ἑπτάχρονος⌋.*

*Δισπόνδειος ἢ ἐμβατήριος, ἐκ τεσσάρων μακρῶν, ὀκτάχρονος.*

*⌊Καὶ τοῦτο πρόδηλον· ἐν οἷς τὰ περὶ τῶν δισυλλάβων ⟨καὶ τρισυλλάβων⟩ καὶ τετρασυλλάβων ποδῶν ὅσα ἐχρῆν περὶ ὀνομασίας εἴρηται· τὸ δὲ ῥητὸν εὐχερὲς ὂν καὶ πρόδηλον παρερχόμεθα τοῦ τεχνικοῦ.⌋*

3 schol. in Pind. Ol. I p. 12, 10

3 *ἀνάπαιστος ὁ καὶ σπονδεῖος κατὰ U* ‖ 4/5 *βραχείας* om. *U* ‖ 6 *ἢ* ante *ἴαμβος* add. *U* ‖ 13 *ἢ* add. Stud. | *καὶ* om. *K* ‖ 15 *ἐναντίον U* ‖ 16 *ἔστι γὰρ* ante *ἐπίτριτος U* ‖ 23 ἐμβατήριος Nauck, *ἐκβατήριος UK, βατήριος* An. Ambr. 230, 6

τίζειν εἰς τέλος λέξεως καὶ πάλιν ἀπ' ἀρχῆς θέλει ἄρχεσθαι. μᾶλλον δ' ἀκριβέστερον ἐξετάσαντες οἱ περὶ Ἀριστοφάνην τὸν γραμματικὸν καὶ Ἀρίσταρχον, ὡς ἐν τῇ συντάξει τῆς ὀρθογραφίας ἀκριβέστερον ἔγνωμεν, τὸ $\overline{ν}$ τῷ ἐπιφερομένῳ στίχῳ ἐπετίθεσαν, λέγοντες ὅτι ὁ λόγος ἔρρωται ἐπὶ παθῶν. τοῦτο γὰρ καὶ τὰ ὅμοια πάθη εἰσίν, οἱ δὲ κανόνες τῶν ὑγιῶν, οὐ τῶν πεπονθότων εἰσὶ κανονιστικοί. ὅμως δὲ εὑρέθησαν πολλὰ μέτρα εἰς μέρος λέξεως ἀπαρτίζοντα καὶ ἀπὸ τοῦ ἄλλου μέρους τῆς λέξεως ἀρχόμενα· καὶ φέρει μὲν ὁ τεχνικός τινα παραδείγματα. εἰσὶ δὲ καὶ ἄλλα πολλά, οἷον παρὰ Καλλιμάχῳ ἐν Ἐπιγράμμασιν (XLII)

ἥμισύ μοι ψυχῆς ἔτι τὸ πνέον, ἥμισυ δ' οὐκ οἶδ'
εἴτ' Ἔρος εἴτ' Ἀΐδης ἥρπασεν ἐκ μερόπων·

καὶ Μένανδρος ἐν Πλοκίῳ (fr. 412)

λεπτὸν μεθ' ἑτέρας ἱστὸν ὑφαίνει·

καὶ ἐξαιρέτως παρὰ Σοφοκλεῖ (OT 332 sq.)

ἐγὼ οὔτ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ. τί ταῦτ'
ἄλλως ἐλέγχεις; οὐ γὰρ ἂν πύθοιό μου,

ὥστε καλεῖσθαι τὸ εἶδος Σοφόκλειον καὶ ἐπισυναλοιφὴν διὰ τὸ ἐπισυνάπτεσθαι τὸ σύμφωνον τῷ ἑξῆς ἰάμβῳ ἢ στίχῳ. ἰστέον δ' ὅτι διὰ τὸ ἀδύνατον ὁ Εὐφορίων τὸ Ἀπολλόδωρος διέλυσε φάσκων

καί τις Ἀπολλό-
δωρος ἐφ' υἱέα Λειοφόωντος.

4 cf. Hilgard GGr IV 1 p. LXXXI

4 ἀκριβέστερον τῆς ὀρθογραφίας *U* ‖ 5 τῷ om. *U* ‖ 9 μέρος Hoersch., μέρη *K*, μέσον *U* ‖ 13 ἔτι Callim., ἐστὶ *U*, ἐπὶ *K* ‖ 14 εἴθ' *K* (ergo legit Αἴδης) | μετώπων *K*, μελέων Gaisf. ἥρπασε· πλὴν ἀφανές Callim. ‖ 15 versus exitum post ὑφ censuit indicandum Denig ‖ 18 ἔγωγ' *K* | ἀλγύνω *U* | τί ταῦτ'] τὸ ταύτης *U* ‖ 19 ἀλλὰ ὧς ἐλέγχθει σὺ γὰρ *U* ‖ 20 ἐπισυναλοιφὴ *K* | 21 συνάπτεσθαι *U* ‖ 22 ἢ στίχῳ scripsi, ἢ τῷ στίχῳ *U*, ἤτοι τῷ στίχῳ *K*, delet Caes. | ὁ om. *U* ‖ 23 διέλυσε — 24 ἀπολλόδωρος om. *U* ‖ 25 λειφόωντος *U*

πέντε γὰρ ἔχει πόδας καὶ συλλαβήν. ἐὰν δὲ τρισύλλαβος ᾖ ὁ ποὺς ὁ ἐπὶ τοῦ τέλους καὶ συνιστὰς τὸ πᾶν μέτρον, ⟨οἷον⟩ ἐὰν ᾖ δακτυλικόν, δύναται εἶναι καταληκτικὸν εἰς συλλαβήν, τουτέστιν δύναται λείπειν δύο συλλαβάς, οἷόν φησι πάλιν ὁ αὐτὸς ἐπὶ δακτυλικοῦ μέτρου τὸ παράδειγμα

64 ἐν δὲ Βατουσιάδης (Archil. 104)·

δύο γὰρ ἔχει πόδας καὶ συλλαβὴν μίαν, καὶ τριμέτρου ὄντος ἡ ἐπὶ τέλους μία συλλαβὴ τόπον τοῦ τρισυλλάβου δακτύλου μόνη ἀνεπλήρωσεν. ἐπὶ δὲ τῶν τοιούτων μέτρων τῶν λειπόντων καὶ μὴ ὄντων ἐντελῶν τὰ μὲν παρὰ μίαν μόνην ὄντα συλλαβὴν λέγεται καταληκτικὰ εἰς δισύλλαβον (κατέληξε γὰρ εἰς δισύλλαβον πόδα, λείπει δὲ μία συλλαβή, ἵνα ᾖ τρισύλλαβος), τὰ δὲ παρὰ δύο συλλαβὰς λέγονται καταληκτικὰ εἰς συλλαβήν, ὅτι κατέληξεν εἰς συλλαβήν, λείπουσι δὲ ἔξωθεν δύο συλλαβαί, ἵνα ᾖ τὸ πᾶν τρισύλλαβον.

Διὰ τοῦτο γὰρ καὶ εἰς τὸ ἔπος εἰώθαμεν λέγειν· γένους μέν ἐστι δυαδικοῦ τετρασήμου, εἴδους δακτυλικοῦ, μεγέθους ἑξαμέτρου κατὰ πόδα, σχέσεως τακτικῆς, συντάξεως συνθέτου, ἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβον, τομῆς † τῆσδε. Ἐπειδὴ κυρίως τὸ μέτρον τοῦ ἔπους δακτυλικόν ἐστι πᾶν (εἰ γὰρ καὶ

1—6 schol.[A] 113, 22 ‖ 18 sqq. An. Vat. AV 97 § 1. An. Chis. § 10

1 *καὶ συλλαβὴν* om. *U* ‖ 2 *ἐπὶ* Mendels., *ἀπὸ* codd. | *τοῦ* om. *U* | *συνιστῶν K* | *ᾖ*] *ἢ U*, *ἔστι K* ‖ 3 *οἷον ἔστι τὸ* Stud. ‖ 5 *εἰς δύο U*; cf. 224, 2 ‖ 9 *ἡ* om. *K* ‖ 10 *ἀνεπλήρωσε μόνη K* | *τῶν* om. *U* ‖ 12 *μόνην* om. *K* | *συλλαβὴν ὄντα K* ‖ 15 *λέγεται καταληκτικὸν U* ‖ 16 *λείπει U* ‖ 17 *ᾖ* om. *U* ‖ 18 *καὶ* om. *K* ‖ 20 *πόδας U* ‖ 22 *τομῆς τῆςδε* om. *U*; quamquam *τῆσδε* perversum est, *τομὴ* desiderari nequit; cf. AV 97; An. Chis. § 10 | ante *ἐπειδὴ* Hoersch. inseruit *εἴδους μὲν οὖν ἐστι δακτυλικοῦ*, sed videtur anacoluthum non sanandum ‖ 22—23 *κυρίως δακτυλικόν ἐστι τοῦ ἔπους τὸ μέτρον* (om. *πᾶν*) K

*μὴν πλέον τῶν ἓξ μέτρων εὑρίσκεται. οἷον κατὰ πόδα μονόμετρον τὸ φεῦ φεῦ καί τινα τοιαῦτα συνεχῶς παρὰ τραγικοῖς εὑρισκόμενα.*

*Εἶτα λέγει περὶ τῆς ἕκτης χώρας τοῦ ἰάμβου, ὅτι* 69
*δέχεται ἢ ἴαμβον ἢ πυρρίχιον.* 'ὅταν δὲ καταληκτικόν, τὸν ἴαμβον παραλήγοντα ἢ σπανίως τρίβραχυν, ὥστε γενέσθαι τὴν κατακλεῖδα ἤτοι ἀμφίβραχυν ἢ βακχεῖον'.

*Κατακλεῖδα λέγει* ⟨*τὸν πρὸ τῆς καταληκτικῆς συλλαβῆς πόδα καὶ αὐτὴν*⟩ *τὴν ληκτικὴν συλλαβήν. τοῦτο οὖν φησιν, ὅτι ἡνίκα ἐστὶ καταληκτικὸν μέτρον τοῦ ἰάμβου, τουτέστι λεῖπον συλλαβῇ, τότε τὸν παραλήγοντα, τουτέστι τὸν πέμπτον, πόδα ἴαμβον ἔχει ἢ σπανίως τρίβραχυν, τῶν δύο βραχειῶν εἰς μίαν μακρὰν παραλαμβανομένων κατὰ τὴν καλουμένην κοινὴν λύσιν, ὡς πολλάκις προείρηται, καὶ τὴν τελευταίαν συλλαβὴν τοῦ ἕκτου ποδὸς ἢ μακρὰν ἢ βραχεῖαν. εἰ μὲν γὰρ βραχεῖαν, ἀμφίβραχυς εὑρεθήσεται ὁ πέμπτος πούς, οἷον τὸ τετράμετρον Ἱππώνακτος* (90 = Heph. 16, 23) [*εἰ ἄρα βραχεῖα ἐστὶν ἡ ἐν τέλει, ἐν τῷ*]

*εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα.*

*εἰ δὲ μακράν, τότε βακχεῖος εὑρεθήσεται ὁ πέμπτος πούς, οἱονεὶ ὁ ἐκ βραχείας καὶ δύο μακρῶν συγκείμενος, οἷον τὸ Ἀρχιλόχου τρίμετρον* (fr. 116)

*ὄγμος κακοῦ δὲ γήραος καθαιρεῖ*

*καὶ τὰ τοιαῦτα.*

8 schol.[B] (lib. IV) 17, 1 ‖ 15 cf. 191, 1

3 *παρὰ τοῖς γραμματικοῖς U* ‖ 4 *ἰαμβικοῦ U* ‖ 5 *ἢ* (pr. l.) om. *U* | *ὅτε K* ‖ 6 *τὸν* om. *U* | *ὥστε*] *ὅς τε U* ‖ 7 *τὴν* om. *K* | *κατάκλειδα* semper *U* | *καὶ τὰ ἑξῆς* post *βακχεῖον* add. *K* ‖ 8—9 lac. explevi ex schol.[B] p. 17, 1 ‖ 9 *τὴν*] *οἱονεὶ τὴν K* ‖ 11 *συλλαβῆς K, συλλαβὴν U* | *τὸν* om. *U* ‖ 13 *μίαν* om. *U* ‖ 14 *λαμβανομένων U* ‖ 16 *εἰ* — 18 *Ἱππώνακτος* in *K* post 227, 11 ‖ 16 *βραχεῖα K* ‖ 19 *εἰ* — *τῷ* del. Hoersch. ‖ 20 *καλή τε*] *καλεῖται U* ‖ 21 *μακρὰν* om. *K* | βακχεῖος] βραχεῖος *U* ‖ 22 *ὁ ἐκ*] *ἐκ U* ‖ 24 *καλοῦ K* | *καθαιρεῖ* om. K

*ποδῶν δύο μόνοι εἰσὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος, ὅθεν καὶ περὶ αὐτῶν μόνων διαλαμβάνει ὁ τεχνικός, περί τε δακτυλικοῦ μέτρου κατ' ἰδίαν καὶ περὶ ἀναπαιστικοῦ· ἐπειδὴ οὖν ὁ στίχος ἀπὸ δακτύλου σύγκειται, εἰώθαμεν λέγειν· 'γένους μέν ἐστι δυαδικοῦ ⟨τετρασήμου⟩'. δύο γὰρ μόνοι εἰσὶ γενικοὶ καὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος. τετρασήμου δὲ εἴρηται οἱονεὶ τετραχρόνου· ⌞ἐκ μακρᾶς γὰρ καὶ δύο βραχειῶν συγκείμενος ὁ δάκτυλος τέσσαρας ἔχει χρόνους⌟. — Τὸ δὲ εἶδος δακτυλικὸν νενόηται. — Πάλιν μεγέθους ἑξαμέτρου κατὰ μονοποδίαν εἴρηται, ἐπειδὴ οὐ κατὰ διποδίαν μετρεῖται ὁ στίχος, ὡς ἕτερα πολλὰ μέτρα, οἷον ὁ ἴαμβος· οὗτος γὰρ ἓξ ἁπλοῦς πόδας ἔχων καὶ κατὰ διποδίαν μετρούμενος τρίμετρος καλεῖται· ὁ δὲ στίχος ὁ ἑξάμετρος κατὰ ἕνα πόδα μετρούμενος καὶ οὐ κατὰ διποδίαν, ὡς προείπομεν. — ⌞Πάλιν σχέσεως τακτικῆς λέγεται . . . .⌟*

Περὶ βραχυκαταλήκτων. (13, 18) βραχυκατάληκτα δὲ καλεῖται, ὅσα ἀπὸ διποδίας ἐπὶ τέλους ὅλῳ ποδὶ μεμείωται. καὶ ἑξῆς. — *U*

Βραχυκατάληκτα δὲ λέγεται, ὅσα ἀπὸ διποδίας ὅλῳ ποδὶ μεμείωται ἐπὶ τέλους, οἷον ἐπὶ ἰάμβου. καὶ τὰ ἑξῆς. — *K*

*Εἰπὼν περὶ ἀκαταλήκτων καὶ καταληκτικῶν μέτρων βούλεται διαλαβεῖν καὶ λέγει πάλιν περὶ βραχυκατα-*

1 *εἰσι μονοὶ K* ‖ 2 *καὶ ὁ*] *καὶ U* ‖ 4 *οὖν* om. *U* ‖ 5—6 *γένος ἐστὶ U* ‖ 6 *τετρασήμου* addidi ‖ 7 *γενικοὶ* in mg. (om. *καὶ*) *U* | *ὁ* om. *U* ‖ 8 *δὲ*] *γὰρ K* ‖ 10—11 *εἴδους δακτυλικοῦ νόηται U* ‖ 11—12 *κατὰ ποδίαν U* ‖ 13 *ὁ* om. *U* ‖ 14 *γὰρ* om. *U* | *ἁπλοῦς* om. *K* | *ἔχων πόδας K* | *καὶ* om. *K* | *ποδίαν U* et sic saepius ‖ 15 *μετρούμενος* Hoersch., *μετρουμένους* codd. | *ὁ* (sec. l.) om. *K* ‖ 18 lac. indicavi ‖ 25 *εἰπὼν—μέτρων* om. *K*, tum *περὶ βραχυκαταλήκτων διαλαμβάνει καὶ φησὶν ὅτι* βραχυκατάληκτα K

ἀρτίους τούτους τε καὶ σπονδεῖον καὶ ἀνάπαιστον. καταληκτικὸν δὲ ὅτε ἐστί, τὸν παραλήγοντα μάλιστα μὲν τροχαῖον δέχεται, ἔστι δ' ὅτε καὶ τρίβραχυν· *καὶ τὰ ἑξῆς.*

*Εἰπὼν περὶ τοῦ ἰαμβικοῦ νῦν καὶ περὶ τοῦ ἀντιπαθοῦς αὐτοῦ βούλεται τροχαϊκοῦ διαλαβεῖν. ὅτι γὰρ ἀντιπαθεῖ αὐτὸ δῆλον, ἐπεὶ ⌊ἐκ τοῦ τροχαϊκοῦ αὐτοῦ μέτρου ἐὰν ἀπάρῃς τὴν πρώτην συλλαβήν, ἰαμβικὸν εὑρίσκεται καταληκτικὸν εἰς συλλαβήν· καὶ ἔμπαλιν⌋ ἐὰν ἐκ τοῦ ἰαμβικοῦ ἐκβάλῃς τὴν πρώτην συλλαβήν, τροχαϊκὸν εὑρίσκεται καταληκτικὸν εἰς συλλαβήν.*

*Ἰστέον δ' ὅτι τινὲς τὸν τροχαῖον καλοῦσι καὶ χορεῖον, ὡς ἐν τοῖς χοροῖς εὑρισκόμενον, ὅθεν καὶ τὸ χοριαμβικὸν μέτρον, ὡς δείξομεν, λέγεται, τὸ ἐκ τροχαίου καὶ ἰάμβου συγκείμενον.*

*Εἶτα λοιπὸν αὐτὸς σαφῶς διδάσκει, πόθεν σύγκειται τὸ καλούμενον Εὐριπίδειον ἢ ληκύθιον.* — (18, 7) *ἰστέον δὲ ὅτι τοὺς τραγικοὺς ληκύθους ἐκάλουν, ὅθεν* (1 *καὶ Καλλίμαχος* (98[c]) *φησὶν*

*ἥτις τραγῳδὸς μοῦσα ληκυθίζουσα·*

*ἄλλοι δὲ κομποληκύθους· ⌊ἢ ὅτι ὅμοιόν ἐστι τῷ ληκύθιον ἀπώλεσεν* (Aristoph. Ran. 1233)⌋. — *Εἶτα λέγει πολλὰ εἴδη τοῦ τροχαϊκοῦ μέτρου, σαφῶς παρατιθέμενος καὶ τὰ παραδείγματα διὰ τῶν χρήσεων ἑκάστου.*

5 schol.[A] 120, 16. 121, 17 ‖ 18—22 schol.[A] 122, 24

1 *τε* om. *U* ‖ 2 *καταληκτικὸν* — 4 *ἑξῆς* om. *U* ‖ 6 *βούλεται τοῦ K* ‖ 7 *αὐτὸ*] *αὐτῷ K* ‖ 8 *ἀπάρῃς* Egenolff, *ἐπάρῃς U* ‖ 10 *ἐκ τοῦ ἰαμβικοῦ μέτρου ἐὰν K* | *ἐκβάλῃς*] *ἐπάρῃς U* ‖ 11 *καταληκτικὸν συλλαβῆς U* ‖ 16 *διδάσκει πόθεν σύγκειται* Hoersch., *τὸ πόθεν σύγκειται διδάσκει* codd. ‖ 17 *ἢ ληκύθιον* ante *τὸ καλούμενον pon. K* ‖ 18 *δὲ* om. *U* ‖ 20 *ἥτε U* ‖ 21 *κομπηληκύθους K* | *τῷ Stud., τὸ U* ‖ 23/24 *παραθέμενος* U

'1 Cap. VII.

*Περὶ δακτυλικοῦ.*

Τὸ δακτυλικὸν δέχεται δακτύλουϲ καὶ ϲπονδείουϲ κατὰ πᾶϲαν χώραν πλὴν τῆϲ τελευταίαϲ· ἐπὶ ταύτηϲ δὲ εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει· *καὶ ἑξῆς.* — *U*

Τὸ δακτυλικὸν δέχεται δακτύλουϲ καὶ ϲπονδείουϲ κατὰ πᾶϲαν χώραν πλὴν τῆϲ τελευταίαϲ· ἐπὶ ταύτηϲ δὲ εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει ἢ διὰ τὴν ἀδιάφορον κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ' αὐτοῦ μεμειωμένα ἤτοι ϲυλλαβῇ ἢ δύο ϲυλλαβαῖϲ. καὶ τὸ μὲν καταληκτικὸν εἰϲ ϲυλλαβήν, τὸ δὲ καταληκτικὸν εἰϲ διϲύλλαβον· *καὶ τὰ ἑξῆς.* — *K*

*Διαλαβὼν περὶ τῶν δισυλλάβων μέτρων νῦν ἀκολούθως ὁ Ἡφαιστίων ἐπὶ τοὺς τρισυλλάβους μετέρχεται, πάλιν δύο μόνους ἀποτελεστικοὺς ὄντας μέτρων, λέγω δὴ τὸν δάκτυλον καὶ τὸν τούτῳ πάλιν ἀντικείμενον ἀνάπαιστον. διὰ τοῦτο γὰρ καὶ προείπομεν, ὅτι εἰώθαμεν ἐν τοῖς γένεσι τοῦ στίχου λέγειν· 'γένους μέν ἐστι δυαδικοῦ. τετρασήμου', ἐπειδὴ ὀκτὼ ὄντων τῶν τρισυλλάβων ποδῶν δύο μόνοι εἰσὶν οἱ ἀποτελεστικοὶ μέτρων.*

*Εἶτα λέγει πάλιν σαφῶς, πόθεν σύγκειται τὸ δακτυλικὸν μέτρον, τουτέστι τὸ ἔπος. καὶ πολλάκις καὶ τοῦτο προέγνωμεν, ὅτι πάντες δυνάμει δάκτυλοί εἰσιν οἱ πόδες τοῦ στίχου. καὶ γὰρ καὶ ὁ ἀμφίμακρος, ὁ λεγόμενος κρητικός, καὶ πάλιν ὁ παλιμβάκχειος τὴν*

25 schol.[B] (lib. V) 19, 7 sqq. schol. in Dion. Thr. 209, 8

8 *ἀκατάληκτος K* ‖ 13 *τῶν* om. *U* ‖ 14 *ὁ Ἡφαιστίων* om. *K* ‖ 16 *τὸν* (pr.) et *πάλιν* om. *K* ‖ 19 *δυαδικοῦ*] *δακτυλικοῦ K* ‖ 20 *τῶν* om. *U* | *οἱ* om. *U* ‖ 23 *καὶ* om. *U* ‖ 23—24 *καὶ πολλάκις προέγνωμεν τοῦτο καὶ K* ‖ 25 *καὶ* (post. l.) om. U

*κοινὴν ἔχουσιν ἰσοδυναμοῦσαν βραχείᾳ, ὅθεν καὶ ποδίζοντες τὸν στίχον εἰώθαμεν λέγειν· ʽἀμφίμακρος ἐκ μακρᾶς καὶ βραχείας καὶ κοινῆς, τετράχρονος', ἐν δὲ τῷ στίχῳ θεραπευόμενος δάκτυλος. καὶ τετράχρονός ἐστιν τῆς κοινῆς, ὡς εἴρηται, ἀντὶ βραχείας οὔσης, οὐ πεντάχρονος· ὁμοίως καὶ ἐπὶ τοῦ παλιμβακχείου. ἀλλὰ καὶ ὁ σπονδεῖος δυνάμει δάκτυλός ἐστι, τῆς δευτέρας μακρᾶς ἀντὶ δύο βραχειῶν παραλαμβανομένης· ⌞ὅθεν καὶ ἐν τῷ ἀναπαιστικῷ λαμβάνεται πάλιν δυνάμει ἀνάπαιστος, τῆς πρώτης μακρᾶς ἀντὶ δύο βραχειῶν παραλαμβανομένης⌟.*

*Περὶ δὲ τῆς τελευταίας συλλαβῆς αὐτοῦ σαφῶς διδάσκει, ποῖον ἐστὶν ἀκατάληκτον καὶ ποῖον καταληκτικὸν εἰς συλλαβὴν καὶ δισύλλαβον· ἰστέον δ' ὅτι παράδειγμα τοῦ ἀκαταλήκτου οὐ παραφέρει, οἱονεὶ ἔχοντος τὸν τελευταῖον πόδα τέλειον δάκτυλον. τοῦ δὲ κατα- 72
ληκτικοῦ παραφέρει καὶ εἰς δισύλλαβον καὶ πάλιν εἰς συλλαβὴν* (22, 1) *παραδείγματα.*

*Περὶ αἰολικοῦ·* (22, 18) Τὰ δὲ Αἰολικὰ καλούμενα τὸν μὲν πρῶτον ἔχει πόδα πάντως ἕνα τῶν δισυλλάβων· *καὶ τὰ ἑξῆς.* — *U*

Τὰ δ' Αἰολικὰ καλούμενα τὸν μὲν πρῶτον ἔχει πόδα πάντως ἕνα τῶν δισυλλάβων, ἢ σπονδεῖον ἢ τροχαῖον ἢ ἴαμβον ἢ πυρρίχιον· τοὺς δὲ ἐν μέσῳ πάντας δακτύλους· τὸν δὲ τελευταῖον πρὸς τὴν ἀπόθεσιν δάκτυλον

15] sed cf. 22, 7

1 *βραχεῖαν U* ‖ 2 *ἐν τῷ στίχῳ μετροῦντες* post *λέγ.* add. *U* ‖ 3 *δὲ* om. *K* ‖ 5—6 *οὐ πεντάχρονος* post 5 *ἐστὶν* pon. *K* ‖ 5 *ὡς* om. *U* ‖ 8 *βραχειῶν δύο K* | *λαμβανομένης U* ‖ 9—10 post *ἀνάπαιστος* in *U ἐιν̃* vel *ὑιν̃*? ‖ 11 *λαμβανομένης U* ‖ 13 pro *ποῖον* bis *πότε K* | *καὶ* om. *U* ‖ 15 *περιφέρει K* | *οἱονεὶ* om. *U* ‖ 16 post *τέλειον* in *U σώδα* cum ras. | *δὲ* om. *U* ‖ 17 *περιφέρει K* ‖ 18 *παράδειγμα K* ‖ 19 titul. add. $K^2$ et $U^2$ in mg. ‖ 20/21 *συλλάβων U*

μὲν ἢ κρητικὸν διὰ τὸ τοῦ τέλους ἀδιάφορον· *καὶ τὰ ἑξῆς. — K*

*Εἰπὼν περὶ τῶν κοινῶν δακτυλικῶν πάλιν περί τινων εἰδῶν τοῦ δακτυλικοῦ καὶ τέως τοῦ αἰολικοῦ φησί τινα εἴδη, σαφῶς ἀποδεικνὺς αὐτῶν καὶ τὸ μέτρον καὶ τὰ παραδείγματα. εἶτα ἐν τῷ τέλει φησίν, ὅτι εἰσὶ καί τινα λογαοιδικὰ καλούμενα δακτυλικά, ὧν πάλιν φησὶ τὰ παραδείγματα καὶ τὰ μέτρα, σαφῆ ὄντα καὶ σχεδὸν ἐξηγήσεως μὴ δεόμενα. λογαοιδικὰ δ' ἐκλήθησαν, ἐπειδὴ ἔν τισιν ἴσα ἀμέτροις δοκοῦσιν ὡς ἐπὶ λόγου εἶναι ἄνευ τινὸς μέτρου διὰ τὸ ἄρρυθμον.*

## Cap. VIII.

### *Περὶ ἀναπαιστικοῦ.*

Τὸ δὲ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται ἀνάπαιστον καὶ σπονδεῖον, σπανίως δὲ καὶ προκελευσματικόν. (*προκελευσματικός ἐστιν ὁ ἐκ τεσσάρων βραχειῶν.*) — *U*

Τὸ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται ἀνάπαιστον καὶ σπονδεῖον, σπανίως δὲ καὶ τὸν προκελευσματικόν, παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ δάκτυλον. κατὰ δὲ συζυγίαν διαιρεῖται, εἰσὶ δὲ αὐτοῦ ἀποθέσεις ἕξ. — *K*

*Εἰπὼν δὲ περὶ τοῦ δακτυλικοῦ ἀναλόγῳ τάξει κέχρηται περὶ τοῦ ἀντιπαθοῦς διαλαμβάνων, λέγω δὴ τοῦ*

9 *λογαοιδικά*] alia schol.[A] 130, 9

1 *διὰ* Heph., *καὶ K* ‖ 3 *πάλιν* om. *U* ‖ 5 *ἀποδείγματα αὐτοῦ U* ‖ 7 *ὅτι εἰσὶ* om. *U* ‖ 8 pro *σαφῆ* — 9 *σχεδὸν* in *U τοιαῦτα ὄντα* ‖ 10 *ἴσα*] *εἰσιν U* | *ἀμέτροις* $K^3$, *μέτροις KU* ‖ 11 *λόγων U* | vv. *ἄνευ τινὸς μέτρου* del.? Hoersch. | *ἄρρυθμον*] *εὐρήθμιον U* ‖ 13 *πρᾶξις ς'* add. *U*, *περὶ ἀναπ.* $K^2$ in mg. ‖ 16 *προκελευσματικὸς* — 17 *βραχειῶν* sunt etiam in *K* post ἕξ (21), sed inepte posita; del. Hoersch. ‖ 16 δὲ ante ἐστιν inser. K ‖ 22 *δὲ* et *τοῦ* om. *K* | *τάξει*] *πράξει U* ‖ 23 δὴ] δὲ U, om. K

ἀναπαιστικοῦ ⌊ἐκ δύο βραχειῶν καὶ μακρᾶς λαμβανομένου⌋. εἶτα λέγει σαφῶς αὐτός, πόθεν σύγκειται, ὅτι ἓξ ἔχει ἀποθέσεις ἤτοι καταλήξεις, καὶ ἀριθμὸν αὐτῶν παραφέρει καὶ τὰς χρήσεις. — (25, 5) Εἶτα δείκνυσιν, ὅτι τὸ τετράμετρον τὸ καλούμενον Ἀριστοφάνειον οὐκ 73 ἦν αὐτοῦ τοῦ Ἀριστοφάνους εὕρημα, ἀλλ' ἑτέρου τινὸς παλαιοτέρου τοῦ Ἀριστοφάνους. Ἀριστόξενος γάρ φησιν πρῶτος αὐτῷ ἐχρήσατο, οὗ μέμνηται Ἐπίχαρμος μεταγενέστερος ὤν. εἶτα ἐχρήσατο τούτῳ τῷ μέτρῳ καὶ αὐτὸς ὁ Ἐπίχαρμος, εἶτα Κρατῖνος, καὶ ὕστερος ὢν Κρατίνου Ἀριστοφάνης. ἐπειδὴ δὲ συνεχῶς αὐτῷ ἐχρήσατο, ἐκλήθη Ἀριστοφάνειον. καὶ φέρει τὴν χρῆσιν τοῦ Ἀριστοξένου, ὅτι ἔστι τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν (25, 19)

τίς ἀλαζονίαν πλεῖσταν παρέχει τῶν ἀνθρώπων;
οἱ μάντεις.

(τὸ δ' ἀλαζονίαν διὰ τοῦ ἰῶτα παρὰ τῷ Ἀριστοξένῳ ⌊ὀφεῖλον εἶναι δίφθογγον ἀπὸ τοῦ ἀλαζονεύω, ὡς τὸ ῥητορεύω ῥητορεία, κολακεύω κολακεία⌋). (25, 22) Λακωνικὸν δέ φησι κεκλῆσθαι διὰ τὸ τὸν Ἀλκμᾶνα Λάκωνα ὄντα λυρικὸν χρήσασθαι αὐτῷ ἢ πρῶτον ἢ συνεχέστερον μᾶλλον.

(26, 17) Τὸ δὲ δίμετρον καταληκτικὸν καλεῖται μὲν

20 schol.[A] 134, 3

2 ὅτι] ὁ *U* ‖ 3 ἀποθέσεις ἤτοι καταλήξεις] ἀπαριθμήσεις *U* ‖ ἀριθμῶν *K* ‖ 3—4 αὐτῶν παραφέρει scripsi, ἀντιπαραφέρει codd., αὐτῶν περιφέρει Hoersch. ‖ 5 τὸ (pr. l.) om. *U* ‖ 6 τοῦ om. *U* | εὕρημα — 7 Ἀριστοφάνους om. *U* ‖ 7—8 γάρ φησιν] φησὶν ὢν *K* ‖ 9 εἶτα] καὶ *U* ‖ 10 καὶ αὐτὸς ὁ Ἐπίχαρμος] εἶτα ἐπίνικος *U* (cf. Heph. p. 25, 12 ‖ 11 δὲ om. *U* ‖ 15 πλείστοις (om. παρέχει) *K* ‖ 17 τὸ δ'] ἰστέον δὲ ὅτι τὸ *U* | τῷ] τὸ *K* ‖ 20 δὲ] οὖν *K* ‖ 22 μᾶλλον συνεχέστερον *U* ‖ 23 καλεῖται μ. παρ. om. *K*

## Cap. V.

### *Περὶ ἰαμβικοῦ.*

5 *καὶ — ἀναπαιστικά* fortasse delenda sunt ‖ 6 *τὰ εἴδη* Hoersch., *αἰεὶ A*, *ἀεὶ* rell. ‖ 15 *καὶ*] *ἢ* codd. ‖ 19 *ἀφαιρεῖται* scripsi, *ὑφαιρεῖται* codd. ‖ 22 *δύο — 23 βραχείας*] *δύο, μίαν προστιθέναι μακρὰν Y* ‖ 23 *ἐὰν — 24 βραχείας* addidi, *ἢ μίαν μακρὰν* add. Hoersch. | *καὶ οὕτω σοι, τὸ μὲν δακτυλικὸν γίνεται ἀναπαιστικόν, τὸ δὲ ἀναπαιστικὸν δακτυλικόν* add. *Y* ‖ 24 *ἀλλὰ* — 260, 2 *πέλασσε* om. *Y*, secl. Hoersch.

κτύλων ι', καὶ δύο δάκτυλοι μετὰ τριῶν σπονδείων ι'. ἡ δὲ μέθοδος οὕτως· ἑκάστη τῶν ε' χωρῶν δύο δέχεται πόδας, δάκτυλόν τε καὶ σπονδεῖον. καταγράφω τοίνυν πεντάκις τὴν δυάδα· β'. β'. β'. β'. β'. ἀπὸ τῆς δευτέρας ἐπὶ τὴν πρώτην πολυπλασιάσας δὶς δύο δ'. ἀπὸ τῆς τρίτης ἐπὶ τὴν δευτέραν δὶς δ' η'. ἀπὸ τῆς τετάρτης ἐπὶ τὴν τρίτην δὶς ὀκτὼ ιϛ'. ἀπὸ τῆς πέμπτης ἐπὶ τὴν τετάρτην δὶς ιϛ' λβ'.

Ἔλθωμεν καὶ ἐπὶ τῶν ἰαμβικῶν. ἡ α' χώρα δέχεται πόδας ε', ἴαμβον χορεῖον ἀνάπαιστον δάκτυλον σπονδεῖον· ἡ δευτέρα γ', ἴαμβον χορεῖον ἀνάπαιστον· ἡ τρίτη ε'· ἡ τετάρτη γ'· ἡ πέμπτη ε'. τῇ ὁμοίᾳ οὖν χρῶμαι μεθόδῳ· ἀπὸ τῆς β' ἐπὶ τὴν πρώτην πολυπλασιάζων τρὶς ε' ιε'· ἀπὸ τῆς γ' ἐπὶ τὴν β' πεντάκις ιε' οε'· ἀπὸ τῆς δ' ἐπὶ τὴν γ' τρὶς οε' σκε'· ἀπὸ τῆς ε' ἐπὶ τὴν δ' πεντάκις σ' ͵α, πεντάκις κ' ρ', πεντάκις ε' κε'· ὥστε εἶναι ͵αρκε' τοῦ τριμέτρου ἰαμβικοῦ ἀκαταλήκτου σχήματα. — Διά τί οὖν τὴν ἕκτην οὐκ ἐμετρήσαμεν; ὅτι πάντως ἐστὶν ἴαμβος· κἂν γὰρ πυρρίχιος ᾖ, τῷ ἀδιάφορον εἶναι τὴν ἐσχάτην ἴαμβός ἐστιν. ὁ αὐτὸς οὖν ὢν ἀεὶ σχῆμα οὐ ποιεῖ.

1 ι' (pr. l.) om. X ‖ 5 post δύο add. ποιῶ Hoersch. ex YZ ‖ 9 τὸ ἰαμβικὸν Y ‖ 14 post ε add. ποιῶ Hoersch. ex YZ ‖ 20 ἀδιάφορον $A^2$, διάφορον $A^1$

# σχήματα τοῦ ἔπους $\overline{λβ}$.

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Ἰλιό | θεν με φέ | ρων ἄνε | μος Κικό | νεσσι πέ | λασσε | μονόσχημ |
| Ἠὼς | μὲν κροκό | πεπλος ἐ | κίδνατο | πᾶσαν ἐ | π' αἶαν | πεντάσχημ |
| αὐτὰρ ἐ | πεὶ κόσ | μηθεν ἅ | μ' ἡγεμό | νεσσιν ἕ | καστοι | πεντάσχημ |
| ὣς ἔφα | τ' εὐχόμε | νος· τοῦ | δ' ἔκλυε | Παλλὰς Ἀ | θήνη | πεντάσχημ |
| βῆ δ' ἀκέ | ων παρὰ | θῖνα πο | λυφλοίσ | βοιο θα | λάσσης | πεντάσχημ |
| ὡς δ' ὅτε | κάπριον | ἀμφὶ κύ | νες θαλε | ροί τ' αἰ | ζηοί | πεντάσχημ |
| Ἀτρεί | δης· τὼ | δ' αὖτ' ἐκ | δίφρου | γουνα | ζέσθην | μονόσχημο |
| ἦλθε δ' ἐ | πὶ ψυ | χὴ Πα | τροκλῆ | ος δει | λοῖο | πεντάσχημ |
| ἥρω' | Ἀλκάθο | ον· γαμ | βρὸς δ' ἦν | Ἀγχί | σαο | πεντάσχημ |
| ἐν κα | λῇ βήσ | σῃ μέγαν | οἰῶν | ἀργεν | νάων | πεντάσχημ |
| βάλλον | δ' ἀλλή | λους χαλ | κήρεσιν | ἐγχεί | ῃσιν | πεντάσχημ |
| τὸν δὴ | μήκι | στον καὶ | κάρτι | στον κτάνον | ἄνδρα | πεντάσχημ |
| ἄστυδε | νῦν ἰέ | ναι μὴ | μίμνειν | ἠῶ | δῖαν | δεκάσχημο |
| ἀλλ' οἰ | όν τινά | φασι βί | ην Ἡ | ρακλη | είην | δεκάσχημο |
| χρύσει | αι ζω | ῇσι νε | ήνισιν | · ἐοι | κυῖαι | δεκάσχημο |
| Ἑρμῆς | δὲ ψυ | χὰς Κυλ | λήνιος | ἐξεκα | λεῖτο | δεκάσχημο |
| μῦθον ἐ | παινή | σαντες Ὀ | δυσσῆ | ος θεί | οιο | δεκάσχημο |
| ἦλθε δ' ἐ | πὶ ψυ | χὴ μη | τρὸς κατα | τεθνη | υίης | δεκάσχημο |
| ἀμφὶ δ' ἄρ' | Αἴαν | τας δοι | οὺς ἵ | σταντο φά | λαγγες | δεκάσχημο |
| Ἑρμεί | ας δὲ ἄ | ναξ δῶ | κεν Πέλο | πι πλη | ξίππῳ | δεκάσχημο |
| Ἀτρεί | δης τε ἄ | ναξ ἀν | δρῶν καὶ | δῖος Ἀ | χιλλεύς | δεκάσχημο |
| ἀλλή | λων ἰ | θυνομέ | νων χαλ | κήρεα | δοῦρα | δεκάσχημο |
| ὣς οἱ | μὲν Τρῶ | ες φυλα | κὰς ἔχον | αὐτὰρ Ἀ | χαιούς | δεκάσχημο |
| οὕνεκ' ἐ | γὼ κού | ρης Χρυ | σηίδος | ἀγλά' ἄ | ποινα | δεκάσχημο |
| . στῆ δὲ μά | λ' ἐγγὺς ἰ | ὼν καί | μιν πρὸς | μῦθον ἔ | ειπεν | δεκάσχημο |
| χερσὶ δα | μέντα δ' ἔ | πειτα κα | θ' ἵππων | ἀΐ | ξαντα | δεκάσχημο |
| ὣς εἰ | πὼν πυλέ | ων ἐ | ξέσσυτο | φαίδιμος | Ἕκτωρ | δεκάσχημο |
| νύμφαι | τ' ἠίθε | οί τε πο | λύτλη | τοί τε γέ | ροντες | δεκάσχημο |
| ἐν θυ | μῷ μεμα | ῶτες ἀ | λεξέμεν | · ἀλλή | λοισιν | δεκάσχημο |
| οὐλομέ | νην . ἣ | μυρί' Ἀ | χαιοῖς | ἄλγε' ἔ | θηκεν | δεκάσχημο |
| οὐ γὰρ ἐ | γὼ Τρώ | ων ἕνε | κ' ἤλυθον | αἰχμη | τάων | δεκάσχημο |
| ὕπνος ἔ | χε γλυκε | ρὸς πολ | λὰ φρεσὶν | ὁρμαί | νοντα | δεκάσχημο |

1 ι 39 ‖ 2 Θ 1 ‖ 3 Γ 1 ‖ 4 Ε 121 al. ‖ 5 Λ 34 ‖ 6 Λ 414 ‖ 7 Λ 13(
8 Ψ 65 ‖ 9 Ν 428 ‖ 10 Σ 588 ‖ 11 Σ 534 ‖ 12 κράτιστον Λ | Η 155 ‖ 13 Σ 25
14 Ε 638 ‖ 15 Σ 418 ‖ 16 ω 1 ‖ 17 Β 335 ‖ 18 λ 84 ‖ 19 Ν 126 ‖ 20 Β 1(
21 Λ 7 ‖ 22 Ζ 8 ‖ 23 Ι 1 ‖ 24 Λ 111 ‖ 25 Λ 429 ‖ 26 Χερσιδάμαντα Η(
rus | Λ 423 ‖ 27 Η 1 ‖ 28 λ 38 ‖ 29 Γ 9 ‖ 30 Α 2 ‖ 31 Α 152 ‖ 32 Κ 4

*καταληκτικὸν δὲ ὡς τὸ* (Archil. 116)

*ὄγμος κακοῦ δὲ γήραος καθαιρεῖ* (= Heph.)

*ὑπερκαταληκτικὸν δὲ ὡς τόδε·*

*πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε; τίς;*

*Τετράμετρον δέ, βραχυκατάληκτον μὲν ὡς τοῦτο·*

*πάτερ Λυκάμβα ποῖον ἐφράσω τόδε; τίς σάς;*

*λείπει γὰρ ὅλῳ ποδὶ πρὸς τετράμετρον. ἀκατάληκτον δὲ ὡς τόδε* (Alc. 56)

*δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσο-*
*μαι* (= Heph.)·

*πλήρεις γὰρ ἔχει τὰς τέσσαρας διποδίας. καταληκτικὸν δὲ ὡς τόδε* (Hippon. 90)

*εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα*
(= Heph.)·

*λείπει γὰρ μιᾷ συλλαβῇ πρὸς τετράμετρον. ὑπερκατάληκτον δὲ ὡς τόδε* (Georg. Pis. Hex. 35 sq.)·

*οὐκ ἦν γὰρ εἰκὸς τὴν βάτοις πεφυρμένην ψυ-*
*χὴν γεωργεῖν.*

*Πεντάμετρον δὲ ὡς τόδε*

*πάτερ Λυκάμβα, ποῖον ἐφράσω λόγον; τίς σὰς*
*παρήειρε φρένας;*

*Ἰστέον γε μὴν ὡς τοῦτο τὸ πεντάμετρον σπάνιόν ἐστι διὰ τὸ μὴ βούλεσθαι τὸν ἴαμβον ⟨ἐπὶ⟩ πλέον τῶν τριάκοντα ἢ τῶν τριάκοντα δύο χρόνων αὔξεσθαι. ἐπεὶ δὲ σπανίζει, οὐδὲ περὶ τῶν ἀποθέσεων αὐτοῦ τι φιλοτεχνήσασθαι ἐφιλοτιμησάμεθα.*

*Ἔστι δέ τι καὶ χωλὸν ἰαμβικόν, ὃ τοῦ ὀρθοῦ τούτῳ διαφέρει· τὸ μὲν γὰρ ὀρθὸν τὴν τελευταίαν βάσιν*

4 *τόδε*] *λόγον Y* ‖ 6 *τόδε*] *λόγον Y* ‖ 17 *βάτῳ* Georgius, *φάτταν Y* ‖ 20—23 *Y* affert *πεντάμετρον βραχυκατάληκτον, ἀκατάληκτον* (= 20), *καταληκτικόν*, tum pergit *ὑπερκατάληκτον δὲ οὐκ ἔστιν, ὅπου καὶ αὐτὸ τὸ ἀκατάληκτον σπανιώτατόν ἐστι διὰ τὸ μὴ κτλ.* ‖ 24 *χρόνων* Y, συλλαβῶν X \ αὔξεσθαι] *ἀνέρχεσθαι* Y, *qui* *prox.* enunt. om.

*ἐλεγεῖα πρὸς τὰ ἔπη καὶ οἱ ἐπῳδοὶ πρὸς τὰ ἕτερα μέτρα, ὁμοίων δέ, ὡς ἔχει τὸ δεύτερον καὶ τρίτον Σαπφοῦς διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ περιττοῦ. — Ἐκ τούτων ὑφίσταται τὰ μικτὰ γενικὰ καὶ κοινὰ συστηματικά· μικτὰ μὲν γενικά ἐστιν αἵ τε τραγῳδίαι καὶ αἱ παλαιαὶ κωμῳδίαι, ἐπεὶ καὶ κατὰ στίχον καὶ κατὰ σύστημα γεγραμμέναι εἰσίν. κοινὰ δὲ συστηματικά ἐστιν, ἅπερ τὰ αὐτὰ καὶ κατὰ στίχον γεγράφθαι φήσομεν διὰ τὸ ὅμοιον καὶ κατὰ σύστημα διὰ τὴν τῆς ὁμοιότητος τῆς ποιητρίας τήρησιν. — Τῶν δὲ κατὰ στίχον τὰ μέν ἐστι μικτά, τὰ δὲ ἄμικτα· μικτὰ μὲν ὡς αἱ Μενάνδρου κωμῳδίαι, ἄμικτα δὲ ὡς αἱ Ὁμήρου ῥαψῳδίαι. — Τῶν δὲ κατὰ σύστημα γεγραμμένων τὰ μὲν κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μικτὰ συστηματικά. κατὰ σχέσιν μὲν οὖν ἐστι τὸ κατὰ ἀνταπόδοσιν καὶ ἀνακύκλησιν μέτρου, ἀπολελυμένα δὲ γέγραπται καὶ ἄνευ μέτρου ὡρισμένου.*

## VI.

141) *Περὶ σχήματος.*

*Τοῦ μὲν ἡρῴου σχήματα λβʹ. ὅλων γὰρ ὄντων δακτύλων ἓν καὶ ὅλων σπονδείων ἕν· δάκτυλος δὲ μετὰ τεσσάρων σπονδείων εʹ, σπονδεῖος δὲ μετὰ τεσσάρων δακτύλων εʹ, δύο δὲ σπονδεῖοι μετὰ τριῶν δα-*

20 schemata saepissime inveniuntur; cf. e. g. An. Ambr. AV 216. Diom. I 496. Mar. Plot. VI 502, 21. GL VI 623. 634. Hermog. π. ἰδ. II 10 p. 409, 15 (Spgl.) (cf. Grossmann: De doctr. metr. rell. ab Eustathio servatis. Argent. 1887 p. 47). schol. Hom. E 500 (Ptolem. Ascal.; cf. Rauscher: De scholiis Homer. ad rem metr. pertin. Dissert. Argentor. XI p. 65)

5 μὲν] δὲ codd.

*καὶ πεντάμετρον, περὶ ὧν ἤδη εἰρήσεται. ἀλλὰ ἀναλάβωμεν ἄνωθεν τὸν λόγον.*

*Μονόμετρον μὲν οὖν τροχαϊκὸν βραχυκατάληκτον ὡς τοῦτο·*

Ζεύς με.

ἀκατάληκτον δὲ ὡς τόδε·

κάρφεται γάρ.

καταληκτικὸν δὲ οἷον·

Ζεῦ πάτερ.

ὑπερκατάληκτον δὲ ὡς τόδε·

ἔρχεται πολύς.

Δίμετρον δὲ βραχυκατάληκτον μὲν ὡς τοῦτο (Archil. 100)

κάρφεται γὰρ ἤδη (= Heph.).

τοῦτο δὲ καὶ ἰθυφαλλικὸν καλεῖται. ἀκατάληκτον δὲ ὡς τόδε·

οὐδ' Ἀμειψίαν δρᾶτε.

καταληκτικὸν δὲ ὡς τόδε (Eur. Phoen. 239)

νῦν δέ μοι πρὸ τειχέων (= Heph.).

ὑπερκατάληκτον δὲ οἷον·

οὐδ' Ἀμειψίαν δρᾶτε νῦν.

Τρίμετρον δὲ βραχυκατάληκτον μὲν ὡς τοῦτο·

οὐδ' Ἀμειψίαν δρᾶτε πτωχόν.

ἀκατάληκτον δὲ οἷον·

νῦν δέ μοι πρὸ τειχέων † θούριος Ἄρης. (16

καταληκτικὸν δὲ ὡς τοῦτο, ὃ καὶ ἴαμβον ἔφαμεν ἀκέφαλον καλεῖσθαι (Archil. 99)·

Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην (= Heph.). 12

ὑπερκατάληκτον δὲ οἷον·

ἔρχεται πολὺς μὲν Αἰγαῖον διανήξας.

*25 ὁ θοῦρος* Caes. ‖ 28 ἐδαισάμην Heph., *ἐδησάμην X, ἐδυσάμην Y* ‖ *30 διατμήξας* Anth. Pal.

*Τετράμετρον δὲ βραχυκατάληκτον μὲν οἷον* (fr. com. an. 39)·

*οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχὸν ὄντ' ἐν ὑμῖν* (= Heph.).

*ἀκατάληκτον δὲ οἷον* (Anacr. 76)

*κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα* (= Heph.).

*καταληκτικὸν δὲ* (Archil. 60)

*Ἐρξίῃ, πῇ δηὖτ' ἄνολβος ἀθροΐζεται στρατός* (= Heph.).

*ὑπερκατάληκτον δὲ ὡς τοῦτο·*

*κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε νῦν κούρα.*

*Πεντάμετρον δὲ οἷον* (Callim. fr. 115)

*ἔρχεται πολὺς μὲν Αἰγαῖον διανήξας ἀπ' οἰνηρῆς Χίου.*

*Ἔστι δὲ καί τι χωλὸν τετράμετρον καταληκτικὸν ὡς τόδε* (Hippon. 78)

*Μητροτίμῳ δηὖτέ με χρὴ τῷ σκότῳ δικάζεσθαι* (= Heph.).

31) *χωλὸν δὲ λέγεται, ὅτι τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει, ὃν ἀποστρέφεται τὰ καταληκτικὰ τροχαϊκά· ταῦτα γὰρ φιλεῖ τὴν κατακλεῖδα ἢ χορεῖον ἢ τροχαῖον ἔχειν· τροχαῖον μὲν ὥσπερ ἐπὶ τοῦ*

*Ἐρξίῃ πῇ δηὖτ' ἄνολβος ἀθροΐζεται στρατός,*

*χορεῖον δὲ ὡς ἐπὶ τούτου* (fr. com. an. 38)

*τῶν πολιτῶν ἄνδρας ὑμῖν δημιουργοὺς ἀποφανῶ* (= Heph.).

*Τοσαῦτα καὶ περὶ τροχαϊκοῦ· ἑξῆς δὲ περὶ δακτυλικοῦ λεκτέον.*

3 *ὄντ' ἐν ὑμῖν*] *ὄντα ἐν ὑμῶν* codd., *ὄντ' ἐφ' ὑμῖν* Heph. ‖ 10 *κοῦρα νῦν* Hoersch. ‖ pro 11—12 in *Y*: *πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε· „ἔρχεται π. μ. Α. δ. ἁ. οἰν. δέ“· ἀκατάληκτον δὲ τὸ αὐτὸ προσκειμένου τῷ τέλει τοῦ Χίου· καταληκτικὸν δὲ τὸ αὐτὸ πάλιν λείποντος τοῦ δε τοῦ συνδέσμου· „ἐρχ. π. μ. Ἀ. δ. ἁ. οἰν. Χ.“ ὑπερκατάληκτον δὲ οὐκ ἔστιν ὥσπερ οὐδὲ ἐν τῷ ἰαμβικῷ* ‖ 13 *τι* Hoersch., *τὸ* X, om. Y ‖ 20 *ἔχειν* Hoersch., *φέρειν* codd.

## IX.

### Περὶ δακτυλικοῦ.

Τὸ τοίνυν δακτυλικὸν βαίνεται μὲν κατὰ μονοποδίαν, αὔξεται δὲ μέχρι ποδῶν ἕξ. ἔχει δὲ διαφορὰς (1 τρεῖς· τὸ μὲν γὰρ αὐτοῦ ἐστι κοινὸν δακτυλικόν, τὸ δὲ Αἰολικόν, τὸ δὲ λογαοιδικόν. τὸ μὲν οὖν κοινὸν (1 κατὰ πάσας τὰς χώρας δέχεται ἀδιαφόρως δάκτυλον καὶ σπονδεῖον. Ὑφίσταται δὲ κατὰ ἀφαίρεσίν ⟨τε καὶ πρόσθεσιν⟩ δίμετρά τε καὶ τρίμετρα καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα καὶ ἑξάμετρα. μονόμετρα γὰρ 13 οὐκ ἔχει τὸ δακτυλικὸν τῷ μὴ βαίνεσθαι κατὰ διποδίαν· συνέμπτωσιν γὰρ ἐποίει ἂν τῶν τοιούτων μέτρων πρός τε τὰ ἰαμβικὰ καὶ τροχαϊκά· Ἀποθέσεις δὲ τῶν δακτυλικῶν . . . . . . . . . . . . . . . . ἔχει δὲ ἀποθέσεις τρεῖς, καταληκτικόν ⟨τε⟩ εἰς συλλαβὴν ⟨καὶ⟩ εἰς δισύλλαβον καὶ ἀκατάληκτον.

Καὶ δίμετρον μὲν ἀκατάληκτον τὸ (*A* 18)
ὑμῖν μὲν θεοί.
τρίμετρον δέ, καταληκτικὸν μὲν εἰς συλλαβήν, ὃ καὶ πενθημιμερὲς καλεῖται καὶ Ἀρχιλόχειον, τὸ (Archil. 104)
ἐν δὲ Βατουσιάδης (= Heph.)
καταληκτικὸν δὲ εἰς δισύλλαβον, ὡς τὸ (*A* 2)
οὐλομένην ἣ μυρί'·
ἀκατάληκτον δὲ τὸ (*A* 17 al.)
Ἀτρεΐδαί τε καὶ ἄλλοι.

10 Ioa. Sic. RhG VI 167, 24 (Heliodor.; BA 71). Io. Tzetz. AO III 318, 27

8 ὑφίσταται scripsi coll. p. 266, 14. 274, 4, ὑφίστησι codd. ‖ 8—9 τε κ. πρ. inser. Hoersch., deest etiam ap. Trich. ‖ 12 γὰρ *C*, om. *A* | τὰ τοιαῦτα μέτρα Hoersch. ‖ 14 δακτυλικῶν ultimum verbum codicum X ‖ 15 τε et 16 καὶ inser coll. p. 274, 8 ‖ 20 καὶ om. Trich.

*Μονόμετρον* μὲν οὖν ἰαμβικὸν βραχυκατάληκτον τοῦτο·

φεῦ φεῦ (= Choer. 228, 2)·

λείπει γὰρ ὅλῃ βάσει πρὸς τὸ μονόμετρον ἀπαρτίσαι. ἀκατάληκτον δὲ τοῦτο·

φεῦ φεῦ ἰώ.

καταληκτικὸν δὲ τοῦτο·

ἄραρεν·

εἰς συλλαβὴν γὰρ τῆς τελευταίας χώρας λήγει. ὑπερκατάληκτον δὲ ὡς τοῦτο (Archil. 94)·

πάτερ Λυκάμβα.

ἡ γὰρ διποδία νῦν μιᾷ πλεονάζει συλλαβῇ. *Δίμετρον* δέ, βραχυκατάληκτον μὲν τοῦτο (Eur. Phoen. 3)

Ἥλιε, θοαῖς ἵπποις·

ὅλῳ γὰρ ποδὶ λείπει εἰς συμπλήρωσιν τῆς διποδίας. ἀκατάληκτον δὲ ὡς τοῦτο (Anacr. 89)·

ἐρῶ τε δηὖτε κοὐκ ἐρῶ,
καὶ μαίνομαι κοὐ μαίνομαι (= Heph.)

καταληκτικὸν δὲ ὡς τοῦτο (Anacr. 92)·

ὁ μὲν θέλων μάχεσθαι (= Heph.)

μιᾷ γὰρ συλλαβῇ λείπει εἰς τὸ διποδίαν ἀπαρτίσαι. ὑπερκατάληκτον δὲ ὡς τόδε (Georg. Pis. Hex. 41)·

σπείρει γὰρ αὐτὸς κατὰ πέτρας.

μιᾷ γὰρ πλεονάζει συλλαβῇ πρὸς ταῖς δύο διποδίαις. *Τρίμετρον* δέ, βραχυκατάληκτον μὲν (Archil. 94)

πάτερ Λυκάμβα, ποῖον ἐφράσω;

λείπει γὰρ ὅλῳ ποδί. ἀκατάληκτον δὲ ὡς τὸ (Georg. Pis. Hex. 33)

ἥκω φέρων σοι τῆς ἐρήμου καρδίας.

6 ἰώ ἰώ $A^1$, corr. $A^2$ ‖ 9 ἡ τελευταία χώρα Y | post γὰρ inser. ἀντὶ Mendelss.; idem quod nos scriptum habuit Trichas ‖ 11 λυκάμβα $A^1$, λυκάβα $A^2$ ‖ 15 ὅλῳ Hoersch., ὁ πρῶτος X (ὅλος πούς Y) ‖ 23 σπείρεις γὰρ αὐτὸς κατὰ πετρῶν Georg. ‖ 26 ἐφράσην A

ἀδιάφορον. ὅτε μὲν οὖν ἐστιν ἀκατάληκτον, δάκτυλον ἢ ἀμφίμακρον ἔχει τὸν τελευταῖον πόδα· ἐὰν δὲ κατα- 1 ληκτικόν, εἰς δισύλλαβον μέν, σπονδεῖον ἢ τροχαῖον ἔχει τὸν τελευταῖον· εἰς συλλαβὴν δέ, ἀδιάφορον. Ὑφίστανται δὲ καὶ ἐν τούτῳ κατὰ ἀφαίρεσίν ⟨τε καὶ πρόσθεσιν⟩ δίμετρά τε καὶ τρίμετρα καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα (μονόμετρα γὰρ οὐκ ἔχει) καὶ ταῦτα καταληκτικά τε εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτα.

Τῶν μὲν οὖν ἄλλων παραδείγματα οὐκ ἔχομεν, τετραμέτρων δὲ καταληκτικῶν εἰς δισύλλαβον τὸ (Sapph. 98)

θυρωρῷ πόδες ἐπτορόγυιοι,
τὰ δὲ σάμβαλα πενταβόεια,
πίσυγγοι δὲ δέκ' ἐξεπόνασαν (= Heph.).

ἀκαταλήκτων δὲ (Sapph. 40. 41)

ἔρος δ' αὖτέ μ' ὁ λυσιμελὴς δονεῖ
γλυκύπικρον ἀμάχανον ὄρπετον. —
Ἄτθι, σοὶ δ' ἔμεθεν μὲν ἀπήχθετο
φροντίσδην, ἐπὶ δ' Ἀνδρομέδαν πότη (= Heph.).

πενταμέτρων δὲ καταληκτικῶν εἰς δισύλλαβον (Sapph. 104)

τίῳ σ', ὦ φίλε γαμβρέ, καλῶς ἐικάσδω;
ὄρπακι βραδινῷ σε μάλιστ' ἐικάσδω (= Heph.).

ἀκαταλήκτου δὲ τοῦ καὶ Σαπφικοῦ καλουμένου, ὃ καὶ τεσσαρεσκαιδεκασύλλαβόν ἐστιν (Sapph. 33)

ἠράμαν μὲν ἐγὼ σέθεν, Ἄτθι, πάλαι πόκα (= Heph.).

ἑξαμέτρου δὲ καταληκτικοῦ εἰς δισύλλαβον τὸ (Alc. 46)

κέλομαί τινα τὸν χαρίεντα Μένωνα καλέσσαι
(= Heph.).

5 ἀφαιρέσεις *Y* | τε — πρ. add. Hoersch. ‖ 12 ἐπταρόγυιοι *Y*, ἐπταρόγιοι *Z* ‖ 14 πίσσυγοι *Y* | ἐξεπόνησαν *k*, ὠξεπόνασαν *p* ‖ 16 αὖτ' ἐμὸς *Y*, αὖτ' ἐμὸν *Z* ‖ 18—19 om. *Z* ‖ 18 Ἄτθι] αὐτοῖς *Y* ‖ 19 φροντίς δ' ἦν *Y* | ποτέ *Y* ‖ 26 Ἄτθι] ἅτε codd. ‖ 28 καλέσαι *codd.*

*Τετράμετρον* δὲ βραχυκατάληκτον μὲν οἷον (fr. com. an. 39)·

οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχὸν ὄντ' ἐν ὑμῖν (= Heph.).

ἀκατάληκτον δὲ οἷον (Anacr. 76)

κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα (= Heph.).

καταληκτικὸν δὲ (Archil. 60)

Ἐρξίη, πῇ δηῦτ' ἄνολβος ἀθροΐζεται στρατός (= Heph.).

ὑπερκατάληκτον δὲ ὡς τοῦτο·

κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε νῦν κούρα.

*Πεντάμετρον* δὲ οἷον (Callim. fr. 115)

ἔρχεται πολὺς μὲν Αἰγαῖον διανήξας ἀπ' οἰνηρῆς Χίου.

Ἔστι δὲ καί τι χωλὸν τετράμετρον καταληκτικὸν ὡς τόδε (Hippon. 78)

Μητροτίμῳ δηῦτέ με χρὴ τῷ σκότῳ δικάζεσθαι (= Heph.).

31) χωλὸν δὲ λέγεται, ὅτι τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει, ὃν ἀποστρέφεται τὰ καταληκτικὰ τροχαϊκά· ταῦτα γὰρ φιλεῖ τὴν κατακλεῖδα ἢ χορεῖον ἢ τροχαῖον ἔχειν· τροχαῖον μὲν ὥσπερ ἐπὶ τοῦ

Ἐρξίη πῇ δηῦτ' ἄνολβος ἀθροΐζεται στρατός,

χορεῖον δὲ ὡς ἐπὶ τούτου (fr. com. an. 38)

τῶν πολιτῶν ἄνδρας ὑμῖν δημιουργοὺς ἀποφανῶ (= Heph.).

Τοσαῦτα καὶ περὶ τροχαϊκοῦ· ἑξῆς δὲ περὶ δακτυλικοῦ λεκτέον.

3 ὄντ' ἐν ὑμῖν] ὄντα ἐν ὑμῶν codd., ὄντ' ἐφ' ὑμῖν Heph. ‖ 10 κοῦρα νῦν Hoersch. ‖ pro 11—12 in Y: πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε· „ἔρχεται π. μ. Α. δ. ἀ. οἰν. δέ“· ἀκατάληκτον δὲ τὸ αὐτὸ προσκειμένου τῷ τέλει τοῦ Χίου· καταληκτικὸν δὲ τὸ αὐτὸ πάλιν λείποντος τοῦ δε τοῦ συνδέσμου· „ἐρχ. π. μ. Ἀ. δ. ἀ. οἰν. Χ.“ ὑπερκατάληκτον δὲ οὐκ ἔστιν ὥσπερ οὐδὲ ἐν τῷ ἰαμβικῷ ‖ 13 τι Hoersch., τὸ X, om. Y ‖ 20 ἔχειν Hoersch., φέρειν codd.

*τετράμετρον δὲ καταληκτικὸν τὸ καλούμενον Ἀριστοφάνειον, ᾧ καὶ Ἀριστόξενος καὶ Ἐπίχαρμος καὶ Κρατῖνος ἐχρήσαντο, τὸ* (Arist. Nub. 962)

*ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη*
*νενόμιστο* (= Heph.).

*ἀναπαιστικὸν δὲ τετράμετρον, τὸ διὰ προκελευσματικῆς ἐκλύσεως τῶν ἀναπαίστων γινόμενον, ἐστὶ τὸ Ἀριστοφάνους* (fr. 698) *τὸ*

*τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν* (= Heph.).

*Ἔστι δὲ καὶ λογαοιδικὸν ἀναπαιστικόν, ὅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις τοὺς αὐτοὺς ἐπιδέχεται πόδας τῷ ἀναπαιστικῷ καθαρῷ, ἐν δὲ τῷ τέλει ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, τουτέστιν ἢ βακχεῖον ἢ ἀμφίβραχυν. ἔστι δὲ ἐπισημότατον αὐτοῦ τὸ καλούμενον Ἀρχεβούλειον, ᾧ καὶ Καλλίμαχος ἐχρήσατο, ἔχον τὸν πρῶτον πόδα ἀνάπαιστον ἢ σπονδεῖον ἢ ἴαμβον, τοὺς δὲ ἐφεξῆς πάντας ἀναπαίστους, οἷον* (Callim. 146)

*ἀγέτω θεός· οὐ γὰρ ἐγὼ δίχα τῶνδ' ἀείδειν.* (1
*νύμφα, σὺ μὲν ἀστερίαν ὑπ' ἄμαξαν ἤδη.*
*φιλωτέρα ἄρτι γάρ οἱ Σικελὰ μὲν Ἔννα* (= Heph.).

*ἐν τοῖς διὰ μέσου μέντοι ἀναπαίστοις ὁ Ἀλκμὰν καὶ σπονδείους παραλαμβάνει.*

7 *διαλύσεως*? Hoersch. | *τὸ*] *τοῦ* *k* ‖ 15 *ἔχων* *Y* ‖ 18 *ἐγὼ* *R*, *ἔχω* rell. ‖ 20 *οἱ*] *ἡ* *Y* (19. 20 om. *Z*)

## XI.

1. Ἰστέον δὲ ὅτι ἄλλως λαμβάνουσι τοὺς χρόνους οἱ μετρικοὶ, ἤγουν οἱ γραμματικοί, καὶ ἄλλως οἱ ῥυθμικοί. οἱ γραμματικοὶ ἐκεῖνον μακρὸν χρόνον ἐπίστανται τὸν ἔχοντα δύο χρόνους, καὶ οὐ καταγίνονται εἰς μεῖζόν τι, οἱ δὲ ῥυθμικοὶ λέγουσι τόδε εἶναι μακρότερον τοῦδε, φάσκοντες τὴν μὲν τῶν συλλαβῶν εἶναι δύο ἡμίσεως χρόνων, τὴν δὲ τριῶν, τὴν δὲ πλειόνων· οἷον τὴν ὡ̅ς̅ οἱ γραμματικοὶ λέγουσι δύο χρόνων εἶναι, οἱ δὲ ῥυθμικοὶ δύο ἡμίσεως, δύο μὲν τοῦ ω̅ μακροῦ, ἡμίσεως δὲ χρόνου τοῦ σ̅· πᾶν γὰρ σύμφωνον λέγεται ἔχειν ἥμισυν χρόνον.

2. ἰστέον ὅτι παρὰ τοῖς μετρικοῖς ἡ ὀξυτονουμένη συλλαβὴ μείζων ἐστὶ τῆς βαρυνομένης, οἷον ἡ λο̅ς̅ συλλαβὴ ἡ ἐν τῷ καλὸς μείζων ἐστὶ τῆς ἐν τῷ φίλος· γίνεται γὰρ βραδυτής τις τοῦ χρόνου, ὡς καὶ ἐν τῇ δασείᾳ λέγεται, διὰ τῆς ὀξείας· [ἡ δὲ περισπωμένη ⟨μέση⟩ ἐστὶ τῶν δύο, τῆς μὲν μακρᾶς βραχυτέρα, τῆς δὲ βραχείας μακροτέρα.] πάλιν ἡ ὀξυτονουμένη συλ-

1 lib. IV] sunt excerpta quaedam fragmenta ex scholiis Hephaestioneis ‖ 3—13 = Choer. 180, 4—14; cf. schol.[A] 95, 15—18. schol. in Dion. Thr. 205, 24 sqq. ‖ 14—278, 4 = Choer. 183, 10—21

7 τόδε] τόνδε Turn., τόδε Choer. ‖ 19 μέση Choer.

λαβὴ ἐπιφερομένου ἐγκλιτικοῦ καὶ προαναπέμποντος ἐν αὐτῇ τῇ συλλαβῇ τὸν τόνον μείζων ἐστὶ τῆς ἁπλῶς ὀξυτονουμένης [καὶ] μὴ ἐπιφερομένου ἐγκλιτικοῦ οἷον 'Ζεύς τε' (*Ι* 457), καί τε χαλιφρονέοντα (ψ 13).

3. ὑγρὰ στοιχεῖα λέγεται τὰ ἀμετάβολα.

4. ἡ αὐτή ἐστι συνεκφώνησις ἡ καὶ συνίζησις.

5. κατάληξις καὶ ἀπόθεσις ταὐτόν ἐστι. (11

6. καταλεῖδά φησι τὸν πρὸ τῆς καταληκτικῆς συλ- 17
λαβῆς πόδα μετὰ καὶ αὐτῆς τῆς συλλαβῆς.

7. δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς συλλα- (14
βήν, τὸ καλούμενον πενθημιμερές, ποδῶν δύο καὶ συλλαβῆς ἐστι μιᾶς· (πενθημιμερὲς δὲ καλεῖται, ὅτι τὰ δύο ἥμισυ ἀναλυόμενα πέντε μέρη ⟨ἥμισυ⟩ ποιοῦσιν.) ὡσαύτως καὶ τὸ δακτυλικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν, τὸ καὶ ἐφθημιμερές, ποδῶν ὑπάρχον τριῶν ἥμισυ, φανερὸν ὅτι ἑπτὰ μέρη ἥμισυ ἔχει.

8. ὑπερκατάληκτον μὲν εἰς δισύλλαβον ὅταν μετὰ συζυγίαν δύο συλλαβαὶ καταλήξωσιν· εἰς συλλαβὴν δὲ ὅταν μετὰ τὴν συζυγίαν συλλαβὴ μία καταλήξῃ. ἀκατάληκτον δὲ ὅταν ἡ συζυγία ἀπαρτισθῇ εἰς τὴν κατάληξιν. καταληκτικὸν εἰς δισύλλαβον ὅταν μετὰ ἕνα
πόδα συλλαβαὶ δύο καταλήξωσιν, ὥστε παρὰ συλλαβὴν (14
πεπληρῶσθαι τὴν συζυγίαν. καταληκτικὸν δὲ εἰς συλλαβὴν ὅταν μετὰ ἕνα πόδα εἰς συλλαβὴν λήξῃ, λειπου-

5 cf. ex. gr. Choer. 198,17 ‖ 6 = schol.[A] 106,15 ‖ 7 = schol.[A] 113,16. Choer. 220, 9 ‖ 8—9 cf. schol.[D] 118, 5 sqq. schol.[P] p. 147, 19—21 ed. Westph. (Pr. 32) ‖ 10—16 cf. schol.[A] 128, 11—13 et 17—19 ‖ 17—279, 2 = schol.[A] 132, 23—133, 7

2 ἐς αὐτὴν (del. τῇ συλλ.) Hoersch. ‖ 3 καὶ om. Choer. ‖ 13 ἡμίσεα inser. Hoersch. ‖ 14—15 vv. καταληκτικὸν εἰς συλλ. hic insunt in ed. Flor., post ἐφθημιμερές *kp* ‖ 16 ἥμισυ (alt.)] ἡμίσεα Hoersch. ‖ 24 λήξῃ] καταλήξῃ Hoersch.

σῶν δηλαδὴ δύο συλλαβῶν. βραχυκατάληκτον δὲ ὅταν εἰς ἕνα πόδα ὁλόκληρον κατάληξις γένηται.

5) 9. ὁ Ἐπίχαρμος τὸ οἰκεῖον δρᾶμα οὕτως ἐκάλεσε Λόγον καὶ Λογίναν.

2) 10. ἐπὶ τῶν χρόνων Πτολεμαίου τοῦ Φιλαδέλφου ἑπτὰ ἄριστοι γεγόνασι τραγικοί, οὓς Πλειάδας ἐκάλεσαν διὰ τὸ λαμπροὺς εἶναι ἐν τῇ τραγικῇ ὥσπερ ἄστρα τὰ ἐν τῇ Πλειάδι. εἰσὶ δὲ οὗτοι· Ὅμηρος (οὐχ ὁ ποιητής, ἀλλ' υἱὸς ὁ Μυροῦς τῆς Βυζαντίας ποιητρίδος), καὶ Σωσίθεος καὶ Λυκόφρων καὶ Ἀλέξανδρος καὶ Αἰαντιάδης καὶ Σωσιφάνης καὶ Φιλίσκος.

3) 11. ἰστέον ὅτι, ὅταν αἱ δίφθογγοι καθαρεύωσι καὶ τὰ μακρὰ τῶν φωνηέντων πρὸς τὴν ἑξῆς συλλαβήν, ἤτοι ὅταν φωνῆεν ἐπιφέρηται τῇ διφθόγγῳ ἢ τῷ μακρῷ φωνήεντι, ἢ ρ̄ (ἐπειδὴ καὶ τοῦτο ὡς φωνῆεν τοῖς παλαιοῖς λαμβάνεται καὶ διὰ τοῦτο καὶ δασύνεται) — ὅταν ταῦτα ἔμπροσθεν εὕρηται διφθόγγου ἢ μακροῦ φωνήεντος, ἀντὶ κοινῆς συλλαβῆς ἡ δίφθογγος καὶ τὸ μακρὸν εὕρηται φωνῆεν.

12. ἀωρόλειοι οἱ ἔξω ἤδη ὥρας λειούμενοι τουτέστιν ἐν γήρᾳ καλλωπιζόμενοι.

3—4 = schol.[A] 133, 20 ‖ 5—11 Choer. 236, 5—14; cf. schol.[A] 140, 8—12 ‖ 12—19 = schol. K[2] AV p. 149 ad 62, 16 ‖ 20—21 = schol.[A] 156, 25—26; cf. Suid. s. v.

2 ὁλόκληρον Hoersch., ὁλόκληρος codd. ‖ 6 Πλειάδα schol.[A] et Choer. ‖ 9 ὁ Μυροῦς Potter, ὁ μηροῦς codd. ‖ 12 καθαριεύωσι *p* et *K*[2] ‖ 17 ὅταν — 18 φων. del. maluit Hoersch. ‖ 17 ἐμπρ. εὕρ. perversa, sed utrum scriptori an librario debeantur, dicit nequit

# Liber quintus. 18

(151

## XII.

### ⟨Περὶ τοῦ ἰαμβικοῦ.⟩

1. Τὸ ἰαμβικὸν μέτρον ἔστι μὲν ἑξάμετρον, διαιρεῖται δὲ εἰς δύο. τὸ μὲν γὰρ αὐτοῦ καλεῖται τραγικόν τε καὶ κωμικόν, ᾧ καὶ τῶν παλαιῶν οἱ πολλοὶ ἐχρήσαντο. δέχεται δὲ τοῦτο ἐν μὲν τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ βάσει πόδας πέντε, δάκτυλον σπονδεῖον χορεῖον ἀνάπαιστον καὶ τὸν ὁμώνυμον ἴαμβον, ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ τοὺς ἀπὸ βραχείας ἀρχομένους, τουτέστιν ἀνάπαιστον χορεῖον καὶ ἴαμβον, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον· δεῖ γὰρ αὐτὴν πάντως εἶναι δισύλλαβον, καὶ τὴν μὲν πρὸ τέλους εἶναι βραχεῖαν, τὴν δὲ ἐπὶ τέλους ἀδιάφορον. τὸ δὲ ἕτερον τοῦ ἰαμβικοῦ μέρος καλεῖται καθαρόν τε καὶ τρίμετρον. τούτῳ δὲ ὀλίγοι τῶν ἀρχαίων ἐχρήσαντο. δέχεται δὲ ἐν μὲν τῇ πρώτῃ βάσει ἴαμβον καὶ σπονδεῖον, ὁμοίως καὶ ἐν τῇ τρίτῃ καὶ ἐν τῇ πέμπτῃ, ἐν (15

3 ad totam hanc artem Byzantinam cf. imprimis append. Dionys. et Rhetor.; Hoerschelmann LdM

3 π. τ. ἰ. Hoersch., περὶ τῶν αὐτῶν *Y* ‖ 4 ἐστὶ μὲν] ἔτι δὲ *k* ‖ 7 δὲ] οὖν *k* ‖ 12 ἐν τῇ ἕκτῃ δὲ *k* | ἢ] καὶ ἢ *k*, ἢ καὶ prop. Hoersch. ‖ 14 δὲ (pr.)] om. *k* ‖ 15 ἰαμβικοῦ μέτρου μέρος *app. rhet. et Dion.*

*δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ ἴαμβον μόνον, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον.*

2. *Ἐκλήθη δὲ ἴαμβος, ἀφ' οὗ τὸ μέτρον παρονομάζεται ἰαμβικόν, ἐπείπερ οἱ ὑβρίζειν τινὰς καὶ λοιδορεῖν βουλόμενοι τούτῳ ἐχρῶντο τῷ μέτρῳ (ἰαμβίζειν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ὑβρίζειν)· ⟨ἢ παρὰ τὸ ἰὸν βάζειν⟩, ὅπερ ἐστὶ ⟨ἰοῦ⟩ καὶ πικρίας ἀνάμεστα ῥήματα λέγειν. ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα ἀγχόνῃ κατέλυσε τὸν βίον, ὅπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς Ἀρχιλόχου ⟨πεπόνθασι⟩ ποιήμασι. καὶ διὰ τοῦτό φασι συντεθῆναι τὸν ἴαμβον ἐκ βραχείας καὶ μακρᾶς, διὰ τὸ τὴν ὕβριν ἐκ βραχείας ἀρχομένην αἰτίας εἰς μέγα λήγειν κακόν. μαρτυρεῖ δὲ τῷ λεγομένῳ Ὅμηρος ὁ σοφώτατος (Δ 442) λέγων*

*ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται· αὐτὰρ ἔπειτα*
*οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.*

3. *Πόδες οὖν τοῦ ἰαμβικοῦ μέτρου ἕξ· ἴαμβος χορεῖος σπονδεῖος δάκτυλος ἀνάπαιστος πυρρίχιος.*

4. *Μετρεῖται δὲ τὸ ἰαμβικὸν κατὰ διποδίαν, ὅθεν καὶ τρίμετρον λέγεται. εἰ γὰρ καὶ ἑξάμετρον ἔφαμεν αὐτὸ ἐν τῇ ἀρχῇ, ἀλλ' ἁπλῶς εἴπομεν ἀντὶ τοῦ ἑξάποδον.*

5. *Τοῦ δὲ ἰαμβικοῦ μέτρου χαρακτῆρές εἰσι τέσσαρες, τραγικὸς κωμικὸς σατυρικὸς καὶ ὁ οὕτω πως ἰδίως λεγόμενος ἰαμβικός. καὶ ἔστι τραγικοῦ μὲν ἴδιον τὸ ἐπὶ πλεῖστον μὲν ἐκ σπονδείων καὶ ἰάμβων συγ-*

6 Eustath. ad *λ* 278 p. 1684, 46 sqq. || 24 M. Vict. VI 81, 27. Mar. Plot. VI 518, 3. 21. Ps. Cens. VI 612, 20 sqq. An. Chis. p. 26. AV 197

6 *ἢ* — 7 *βάζειν* et *ἰοῦ* inser. ex Hel. AV 171 || 7 *ἀνάμεστα*] *ὀνόματα* *k* || 8 *ἰάμβου* *p* || 11 *πεπ.* inser. ex Hel. AV 171 || 15 *λέγων* hic posui, codd. habent post *ὀλίγη μὲν* || 21 ἔφημεν codd. || 25 *ὁ* om. *p* || 27 *πλεῖον* codd.

*κεῖσθαι, σπανίως δὲ καὶ ἕνα τρισύλλαβον ἐπιδέχεσθαι, οἷον* (Eur. Bacch. 1 sq.)

*ἥκω Διὸς παῖς τήνδε Θηβαίαν χθόνα*
*Διόνυσος, ὃν τίκτει ποθ᾽ ἡ Κάδμου κόρη.*

*κωμικοῦ δὲ ἴδιον τὸ καὶ ἐκ τρισυλλάβων ὡς ἐπὶ τὸ πλεῖστον συγκεῖσθαι, οἷον* (Ar. Ran. 101)

*καὶ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ᾽ ἱερῶν.* (1

*ἴδιον δὲ σατυρικοῦ τὸ μέσον εἶναι τραγικοῦ καὶ κω-* 19
*μικοῦ, ἤγουν δέχεσθαι καὶ τοὺς τρισυλλάβους μὴ κατακόρως, οἷον* (Eur. Bacch. 1051)

*ἦδ᾽ ἄγκος ὑψίκρημνον ὄρεσι περίδρομον.*

*ἴδιον δὲ ἰαμβικοῦ τὸ δισυλλάβους μόνους ἐπιδέχεσθαι πόδας καὶ μάλιστα ἴαμβον, οἷον* (Archil. 94)

*πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε.*

## XIII.

### *Περὶ τοῦ ἡρωϊκοῦ.* (16

1. *Τὸ ἡρωϊκὸν μέτρον ἑξάμετρόν ἐστιν· ἓξ γὰρ χώρας ἐπιδέχεται καὶ κατὰ μονοποδίαν μετρεῖται. κατὰ μὲν οὖν τὰς πέντε χώρας ἐπιδέχεται δάκτυλον καὶ σπονδεῖον ἀδιαφόρως, ἐνίοτε δὲ καὶ παλιμβάκχειον καὶ ἀμφίμακρον, καθαροὺς μέντοι καὶ ἐν τάξει δακτύλου* (16
*κειμένους (καθαροὶ δέ εἰσιν ὅταν ἀπαρτίζωσιν εἰς μέρος λόγου καὶ τὴν ἐπιφερομένην λέξιν ἔχωσιν ἀπὸ φωνήεντος ἀρχομένην). καὶ παλιμβάκχειον μέν, ὡς ἐν τῷ* (α 2)

*πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν·*

20 *τὴν τοῦ παλιμβακχείου θεραπείαν* schol. in Dion. Thr. 209, 15. 211, 14; cf M. Vict. VI 72, 22. Ter. Maur. VI v. 1650

3 *Θηβαίων* Eur. ‖ 7 *καὶ* om. *k*, *ἢ* Arist. ‖ 9 *ἤγουν*] *οἷον* *k* ‖ 11 *ἦδ᾽* *kp*, *ἦν δ᾽* Eurip. | *ἄγγος* *k* | *ἀμφίκρημνον ὕδασι διάβροχον* Eur. ‖ 18 *ἐπιδέχεται*] *ἔχει* app. rhet. et Dion. ‖ 20 *ἀδιαφόρως* Hoersch., *ἀδιάφορον* codd. ‖ 25 *ἐν τῷ*] *τὸ* k, app. Dion.

*ἀπήρτισται γὰρ εἰς μέρος λόγου τὸ πλάγχθη, καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ φωνήεντος τοῦ ε. ἀμφίμακρον δέ, ὡς ἐν τῷ* (Γ 164)

*οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν.*

*καὶ εἰσὶν ἐν τούτῳ τρεῖς ἀμφίμακροι, ἕν τε τῇ μοι συλλαβῇ δύο καὶ ἐν τῷ αἰτίη· ἀπηρτισμένοι γάρ εἰσιν εἰς μέρος λόγου καὶ τὰς ἑξῆς ἔχουσιν ἀπὸ φωνήεντος ἀρχομένας. — Ἡ δὲ ἕκτη χώρα σπονδεῖον δέχεται καὶ τροχαῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή.*

2. *Ἡρωϊκὸν δὲ καλεῖται τὸ μέτρον, ἐπείπερ Ὅμηρος ὁ ποιητὴς τὰς τῶν ἡρώων πράξεις διεξιὼν τούτῳ κέχρηται τῷ μέτρῳ.*

3. *Χρὴ δὲ γινώσκειν ὅτι ὁ μὲν παλιμβάκχειος εἰς τὴν δευτέραν συλλαβὴν θεραπεύεται, τουτέστιν ἵνα λήγῃ αὐτὴ ἡ δευτέρα συλλαβὴ τοῦ παλιμβακχείου εἰς μέρος λόγου καὶ ἡ ἑξῆς ἄρχηται ἀπὸ φωνήεντος, οἷον* (α 2)

*πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν.*

*ὁ δὲ ἀμφίμακρος κατὰ τὴν τρίτην, λήγουσαν καὶ ταύτην ὁμοίως εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχουσαν ἀπὸ φωνήεντος ἀρχομένην, οἷον* (Γ 164)

*οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν.*

4. *Ἔπη δὲ λέγονται κυρίως οἱ τοῦ ἡρωϊκοῦ τούτου μέτρου τοῦ καὶ ἑξαμέτρου στίχοι.*

## XIV.

### *Περὶ τοῦ ἐλεγείου.*

2) 1. *Τὸ δὲ ἐλεγεῖον μέτρον τινὲς μὲν πεντάμετρον αὐτό φασιν εἶναι, συντιθέντες τὰς μὲν δύο χώρας*

6 *τρεῖς*] om. quartum in *αἴτιοι* || 16 *λήγῃ* scrib. ex app. Dion., *ῇ* codd. || 20—21 an *καὶ αὐτὴν*? Hoersch. || 29 *αὐτὸ* del. Hoersch.

*αὐτοῦ, τὴν πρώτην καὶ δευτέραν, ἀπὸ δακτύλου καὶ σπονδείου ἀδιαφόρως ἢ ἀμφιμάκρου καὶ παλιμβακχείου, καθαρῶν μέντοι καὶ ἐν τάξει δακτύλου κειμένων ὡς καὶ ἐν τῷ ἡρωϊκῷ εἴρηται, τὴν δὲ τρίτην ἐκ σπονδείου, τὴν δὲ τετάρτην ἐξ ἀναπαίστου, τὴν δὲ πέμπτην ἐξ ἀναπαίστου ἢ χορείου διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς.*

2. *Βέλτιον δὲ οὕτω μετρεῖν· ἐπεὶ καὶ εἰς δύο διῄρηται πενθημιμερῆ ⟨εἰς⟩ μέρος λόγου ἀπαρτιζόμενα κατὰ τὴν τομήν (πενθημιμερὲς δέ ἐστι τὸ ἐκ δύο ποδῶν καὶ συλλαβῆς), ἐπιδέχεται οὖν κατὰ τὴν πρώτην καὶ δευτέραν χώραν δάκτυλον καὶ σπονδεῖον ἀδιαφόρως ἢ καὶ παλιμβάκχειον ἢ ἀμφίμακρον θεραπευομένους ὡς εἴρηται, εἶτα συλλαβὴν μακρὰν ἀπαρτιζομένην εἰς μέρος λόγου καὶ μετὰ ταύτην πάλιν ἕτερον πενθημιμερὲς ἐκ δύο δακτύλων καὶ συλλαβῆς ἀδιαφόρου, οἷον* (Callim. 488)

*Νήϊδες οἳ μούσης οὐκ ἐγένοντο φίλοι.*

*τούτου γὰρ ἡ τομή ἐστιν ἐν τῷ μούσης.*

3. *Ἀλλὰ τὸ μὲν πρῶτον πενθημιμερές ἐστιν ἐκ δακτύλου καὶ σπονδείου καὶ συλλαβῆς μακρᾶς, ὅπερ ἔστιν ὅτε καὶ ἀμφοτέρους τοὺς πόδας ἐπιδέχεται δακτύλους ἢ σπονδείους ἢ καὶ τὸν πρῶτον σπονδεῖον καὶ τὸν δεύτερον δάκτυλον· τὸ δὲ δεύτερον πενθημιμερὲς πάντως ἔχει δύο δακτύλους καὶ συλλαβὴν ἀδιάφορον.*

2 *παλιβακχείου καὶ* p ‖ 3 *δακτύλου* Z, *δακτύλων* Y ‖ 5 *ἐξ ἀ. τ. δ. π.* Z, om. Y ‖ 6 *ἢ*] *καὶ* p ‖ 9 *ἀπαρτιζόμενα*], *ἀπαρτιζομένου* vel *καταρτιζομένου* codd. ‖ 10 *ἐκ*] *οὐκ* p ‖ 15 *ταύτην*] *τὴν* p ‖ 18 *νήιδες οἱ* Heph., *ἠνίδεω* codd. ‖ 22 *τοὺς πόδας* et 23 *ἢ σπονδείους* om. k ‖ 23 post *σπονδείους* Hoersch. putat excidisse *ἢ τὸν πρῶτον δάκτυλον καὶ τὸν δεύτερον σπονδεῖον* ‖ 25 *δύο* om. k

## XV.

3) *Περὶ τοῦ Ἀνακρεοντείου.*

1. *Ἀνακρεόντειον οἱ μὲν ἀρχαῖοι τὸ δίμετρον ἰαμβικόν φασι τὸ καὶ ἀκατάληκτον, ὅπερ καὶ ὀκτασύλλαβόν ἐστιν, ἐπιδεχόμενον κατὰ μὲν τὴν πρώτην καὶ τρίτην χώραν ἴαμβον καὶ σπονδεῖον ὡς ἔθος, κατὰ δὲ τὴν δευτέραν ἴαμβον μόνον, κατὰ δὲ τὴν τετάρτην ἴαμβον ἢ πυρρίχιον διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς.*

2. *Οἱ δὲ νεώτεροι διαιροῦσιν αὐτὸ εἴς τε κῶλα ἓξ καὶ εἰς δύο· καὶ τὰ μὲν ἓξ κῶλά φασιν οἴκους, τὰ δὲ δύο κουκούλια. καὶ ἐπιδέχονται οἱ μὲν οἶκοι ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ περιττὴν συλλαβήν, οἷον*

*ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον*

*καὶ*

*ἀπὸ τῆς φίλης ἐρήμου* (Sophron. V 1).

*τὸ δὲ τούτων κουκούλιον σύγκειται ἔκ τε τοῦ ἐλάσσονος τῶν δισυλλάβων ποδῶν τουτέστι τοῦ πυρριχίου καὶ ἐκ τοῦ μείζονος ἤτοι τοῦ σπονδείου, καὶ ἔχει ἐν μὲν ταῖς περιτταῖς χώραις τὸν ἐλάσσονα, ἐν δὲ ταῖς ἀρτίαις τὸν μείζονα, οἷον*

*ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας,*
*ἁγίων περσιδάμου κόσμου ἀΐων*

4) *καὶ*

*Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε* (Sophr. V 17).

:1 3. *Τινὲς δὲ συντάττουσιν αὐτοῖς καὶ ἕτερον, ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδῶν τὴν σύστασιν ἔχοντα,*

14 cf. Bergk PLG III⁴ p. 337 sq. Hel. Mon. AV 176. An. Chis. p. 13

2 *τοῦ* om. *pZ* ‖ 3 *Ἀνακρεόντειον* Hoersch., *τὸ μὲν ἀν.* Y, *τὸ ἀν. Z* ‖ 12 *κουκούλια* Hoersch., *κουκούλιον* codd. ‖ 23 *κόσμος* k; *κόσμον ἀεὶ ὢν* app. Dion. ‖ 27 *ποδὸς* app. Dion. | *σύστασιν* Z, *app. Dion.*, alii, *συστροφὴν p*, *στροφὴν* k | *ἔχον* prop. Hoersch.

ἤγουν ἐξ ἰωνικοῦ ἀπ' ἐλάσσονος, τρίμετρον ἀκατάληκτον ὃ καὶ ἀνακλώμενόν φασιν, ἐπιδεχόμενον δὲ τομὴν ἑφθημιμερῆ, τουτέστι μετὰ τὰς τρεῖς συλλαβὰς τοῦ δευτέρου ποδὸς περαινομένην [τὴν τομὴν] εἰς μέρος λόγου, οἷον

ἀρετῆς ἔργα φέρει ἔμπονος ἥβη.

ἔστι δ' ὅτε καὶ ἀπὸ χοριάμβου ἄρχεται ὁ τοιοῦτος στίχος· εἶτα ἔχει τὸν ἰωνικὸν ἀπ' ἐλάσσονος καὶ τελευταῖον παιῶνα τρίτον ἢ πάλιν ἰωνικὸν ἀπ' ἐλάσσονος διὰ τὸ ἀδιάφορον τῆς τελευταίας, καθὰ τῷ ἁγίῳ Σωφρονίῳ (Sophron. XIV) καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ, οἷον

Χριστιανῶν μακάρων ἔλθετε παῖδες.

καὶ οὕτω μὲν ἐκ τριῶν τετρασυλλάβων. εἰ δὲ βούλει, ἐκ δισυλλάβων ἕξ, ἐν μὲν τῇ πρώτῃ χώρᾳ τροχαίου, ἐν δὲ τῇ δευτέρᾳ ἰάμβου, ἐν δὲ τῇ τρίτῃ πυρριχίου, ἐν δὲ τῇ τετάρτῃ σπονδείου, ἐν δὲ τῇ πέμπτῃ πάλιν πυρριχίου, ἐν δὲ τῇ ἕκτῃ τροχαίου ἢ σπονδείου διὰ τὸ ἀδιάφορον.

## XVI.

### Περὶ συνιζήσεως. (121)

Συνίζησίς ἐστι σύλληψις δύο συλλαβῶν εἰς μίαν ἐν τῷ βαίνειν, ἢ δύο μακρῶν εἰς μίαν μακρὰν ἢ δύο βραχειῶν εἰς μίαν μακρὰν ἢ δύο βραχειῶν εἰς μίαν βραχεῖαν ἢ βραχείας καὶ μακρᾶς εἰς μίαν βραχεῖαν ἢ τῶν αὐτῶν εἰς μίαν μακρὰν ἢ μακρᾶς καὶ βραχείας εἰς μίαν βραχεῖαν ἢ τῶν αὐτῶν εἰς μίαν μακράν.

13 Praef. ad Dion. Thr. p. XXVIII

*2 ὃ Z, ὃν Y | δὲ pZ, δὲ τὴν k* ‖ 3 *συλλαβὰς* om. *Y* ‖ 4 *περαινόμενον,* del. vv. *τὴν τ.* Hoersch. ‖ 6 φέρει app. Dion., *φέρε Y* ‖ *19 τό Z, τὴν Y*

*τετράμετρον* δέ, καταληκτικὸν μὲν εἰς συλλαβήν, τὸ καὶ ἑφθημιμερές, ᾧ Ἀλκμὰν (49) κέχρηται,

ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας (= Heph.)·

καταληκτικὸν δὲ εἰς δισύλλαβον τὸ καὶ Ἀρχιλόχειον (Archil. 98)

φαινόμενον κακὸν οἴκαδ' ἄγεσθαι (= Heph.).

ἀκατάληκτον δὲ τὸ καὶ Ἀρχιλόχειον, ὃ καὶ δίμοιρον ἔπος λέγεται (Archil. 100),

οὐκέθ' ὅμως θάλλεις ἁπαλὸν χρόα (= Heph.).

*Πεντάμετρον* δέ, καταληκτικὸν μὲν εἰς συλλαβὴν (*B* 441)

ὣς ἔφατ' οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν·

καταληκτικὸν δὲ εἰς δισύλλαβον τὸ καλούμενον Σιμμίειον,

55) χαῖρε, ἄναξ, ἑτάρε ζαθέας μάκαρ ἥβας (= Heph.).

ἀκατάληκτον δὲ (*B* 2)

εὗδον παννύχιοι· Δία δ' οὐκ ἔχε νήδυμος.

*Ἑξάμετρον* δὲ καταληκτικὸν μὲν εἰς συλλαβὴν ἐκ τῶν Ὁμηρικῶν οὐκ ἔχομεν· εἴ που δέ τις ἐντύχοι, ἐστὶ τὸ μιᾷ συλλαβῇ περιττεῦον τοῦ πενταμέτρου ἀκαταλήκτου· καταληκτικὰ δὲ εἰς δισύλλαβον πάντα τὰ Ὁμηρικὰ ἔπη. ἀκατάληκτον δὲ σπάνιον ἐξ αὐτῶν, ὡς τὸ

Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα
κρέα (ι 317).

Τὸ δὲ δακτυλικὸν Αἰολικὸν κατὰ μὲν τὰς ἄλλας χώρας πάσας ἐπιδέχεται ὡσαύτως τῷ κοινῷ τούς τε δακτύλους καὶ σπονδείους [ὁμοίως καὶ κατὰ τὰς ἀποθέσεις], τὸν δὲ πρῶτον πόδα ἔχει ἕνα τῶν δισυλλάβων

7 *δίμοιρον ἐπικόν* M. Vict. VI 116, 3 al. ‖ 24 cf. app. Dion. p. 326, 11

8 *ἔπους* *p* Caes. ‖ 9 *ὁμῶς* Heph. ‖ 21 *καταληκτικὰ* Hoersch., *καταληκτικὸν* codd. ‖ 27 *ὁμ. — ἀποθ.* secl. Hoersch., qui similia 274, 1 post *ἀδιάφορον* excidisse putat; cf. etiam Trich.

*τῆς δα καὶ ε εἰς μίαν μακράν. ὅτι δὲ τὸ δα μακρόν ἐστι δῆλον ἐκ τοῦ*

*δαῆρ αὖτ' ἐμὸς* (*Γ* 180)

*αὐτοκασίγνητον καὶ δαέρα* (*Ξ* 156).

7. *Ἡ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν ὡς ἐν τῷ* (*Γ* 152)

*δενδρέῳ ἐφεζόμενοι·*

*δύναται γὰρ καὶ οὕτω γενέσθαι συνίζησις τοῦ ω καὶ ε εἰς μίαν βραχεῖαν. ἐν τούτῳ δέ τινες τὸ ω κοινὴν* (11 *συλλαβὴν ποιοῦσι πρότερον, ἵνα δύο βραχείας εἰς μίαν* '*βραχεῖαν συναιρήσωσι.*

*Διαφέρει δὲ συναλοιφὴ συνεκφωνήσεως ἤγουν συνιζήσεως. ἡ μὲν γὰρ συναλοιφὴ ὡς γράφεται οὕτω καὶ ἐκφωνεῖται, ἡ δὲ συνίζησις οὐχ ὡς γράφεται ἐκφωνεῖται, ἀλλ' ἐν τῷ βαίνειν τὰς δύο συλλαβὰς ὁμοῦ ὑπὲρ τῆς τοῦ μέτρου θεραπείας συνεκφωνεῖ. διὸ καὶ συνίζησις λέγεται· συνιζάνειν γὰρ λέγεται τὸ ἔκ τινος μείζονος εἰς ἔλαττον συμπίπτειν· εἴρηται δὲ ἐκ μεταφορᾶς τοῦ περὶ τοὺς καθεζομένους συμβαίνοντος, ἐπειδὴ οὗτοι καθεσθέντες συστέλλουσι τὸ μέγεθος.*

## XVII.

### *Περὶ ἐπῶν χωλῶν.*

*Γίνονται τὰ ἔπη χωλὰ ἢ κατὰ πλεονασμὸν ἢ κατ' ἔνδειαν. ἑκατέρου δὲ τούτων διαιρουμένου* (1( *κατά τε τὴν ἀρχὴν* ⟨*καὶ*⟩ *τὸ μέσον καὶ τὸ τέλος γίνονται τρόποι ἕξ· ἐν μὲν τῇ ἀρχῇ δύο, ὁ προκέφαλος καὶ* ⟨*ὁ*⟩ *ἀκέφαλος, ἐν τῷ μέσῳ δὲ ὁ προκοίλιος καὶ ὁ*

11 schol.A 107, 18 ‖ 22 At. Fort. VI 283, 12. M. Vict. VI 67, 13 sqq.

10 *βραχεῖαν*] *μακρὰν* codd. ‖ 15 *συνεκφωνεῖ* Gaisf. ex codd. *Barocc.* 72 et 115, *συνεκφωνεῖται* k, *συνεκφωνικὸν* p ‖ 26 *ἐν* ⟨*δὲ*⟩ *τῷ μέσῳ δύο, ὁ* Hoersch.

1. *Δύο μὲν μακρῶν εἰς μίαν μακρὰν ὡς ἐν τῷ* (*Ε* 349)

*ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις·*

*ἐνταῦθα γὰρ καὶ τὸ η καὶ τὸ ου, ἀμφότερα μακρὰ*
22) *ὄντα, εἰς μίαν συλλαβὴν μακρὰν καταλογίζονται.*

2. *Δύο δὲ βραχειῶν εἰς μίαν μακρὰν ὡς ἐν τῷ* (*Γ* 237)

*Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,*

*τῆς κε καὶ α συλλαβῆς, καὶ ἀμφοτέρων βραχειῶν οὐσῶν, εἰς μίαν μακρὰν συναιρουμένων. τοῦτο δέ τινες οὔ φασιν εἶναι συνίζησιν ἀλλὰ διάλυσιν τῆς τελευταίας τοῦ σπονδείου μακρᾶς.*

3. *Ἢ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν ὡς ἐν τῷ* (Praxil. 1)

*ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν·*

*ἐνταῦθα γὰρ ἥ τε καὶ ον συλλαβὴ εἰς μίαν βραχεῖαν συνιζάνονται· τινὲς δὲ μᾶλλον τὴν ον καὶ ου εἰς μίαν μακρὰν συλλαμβάνουσι.*

4. *Βραχείας δὲ καὶ μακρᾶς εἰς μίαν μακράν, ὡς ἔχει τε ἡ ἄνω χρῆσις καὶ ἐν τῷ* (*Η* 159)

*ὑμέων οἵπερ ἔασι,*

22 *τῆς με καὶ ων εἰς μίαν μακρὰν συναιρουμένης.*

5. *Καὶ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν ὡς ἐν τῷ* (*Γ* 152)

*δενδρέῳ ἐφεζόμενοι*

*τῆς ε καὶ ω εἰς μίαν βραχεῖαν.*

6. *Μακρᾶς δὲ καὶ βραχείας εἰς μίαν μακρὰν ὡς ἐν τῷ* (*Ω* 769)

*δαέρων ⟨ἢ⟩ γαλόων*

1 sqq. idem ordo adumbratur apud Eustath. ad *Α* 1 p. 12,14

16 ἔπειθον Heph. ‖ 21 καὶ τὸ prop. Hoersch.

5. *Δολιχόουρος* δὲ ὁ κατὰ τὸ τέλος πλεονάζων (1 συλλαβῇ, οἷον (ε 231)

λεπτὸν καὶ χάριεν, περὶ δὲ ζώνην βάλετ' ἰξυϊ·

πλεονάζει γὰρ τῇ ι συλλαβῇ.

6. *Μείουρος* δὲ ὁ κατὰ τὸ τέλος ἐλλείπων χρόνῳ, ὡς ἐν τῷ (*Μ* 208)

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἴολον ὄφιν.

Τούτων μὲν οὖν τῶν ἓξ τρόπων ὅσοι δύνανται ἢ διὰ κοινῆς συλλαβῆς ἢ διὰ συνιζήσεως θεραπεύεσθαι, οὐ κυρίως ἂν κληθεῖεν πάθη. —

Ζητήσειε δ' ἄν τις περί τε τοῦ (*Ι* 5)

Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον

καὶ τοῦ (σ 247)

πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισι·

καὶ τῶν ὁμοίων, πότερον ἀκεφάλους χρὴ λέγεσθαι ἢ μή. (προκέφαλοι μὲν γὰρ οὐκ εἰσίν· οὔτι γὰρ χρόνῳ πλεονάζουσιν οἱ πρῶτοι πόδες, ἐπειδὴ τετράχρονοί εἰσι καὶ ἰσοδυναμοῦσι τοῖς δακτύλοις.) φαμὲν οὖν κατὰ λόγον αὐτοὺς ἀκεφάλους καλεῖν, εἰ καὶ μὴ ἐλλείπουσι χρόνῳ ἢ συλλαβῇ. κεφαλὴν γὰρ ἔπους καθόλου τὴν ἄρχουσαν μακρὰν χρὴ νομίζειν εἶναι· ἐὰν οὖν αὕτη τῆς οἰκείας χώρας ἐκπέσῃ καὶ ἀντ' αὐτῆς βραχεῖα τεθῇ, ἀκέφαλον ἐξ ἀνάγκης τὸ ἔπος γίνεται. Καὶ τούτων τῶν προτεθέντων στίχων ὁ μὲν

πλέονές κε μνηστῆρες

δύναται διὰ συνιζήσεως θεραπευθῆναι τῆς πλε καὶ ο συλλαβῆς εἰς μίαν μακράν· ὁ δὲ ἄλλος ἀθεράπευτός ἐστιν, ὥσπερ καὶ ἐπὶ τοῦ (η 119)

Ζεφυρείην πνείουσα.

11 schol.[A] 96, 18—20

7 ἐπεὶ] ὅπως Homerus ‖ 16 οὔτι Hoersch., οὔτε codd. ‖ 19 καλεῖσθαι prop. Hoersch. ‖ 19—20 ἐλλείπωσι codd. ‖ 24 τούτων] τούτων καὶ codd. | ὁ] τὸ Y ‖ 29 ζεφυρίη Homerus

0) *φασὶ δέ τινες καὶ περὶ τούτων, ὅτι ὁ ποιητής, εὐφωνίας μᾶλλον ἢ μέτρου φροντίζων, ἔστιν ὅπου τῆς τοῦ μέτρου ἀκριβείας ὑπερορᾷ, καὶ τοῦτο δῆλον ἐκ τοῦ* (*M* 208)

*Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἴολον ὄφιν*

(*ἠδύνατο γὰρ εἰπεῖν*

*Τρῶες δ' ἐρρίγησαν, ὅπως ὄφιν αἴολον εἶδον*),

24 *ἢ ὅτι ἐνταῦθα ὁ ποιητὴς ᾔσθετο τῆς τοῦ δασέος φ ἐκφωνήσεως πλέον τι ἐχούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος, ὡς καὶ Ἡλιοδώρῳ δοκεῖ τῇ δασείᾳ πλέον τι νέμειν. τὸ αὐτό φασι καὶ περὶ τοῦ Ζεφυρείην* (p. 290, 28). *ἀλλὰ κατὰ τοῦτον τὸν λόγον δόξειεν ἂν κἂν τούτῳ τὴν ζε συλλαβὴν μακρὰν εἶναι διὰ τὴν τοῦ δασέος φ ἐπαγωγήν, ὡς καὶ ἐν τῷ ὄφιν* (v. 5). *ἀλλ' ἡ ρει συλλαβὴ διὰ διφθόγγου γραφομένη οὐκ ἐᾷ τὸν λόγον τοῦτον ἄπταιστον προβῆναι· οὐ γὰρ δύναται διὰ τῶν τριῶν τούτων συλλαβῶν δάκτυλος συνίστασθαι, εἰ μή που τὴν ρει συλλαβὴν διὰ τοῦ ι φήσειαν γράφεσθαι. — Ἤδη δέ τινες καὶ τοῦ Βορέης τὴν βο καὶ ρε συλλαβὴν ἐπεχείρησαν διὰ συνιζήσεως εἰς μίαν μακρὰν συνάπτειν, λέγοντες ὡς μετὰ τὴν βο συλλαβὴν τοῦ ρ ἐπιφερομένου, ὅπερ ὡς φωνῆεν καταλογίζεται (διὰ τοῦτο γὰρ καὶ δασύνεται ἐν πάσῃς ἀρχῇ λέξεως), οὐδὲν ἔσται ἐμπόδιον κοινὴν γενέσθαι συλλαβήν. ἀκέφαλος οὖν πάντῃ ἀθεράπευτός ἐστιν, ὡς ἐν τῷ* (*A* 193)

*ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν*

*καὶ ἐν τῷ* (*δ* 90)

*ἕως ἐγὼ περὶ κεῖνα.*

1) *οὐδεμιᾷ γὰρ μηχανῇ οὔτε διὰ συνιζήσεως οὔτε διὰ*

10 cf. Choer. 197, 15

*18—19 φήσειε* codd. ‖ 23 *πάσης* Egenolff, *πάσῃ* codd.

κοινῆς συλλαβῆς δύνανται θεραπευθῆναι, καί εἰσιν ὁμολογουμένως πάθη. τούτοις ὅμοιόν ἐστι καὶ τὸ (μ 423)

ἐπίτονος βέβλητο βοὸς ῥινοῖο τετευχώς.

## XVIII.

## ⟨Περὶ εἰδῶν τοῦ ἡρωϊκοῦ⟩.

Εἰσὶ δὲ καὶ εἴδη στίχων ἕξ· ἰσόχρονος, ἀπηρτισμένος, τραχύς, μαλακοειδής, κακόφωνος καὶ λογοειδής.

1. Ἰσόχρονος μὲν οὖν ἐστιν ὁ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων τὰ αὐτὰ ἔχων ἤγουν ἐξ ὅλων σπονδείων συγκείμενος, ὡς τὸ (φ 15)

τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν.

2. Ἀπηρτισμένος ⟨δὲ⟩ ὁ διάνοιαν αὐτοτελῆ ἔχων ἐν αὐτῷ οἷον (Η 1)

ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

3. Τραχὺς δέ ἐστιν ὁ τὸν ῥυθμὸν τῶν φθόγγων ἐκ τραχυτέρων λέξεων συνιστῶν, οἷον (Γ 363)

τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.

4. Μαλακοειδὴς δέ ἐστιν ὁ λείως ἐμπίπτων ταῖς ἀκοαῖς, οἷον (Ρ 51)

αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι.

5. Κακόφωνος δέ ἐστιν ᾧ πολλὰ φωνήεντα πρόσεστιν, οἷον (λ 128)

φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ.

6. Λογοειδὴς δέ ἐστιν ὁ πεζότερος τῇ συνθέσει, οἷον (Λ 680)

ἵππους τε ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

16 τραχὺς] schol. in Dion. Thr. 350, 11

3 ἐπίπονος codd. ‖ 5 add. Hoersch. ‖ 16 ὁ τῷ ῥοίζῳ τὸν φθόγγον συνιστάς app. Dion. ‖ 19 ἐπιπίπτων app. Dion. ‖ 24 φῆι ἀθὴρ λοιγὸν p, φῆρα θῆρα λοιγόν k ‖ 27 τε] δὲ Homerus

## XIX.

### *Περὶ διαφορῶν τοῦ ἡρωϊκοῦ.*

*Διαφοραὶ δὲ τῶν ἡρωϊκῶν στίχων εἰσὶν ἑπτά· κατενόπλιον, περιοδικόν, βουκολικόν, Σαπφικόν, ὑπόρρυθμον, τέλειον καὶ πολιτικόν.*

1. *Κατενόπλιον μὲν οὖν ἐστι τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον, οἷον* (*Α* 357)

*ὥς φατο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ.*

2. *Περιοδικὸν δέ ἐστι τὸ ἔχον ἕνα δάκτυλον καὶ ἕνα σπονδεῖον, οἷον* (*Α* 2)

*οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν.*

3. *Βουκολικὸν δέ* ⟨*ἐστι*⟩ *τὸ † μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέρος λόγου, οἷον* (*Κ* 475)

*ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.*

4. *Σαπφικὸν δέ ἐστι τὸ ἀρχόμενον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον, οἷον* (*Β* 1)

*ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί.*

5. *Ὑπόρρυθμον δέ ἐστι τὸ καθ' ἕκαστον πόδα ἀπαρτίζον εἰς μέρος λόγου, οἷον* (*Α* 214)

*ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.*

6. *Τέλειον δέ ἐστι τὸ ἔχον πάντα τὰ μέρη τοῦ λόγου, οἷον* (*Χ* 59)

*πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε.*

22 schol. in Dion. Thr. 58, 13—19. 354, 18—21. 357, 29

6 *δύο ἔχον k* ‖ 8 *μήτηρ*] *ἤρη k* ‖ 12 *ἐστι* add. Hoersch.; rectam huius generis explicationem vide p. 351, 21 (cf. Hoerschelmann in Philol. NF I 1 sqq.) ‖ 14 *πυμάτοις k*, *πύμασθ' p* | 15 genus 4 ante 3 posuit recte app. rh. | *δὲ Z*, om. *Y* ‖ 19 *εἰς* om. *p* ‖ 20 *ὕβρεως k* | *πείθεο* om. et ante *σὺ* hab. *φίλος k* ‖ 21 *μέρη*] *μέτρα k* ‖ 23 *ἐλέησον* Hom.

7. *Πολιτικὸν δέ ἐστι τὸ ἄνευ πάθους ἢ τρόπου πεποιημένον, οἷον* (*Λ* 680)

*ἵππους τε ξανθὰς ἑκατὸν καὶ πεντήκοντα·*

*ὅπερ ταὐτόν ἐστι τῷ λογοειδεῖ.*

## XX.

### *Περὶ ποδῶν.* (1

1. *Πούς ἐστι ποιῶν καὶ ποσῶν συλλαβῶν σύνθεσις εἰς εὐπρεπὲς σχῆμα· ποιῶν μέν, ὅτι δεῖ τὰς μὲν μακρὰς εἶναι τὰς δὲ βραχείας· ποσῶν δέ, ὅτι δεῖ δύο εἶναι ἢ πλείους· εἰς εὐπρεπὲς δὲ σχῆμα, ὡς ὅταν εἴπωμεν τὰς συλλαβὰς ἢ καθ' ἑαυτὰς συντίθεσθαι ἀλλήλαις ἢ τῆς μακρᾶς λυομένης εἰς δύο βραχείας. τινὲς δὲ οὕτως ὡρίσαντο· πούς ἐστι σύνταξις συλλαβῶν ἄρσιν* (11 *καὶ θέσιν περιέχουσα. οἱ δὲ οὕτως· πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ δύο ἕως τεσσάρων ἢ ἕξ, ἐν ᾗ γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος.*

2. *Ὕλη δὲ ποδῶν συλλαβαὶ ἐν ποσότητί τε καὶ ποιότητι εὐπρεπῶς κινούμεναι· αἱ γὰρ δύο συλλαβαί, βραχεῖά τε καὶ μακρά, ἀλλήλαις συμπλεκόμεναι τοὺς τέσσαρας δισυλλάβους ἀποτελοῦσι. πᾶν γὰρ διφυὲς ἑτέρῳ διφυεῖ συμπλεκόμενον τέσσαρα σχήματα ἀποτελεῖ, ὡς ἐν τῷ περὶ ὀνομάτων εἴπομεν· καὶ ἡ ἀριθ-*

6 ad totum cap. cf. praeter appendices Choer. 211, 11 sqq. (adde Ioa. Sic. RhG VI 237, 15 — 240); vide Hoersch. LdM 53 sqq. 61 ‖ 7 schol.[A] 109, 12

3 cf. 292, 27 ‖ 7 §§ 1—6 om. *Z* ‖ 13 *σύνταξις* scripsi ex An. Ambr. 232 et Choer. 211, 14, *τάξις* codd. ‖ 14 *καὶ* Nauck; *ἢ* codd. An. Ambr. Choer. ‖ 15 *ἕξ* et *ᾗ* scripsi ex An. Ambr. et Choer., *πέντε* et *αἷς* codd. ‖ 18 *κινουμένη* *Y*, *κειμένη* An. Ambr. ‖ 20 *τεσσάρας δισυλλάβους* Caes., *τετρασυλλάβους* *Y* ‖ 22 *vv. ἐν τῷ περὶ ὀνομάτων* ad quam (Longini aut Ori? cf. *297, 15 et* Choer. 212, 25) commentationem spectent, nescio

## XIX.

167) *Περὶ διαφορῶν τοῦ ἡρωϊκοῦ.*

*Διαφοραὶ δὲ τῶν ἡρωϊκῶν στίχων εἰσὶν ἑπτά· κατενόπλιον, περιοδικόν, βουκολικόν, Σαπφικόν, ὑπόρρυθμον, τέλειον καὶ πολιτικόν.*

1. *Κατενόπλιον μὲν οὖν ἐστι τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον, οἷον* (*Α* 357)

*ὥς φατο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ.*

2. *Περιοδικὸν δέ ἐστι τὸ ἔχον ἕνα δάκτυλον καὶ ἕνα σπονδεῖον, οἷον* (*Α* 2)

*οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν.*

3. *Βουκολικὸν δέ* ⟨*ἐστι*⟩ *τὸ* † *μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέρος λόγου, οἷον* (*Κ* 475)

*ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.*

4. *Σαπφικὸν δέ ἐστι τὸ ἀρχόμενον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον, οἷον* (*Β* 1)

*ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί.*

5. *Ὑπόρρυθμον δέ ἐστι τὸ καθ' ἕκαστον πόδα ἀπαρτίζον εἰς μέρος λόγου, οἷον* (*Α* 214)

*ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.*

6. *Τέλειον δέ ἐστι τὸ ἔχον πάντα τὰ μέρη τοῦ λόγου, οἷον* (*Χ* 59)

*πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε.*

22 schol. in Dion. Thr. 58, 13—19. 354, 18—21. 357, 29

6 *δύο ἔχον k* ‖ 8 *μήτηρ*] *ἥρη k* ‖ 12 *ἐστι* add. Hoersch.; rectam huius generis explicationem vide p. 351, 21 (cf. Hoerschelmann in Philol. NF I 1 sqq.) ‖ 14 *πυμάτοις k*, *πύμασθ' p* | 15 genus 4 ante 3 posuit recte app. rh. | *δὲ Z*, om. *Y* ‖ 19 *εἰς* om. *p* ‖ 20 *ὕβρεως k* | *πείθεο* om. et ante *σὺ* hab. *φίλος k* ‖ 21 *μέρη*] *μέτρα k* ‖ 23 *ἐλέησον* Hom.

*πυρρίχιον τὸν δεύτερον παιῶνα, ἐπὶ δὲ τὸν τροχαῖον τὸν ἀντίσπαστον, ἐφ' ἑαυτὸν δὲ τὸν δίιαμβον, ἐπὶ δὲ τὸν σπονδεῖον τὸν πρῶτον ἐπίτριτον. ὁ δὲ τροχαῖος ἐπὶ μὲν τὸν πυρρίχιον τὸν πρῶτον παιῶνα ποιεῖ, ἐπὶ δὲ τὸν ἴαμβον τὸν χορίαμβον, ἐφ' ἑαυτὸν δὲ τὸν διτρόχαιον, ἐπὶ δὲ τὸν σπονδεῖον τὸν δεύτερον ἐπίτριτον. ὁ δὲ σπονδεῖος ἐπὶ μὲν τὸν πυρρίχιον τὸν ἰωνικὸν ἀπὸ μείζονος, ἐπὶ δὲ τὸν ἴαμβον τὸν τρίτον ἐπίτριτον, ἐπὶ δὲ τὸν τροχαῖον τὸν τέταρτον ἐπίτριτον, ἐφ' ἑαυτὸν δὲ τὸν δισπόνδειον. Ὅτι δὲ ἕκαστος τούτων σύνθετός ἐστιν ἐκ δύο ποδῶν δισυλλάβων δῆλον ἐκ τοῦ λέγεσθαι ἕκαστον αὐτῶν καὶ διποδίαν ἢ καὶ συζυγίαν. — Ποσοῦνται τοίνυν οὗτοι, οἱ τε δισύλλαβοι τέσσαρες, οἱ τρισύλλαβοι ὀκτὼ καὶ οἱ τετρασύλλαβοι ις' εἰς κη'. καὶ μέχρι μὲν οὖν τούτων οἱ ἀκριβέστεροι τῶν μετρικῶν ἱστᾶσι τοὺς πόδας· καὶ εἴ που δὲ εὑρεθῇ πεντασύλλαβος πούς, λυομένης φασὶ τῆς ἔν τινι τετρασυλλάβῳ ποδὶ μιᾶς μακρᾶς εἰς δύο βραχείας γίνεσθαι τοῦτον.* (1

*Ἄλλοι δέ φασι τοὺς τετρασυλλάβους προσλαμβάνοντας ἑκατέραν τῶν ⟨δύο⟩ συλλαβῶν πεντασυλλάβους ἀπογεννᾶν λβ' κατὰ τὴν ἀναλογίαν τῶν δισυλλάβων καὶ τρισυλλάβων. ὥσπερ γάρ, φασίν, οἱ δισύλλαβοι τέσσαρες ὄντες τὰς δύο συλλαβὰς προσλαμβάνοντες τοὺς ὀκτὼ τρισυλλάβους ἐποίησαν, οὕτω καὶ οἱ ις' τετρασύλλαβοι τὰς τοιαύτας ἑκατέραν προσλαμβάνοντες τοὺς λβ' πεντασυλλάβους ποιοῦσιν· οἷς ὀνόματα μὲν οὐκ ἔθεντο ἰδίως ἑκάστοις, ἀλλ' ἀπὸ τῆς*

13 cf. tract. A V 99 (infra exarat.)

8 *τὸν* (post.) om. *p* ‖ 10—11 *τούτων* om. *p* ‖ 13 *τε* del. Hoersch. ‖ 16—17 *πόδας· εἴ που δὲ εὑρεθείη καὶ πέντ.?* Hoersch. ‖ 18 *τετρασυλλάβους ποδίας Y*, corr. Turn. ‖ 21 *δύο* add. Pauw ‖ 26 *ἑκατέρας* Turn., *τῶν αὐτῶν ἑκατέραν* Egenolff ‖ 27 τοὺς om. k ‖ 28 ἑκάστῳ Hoersch.

*τῶν προειρημένων μετὰ συλλαβῆς συνθέσεως ἕκαστον δηλοῦσι. — Καὶ τὰς διαιρέσεις αὐτῶν διπλᾶς ποιοῦνται, δισυλλάβους φάσκοντες εἶναι μετὰ τρισυλλάβων ἢ τρισυλλάβους μετὰ δισυλλάβων. αὐτίκα γὰρ* (Eur. Phoen. 3)

*Ἥλιε θοαῖς ἵπποισι*

*δύνανται διαιρεῖν καὶ ἰαμβικῶς καὶ τροχαϊκῶς· ἰαμβικῶς μέν, τὸν μὲν πρῶτον πόδα ποιοῦντες τρισύλλαβον, ἤγουν δάκτυλον τὸν δὲ δεύτερον ἴαμβον· τροχαϊκῶς δέ, τὸν μὲν πρῶτον πόδα ποιοῦντες δισύλλαβον, ⟨ἤγουν⟩ τροχαῖον, τὸν δὲ δεύτερον ἀνάπαιστον ἰσοδυναμοῦντα*

7 *τῷ σπονδείῳ. — Πάλιν δὲ τούτοις τοῖς λβ′ πεντασυλλάβοις ἑκατέραν τῶν δύο συλλαβῶν ⟨προστιθέντες⟩ ἑ ξ α σ υ λ λ ά β ο υ ς ποιοῦσι ξδ′. καί εἰσιν ὁμοῦ οἱ πάντες δ′ η′ ις′ λβ′ ξδ′, συγκροτούμενοι εἰς ρκδ′. — Ἄλλοι δὲ τοὺς ιβ′ ἁπλοῦς πόδας ἤγουν τοὺς τέσσαρας δισυλ-*

0) *λάβους καὶ τοὺς ὀκτὼ τρισυλλάβους ἐφ' ἑαυτοὺς πολλαπλασιάζοντες ἤγουν δωδεκάκις δώδεκα ποιοῦντες ρμδ′ ποιοῦσι. καὶ πῶς ἂν λυθείη ἡ δοκοῦσα ἐν τούτοις διαφωνία; ὅτι κατὰ μὲν τὴν προτέραν μέθοδον, καθ' ἣν οἱ τετρασύλλαβοι ἐκ προσλήψεως ἑκατέρας τῶν δύο συλλαβῶν τοὺς πεντασυλλάβους ποιοῦσι, λβ′ εἰσὶν οἱ πεντασύλλαβοι· κατὰ δὲ τὴν δευτέραν μέθοδον, τὴν ἐκ δισυλλάβων καὶ τρισυλλάβων συντιθεῖσαν αὐτοὺς ἢ ἐκ τρισυλλάβων καὶ δισυλλάβων, ξδ′ γίνονται. πολλαπλασιαζόμενοι γὰρ οἱ ⟨δ′⟩ δισύλλαβοι ἐπὶ τοὺς ὀκτὼ τρισυλλάβους λβ′, καὶ πάλιν οἱ ὀκτὼ τρισύλλαβοι ⟨ἐπὶ⟩ τοὺς τέσσαρας δισυλλάβους ἄλλοι λβ′, καὶ ὁμοῦ ξδ′. ις′ οὖν τετρασύλλαβοι καὶ ξδ′ πεντασύλλαβοι ⟨καὶ ξδ′*

4 *δισυλλάβων* Caes., *τρισυλλάβων* Y ‖ 7 *δύναται* p ‖ 8 *τρισύλλαβον* Pauw, *δισύλλαβον* Y ‖ 10 *ἤγουν* add. Hoersch. ‖ 13 *προστιθέντες* add. Pauw ‖ 18 *ρκδ′* k ‖ 25 *ἢ*] *οἱ* k ‖ 26 *δ′* add. Hoersch. ‖ 27 *ἐπὶ* add. Flor., om. p; *ἐπὶ* — 29 *τετρασύλλαβοι* om. k ‖ 28 *ἄλλοι* Hoersch., *ἄλλους* Y ‖ 29 *καὶ* — 298, 1 *ἑξασύλλαβοι* add. Pauw

*ἑξασύλλαβοι> ρμδ΄ ποιοῦσι τοὺς συνθέτους, τῶν ἁπλῶν δηλονότι (τουτέστι τῶν τεσσάρων δισυλλάβων καὶ τῶν ὀκτὼ τρισυλλάβων) μὴ συναριθμουμένων αὐτοῖς· εἰ γὰρ συναριθμηθεῖεν καὶ οὗτοι αὐτοῖς, ρνϛ΄ ἔσονται οἱ πάντες.*

*Ὅθεν ὀνομάζονται πόδες.*

3. *Τὸ δὲ τὰ τοιαῦτα τῶν συλλαβῶν συστήματα πόδας ὀνομάζεσθαι μεταφορικῶς εἴληπται ἀπὸ τῶν ἐν τοῖς ζῴοις ποδῶν, δι' ὧν ποιοῦνται τὴν κίνησιν. ὥσπερ γὰρ οἱ τῶν ζῴων πόδες ἀλλήλοις ἀντικείμενοι τὴν πορείαν ἀπεργάζονται, οὕτω καὶ οἱ μετρικοὶ πόδες ἀλλήλοις ἀντιταττόμενοι τὴν ὁδὸν τοῦ λόγου σχηματίζουσι καὶ τὴν αὐτοῦ κίνησιν εὔρυθμόν τε καὶ ἐναρμόνιον ἀποτελοῦσι.*

*Λέγεται δὲ τὸ τοῦ ποδὸς ὄνομα καὶ ἐπὶ πολλῶν ἄλλων (λέγομεν γὰρ τραπέζης πόδας) καὶ ἐπὶ πηδαλίου νηός· καὶ τὸ τοῦ ἀρμένου δὲ ὀξύτερον μέρος τὸ πρὸς τῇ νηὶ ποὺς κέκληται.*

*Ἕκαστος μέντοι τῶν τοιούτων ποδῶν ἰδίου τετύχηκεν ὀνόματος, ἢ ἀπὸ ῥυθμῶν ἢ ἐθνῶν ἢ συνθέσεων τῶν ἐξ ἀλλήλων ἢ ἀριθμῶν, περὶ ὧν ἐφ' ἑκάστῳ δηλώσομεν.*

4. *Ἔστιν οὖν πρῶτος ὁ πυρρίχιος, ἐκ <β΄> βραχειῶν συγκείμενος. ἐκλήθη δὲ οὕτως ὅτι βραχύτατός ἐστι καὶ ὀξεῖαν ποιεῖται τὴν κίνησιν τῶν χρόνων, ὥσπερ καὶ ἡ καλουμένη πυρρίχη ἐνόπλιος ὄρχησις οὖσα. ἄλ-*

7 *συστήματα συλλαβῶν* Ar. Quint. 31, 9 ‖ 20 schol.[A] 109, 12

6 *ὅθεν*] *πῶς* *p* ‖ 7 *συστήματα* Hoersch., *ὀνόματα* *Y* ‖ 11 *ἀπεργάζονται* app. Dion. p. 331, 13, *ἐργάζονται* *Y* ‖ 15—16 *ἄλλων πολλῶν* *k* ‖ 16 post *πηδαλίου* add. *τι* p ‖ 20 *ἐθνῶν* Pauw, *ἐθῶν* *Y* *συνθέσεως* An. Ambr. ‖ 23 β΄ add. Turn. ‖ 24 βραχύτατον p

λοι δὲ ἀπὸ τοῦ Πύρρου παρωνομάσθαι ⟨φασί⟩· πρώτῳ γὰρ τούτῳ ἐκ τοῦ δουρίου ἵππου πηδήσαντι ἐπινίκιον ὕμνον συνέθεντο τοιοῦτον ἔχοντα μέτρον. καλεῖται δὲ παρά τισι καὶ παρίαμβος, ἐπειδὴ περὶ τὰ τέλη τῶν ἰαμβείων μέτρων εὑρίσκεται· ἢ ὅτι πυρρίχιος καὶ ἴαμβος παρά τι ὅμοιοί εἰσι, περὶ τὴν ἐσχάτην συλλαβὴν διαλλάσσοντες, ἥτις ἐστὶν ἀδιάφορος ἐπὶ παντὸς μέτρου. ἄλλοι δὲ καὶ ἡγεμόνα φασὶν αὐτόν, ἐπεὶ ἐξ αὐτοῦ οἱ ἄλλοι πόδες. Οὗτος δὲ κατὰ πόδα μὲν οὐ βαίνεται διὰ τὸ κατάπυκνον γίνεσθαι τὴν βάσιν καὶ συγχεῖσθαι τὴν αἴσθησιν, κατὰ διποδίαν δὲ συντιθέμενος καὶ τὸν προκελευσματικὸν ποιῶν τὰ καλούμενα προκελευσματικὰ ἢ πυρριχιακὰ μέτρα ποιεῖ, ὧν παραδείγματα

ἴθι μόλε ταχύποδος ἐπὶ δέμας ἐλάφου,
† πτεροφόρον χέρσον καθημένα (fr. lyr. adesp. 113).

ὁ ⟨καὶ⟩ προκελευσματικός.

2) Δεύτερος ⟨ὁ⟩ ἴαμβος, ἐκ βραχείας καὶ μακρᾶς
18 συγκείμενος, ἐκλήθη δὲ οὕτως ἢ ἀπὸ Ἰάμβης τῆς Κελεοῦ θεραπαίνης, ὅτι ἡ Δημήτηρ περίλυπος οὖσα ἐπὶ τῇ ἁρπαγῇ τῆς ἑαυτῆς θυγατρὸς καὶ πλανωμένη παρεξενώθη τινὶ ὀνόματι Κελεῷ καὶ τῇ αὐτοῦ γαμετῇ Μετανείρῃ, καὶ τούτου ἡ θεράπαινα ἡ καὶ Ἰάμβη καλουμένη, ὡς ἔφαμεν, παρεμυθήσατο τὴν Δήμητρα ὀρχησαμένη καὶ ᾄσματα ἐν τοιούτῳ ῥυθμῷ προενεγκοῦσα. ἢ ἀπὸ Ἰάμβης τινὸς κόρης αἰσχρῶς ὑβρισθείσης καὶ διὰ τοῦτο ἀγχόνῃ χρησαμένης. ἢ ἀπὸ γραός τινος Ἰάμβης καλουμένης, ᾗ πλυνούσῃ συντυχὼν ὁ Ἱππῶναξ

4 παρίαμβος Choer. 213, 11. Mar. Vict. 44, 13 (cf. παριωνικόν Oxyrh. pap. col. VII 7)

1 φασι add. Turn. ‖ 4 καὶ παρά τ. π. *k* | ἔπει *k* ‖ 10 κατάπυκτον Y, corr. Turn. ‖ 14 ἐπὶ δέμας An. Ambr., ἐπίδεσμα Y ‖ 15 cf. An. Ambr. et An. Chis. AV 206, 4 ‖ 16 καὶ et 18 ὁ add. Hoersch. ‖ 21 γαμετῇ νῆρι Y, corr. e. g. ex app. Dion.

καὶ ἁψάμενος τῆς σκάφης, ἐφ' ἧς ἔπλυνεν ἡ γραῦς τὰ ἔρια, ἤκουσε λεγούσης

ἄνθρωπ' ἄπελθε, τὴν σκάφην ἀνατρέπεις.

ἢ ὅτι τὸ λοιδορεῖν ἰαμβίζειν ἐλέγετο, ⟨ἢ⟩ ἀπὸ τοῦ ἰὸν βάζειν, τουτέστι λόγους μεστοὺς πικρίας λέγειν· ἔστι δὲ τὸ μέτρον λοιδορητικόν.

Τρίτος ὁ τροχαῖος, ἐκ μακρᾶς καὶ βραχείας, οὕτω λεγόμενος ἐκ μεταφορᾶς τῶν τρεχόντων, οἵτινες ἐν τῷ προϊέναι ἀπὸ μακροτέρας ἀρχόμενοι ὁδοῦ κατὰ μικρὸν βραχύνουσιν αὐτήν.

Τέταρτος ὁ σπονδεῖος, ἐκ δύο μακρῶν συγκείμενος. ἐκλήθη δὲ οὕτως, ὅτι ἐν ταῖς σπονδαῖς, ἃς ἐποιοῦντο πρὸς τοὺς θεούς, τοιούτῳ μέτρῳ ἐχρῶντο, πολυχρονιωτέραν ἔσεσθαι τὴν ζωὴν αὐτοῖς καὶ τὰ ἄλλα τῶν ἀγαθῶν εὐχόμενοι. —

5. Τῶν δὲ τρισυλλάβων πρῶτος μὲν ὁ χορεῖος ὁ καὶ τρίβραχυς, ἐκ τριῶν βραχειῶν. ἐκλήθη δὲ χορεῖος, ὅτι οἱ ὑπὸ τῶν χορευόντων ᾀδόμενοι ἐν ταῖς χορείαις ὕμνοι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τοιούτων συνίσταντο μέτρων· ὁ καὶ τροχαῖος καὶ βραχυσύλλαβος.

Δεύτερος ὁ μολοττὸς ὁ τούτῳ ἀντικείμενος, ἐκ τριῶν μακρῶν. ἐκλήθη δὲ ἀπὸ Μολοσσοῦ, τοῦ υἱοῦ Πύρρου καὶ Ἀνδρομάχης, ᾠδὰς ἐν τοιούτῳ μέτρῳ εἰπόντος ἐν τῷ ἱερῷ Δωδώνης. ἢ διὰ τὸ μέγιστος εἶναι πάντων μολοσσὸς κέκληται· τοὺς γὰρ μηκίστους τὸ παλαιὸν μολοσσοὺς ἐκάλουν· ὁ καὶ τρίμακρος.

Τρίτος ὁ δάκτυλος, ἐκ μακρᾶς καὶ δύο βραχειῶν,

11 Ioa. Sic. RhG VI 237, 15—18 ‖ 27 Ioa. Sic. RhG VI 237, 18—21

4 ἢ addidi ‖ 4—5 ἰὸν βάζειν] ἰβάζειν *Y* ‖ 5 λέγειν om. *k* 9 τῆς ὁδοῦ *k* ‖ 11 ὁ ἐκ *k* ‖ 23 τοῦ Π. *k* ‖ 26 ὁ κ. τρ. post ἐκ. *pos.* Hoersch., est in Barocc. 115 in v. 24 post Δωδώνης; ibidem τρίμακρος in *Y*; cf. Choer. 217, 13

οὕτω κεκλημένος ἀπὸ μεταφορᾶς τῶν ἁρμογῶν τῶν τῆς χειρὸς δακτύλων (ἀπὸ γὰρ μείζονος ἁρμογῆς ἐπὶ τὰς δύο ἐλάττους προΐασιν) ἢ ἀπὸ τῶν Δακτύλων, οὓς ἐπιλαβομένη τῆς γῆς ἀνῆκεν ἡ Ῥέα, οὓς καὶ Κουρῆτας ἐκάλεσαν διὰ τὸ περὶ τὸν Δία κοῦρον ὄντα εἱλεῖσθαι, ⟨οἳ⟩ δέκα ὄντες καὶ τούτῳ τῷ μέλει ᾄδοντες καὶ ὀρχούμενοι τὸν Κρόνον ἠπάτων. καλοῦσι δὲ τοῦτον καὶ ἡρῷον διὰ τὸ δι' αὐτοῦ γενεὰς καὶ πράξεις ἡρώων καταλέγειν.

Τέταρτος ⟨ὁ⟩ ἀνάπαιστος ὁ τούτῳ ἀντικείμενος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς, οὗ χάριν ἀνάπαιστος κέκληται οἱονεὶ ἀναπεποδισμένος, τουτέστιν ἀντίστροφος, δάκτυλος, ὃ καὶ ἀντιδάκτυλος.

Πέμπτος ὁ ἀμφίβραχυς, ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, οὕτω κεκλημένος διὰ τὸ ἑκατέρωθεν τῆς μακρᾶς ἔχειν τὰς βραχείας· ὁ καὶ ὑπερθετικός, ὅτι ὑπερτιθεμένην ἔχει τὴν βραχεῖαν.

Ἕκτος ὁ ἀμφίμακρος, τούτῳ ἀντικείμενος, ἐκ (4) μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, διὰ τὸ ἑκατέρωθεν τῆς βραχείας ἔχειν τὰς μακράς· ὁ καὶ κρητικὸς καὶ παιωνικός· τὸ μὲν ὅτι ὑπὸ Κρητῶν εὑρεθῆναι δοκεῖ, τὸ δὲ ὅτι πρὸς τὰ παιωνικὰ καλούμενα μέτρα ἥρμοσται.

Ἕβδομος ὁ βακχεῖος, ἐκ βραχείας καὶ δύο μακρῶν. ἐκλήθη δὲ οὕτως, ἐπειδὴ οἱ τῶν διθυραμβοποιῶν πρὸς Διόνυσον ὕμνοι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τούτου τοῦ μέτρου ἦσαν· ὁ καὶ ὑποβάκχειος.

10 Ioa. Sic. RhG VI 237, 22

4 ἐπιλαβομένης *k* ‖ 6 οἳ Turn., om. *Y* ‖ 12 τουτέστιν om. *p* ‖ 21 et 22 παιωνικός et παιωνικά Micyllus, ἰωνικός et ἰωνικά *Y* et Choer.

Ὄγδοος ὁ παλιμβάκχειος, τούτῳ ἀντικείμενος, ἐκ δύο μακρῶν καὶ βραχείας, οὕτω κεκλημένος διὰ τὸ ἀντίστροφος εἶναι τῷ βακχείῳ· ὁ καὶ Διονύσιος, καθὰ 2
καὶ αὐτὸς πρὸς τὰ Διονυσιακὰ μέλη πεποίηται· ὁ καὶ προσοδιακὸς καὶ πομπευτικὸς διὰ τὸ ἐν προσοδίοις ὕμνοις οὕτω καλουμένοις καὶ ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπιτήδειος εἶναι.

6. Τῶν δὲ τετρασυλλάβων μνείαν οἱ σχολιογράφοι οὐκ ἐποιήσαντο· διὰ τοῦτο οὐδὲ ἡμεῖς πολλὰ περὶ αὐτῶν φιλοκρινοῦμεν. τέως εἰσὶν οὗτοι. — Πρῶτος ὁ προκελευσματικός, οὕτω καλούμενος ἐπειδὴ πρῶτός ἐστι τῶν διπλῶν, ἐκ τεσσάρων βραχειῶν, σύνθετος ὢν ἐκ δύο πυρριχίων. — Δεύτερος ὁ ἀντικείμενος αὐτῷ δισπόνδειος, ἐκ τεσσάρων μακρῶν, σύνθετος ὢν ἐκ δύο σπονδείων. — Τρίτος ὁ διίαμβος, ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, σύνθετος ὢν ἐκ δύο ἰάμβων· ὁ καὶ παράλληλος ἴαμβος ἢ ἰαμβικὴ ταὐτοποδία. — Τέταρτος ὁ ἀντικείμενος τούτῳ διτρόχαιος, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, ὁ καὶ κρητικὸς καὶ διχόρειος ἢ τροχαϊκὴ ταὐτοποδία. — Πέμπτος ὁ ἀπ' ἐλάσσονος ἰωνικός, ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, σύνθετος ὢν ἐκ (1
πυρριχίου καὶ σπονδείου, ὁ καὶ ὑποκύκλιος. — Ἕκτος ὁ ἀπὸ μείζονος ἰωνικός, ἀντικείμενος τούτῳ, ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, ἐκ τῶν αὐτῶν ποδῶν ἀνάπαλιν συγκείμενος· ὁ καὶ Περσικός· ἰωνικὸς ⟨μὲν⟩ ὅτι οἱ Ἴωνες αὐτῷ ἐκέχρηντο, Περσικὸς δὲ διὰ τὸ τὰς ἱστορίας τὰς Περσικὰς τούτῳ τῷ μέτρῳ γεγράφθαι. — Ἕβδομος ὁ ἀντίσπαστος, ἐκ βραχείας, δύο μακρῶν

8 σχολιογράφοι] cf. app. Dion. p. 331, 5 adn. et 334, 6

5 προσοδιακός Turn., προποδιακός Y | προσοδίοις Turn., ποδίοις Y ‖ 7 ἐπιτήδειον Y ‖ 8 τρισυλλάβων k ‖ 29 ⟨καὶ⟩ δύο Turn., cf. 303, 3. 17. 29

*καὶ βραχείας, ἐξ ἰάμβου καὶ τροχαίου συγκείμενος, ὁ καὶ σπονδειακὸς καὶ βακχεῖος κατὰ ἴαμβον. — Ὄγδοος ὁ χορίαμβος, ἀντικείμενος τούτῳ, ἐκ μακρᾶς, δύο βραχειῶν καὶ μακρᾶς, ἐκ τῶν αὐτῶν ποδῶν ἀνάπαλιν συγκείμενος· ὁ καὶ κύκλιος ἢ ὑποβάκχειος ἢ καὶ βακχεῖος κατὰ τροχαῖον. — Ἐφεξῆς δὲ τούτων οἱ τέσσαρές εἰσι παιῶνες, κοινῷ μὲν ὀνόματι οὕτω καλούμενοι, μίαν δὲ μόνον συλλαβὴν ἔχοντες ἕκαστος μακράν, τὰς δὲ λοιπὰς τρεῖς βραχείας. περιερχομένης ⟨δὲ⟩ τῆς μακρᾶς τὰς τέσσαρας τούτου χώρας διαστέλλονται ἕκαστος τῷ πρῶτος λέγεσθαι καὶ δεύτερος καὶ τρίτος καὶ τέταρτος. Ἔστι τοίνυν πρῶτος παιὼν ὁ ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν συγκείμενος, ὁ καὶ παιωνικὸς διὰ τὸ ἐν τοῖς παιῶσιν ὕμνοις παραλαμβάνεσθαι. δεύτερος ὁ ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν, ὁ καὶ σύμβλητος καὶ κουρητικὸς λεγόμενος, διὰ τὴν αὐτὴν αἰτίαν. τρίτος ὁ ἐκ δύο βραχειῶν, μακρᾶς καὶ βραχείας, ὁ καὶ διδυμαῖος ἢ κουρητικὸς ἢ δελφικὸς ἢ δρόμιος. τέταρτος ὁ ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς,*
6) *ὁ καὶ ὑπορχηματικὸς καὶ κρητικός. — Ὁμοίως τούτοις ἔχουσι καὶ οἱ καλούμενοι ἐπίτριτοι, τέσσαρες ὄντες καὶ οὗτοι, καὶ ἕκαστος τρεῖς μακρὰς καὶ μίαν βραχεῖαν ἔχοντες· περιερχομένης δὲ καὶ ἐν αὐτοῖς τῆς βραχείας συλλαβῆς κατὰ τὴν θέσιν αὐτῆς διαστέλλονται ἀλλήλων τῷ τε πρῶτος λέγεσθαι καὶ δεύτερος καὶ τρίτος καὶ τέταρτος. Ἔστιν οὖν πρῶτος ἐπίτριτος ὁ ἐκ βραχείας καὶ τριῶν μακρῶν, ὁ καὶ ἵππειος ἢ καρικὸς ἢ δόχμιος· δεύτερος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν· τρίτος ὁ ἐκ δύο μακρῶν, βραχείας καὶ μακρᾶς, ὁ καὶ παροδικός· τέταρτος ὁ ἐκ τριῶν μακρῶν καὶ βραχείας, ὁ καὶ μονογενής.*

8 *μόνον συλλαβὴν* Hoersch., μονοσύλλαβον Y ‖ 14 τοῖς om. *k* ‖ 16 *κουρητικὸς* An. Ambr., κρητικός Y et Choer.

Ὄγδοος ὁ παλιμβάκχειος, τούτῳ ἀντικείμενος, ἐκ δύο μακρῶν καὶ βραχείας, οὕτω κεκλημένος διὰ τὸ ἀντίστροφος εἶναι τῷ βακχείῳ· ὁ καὶ Διονύσιος, καθὰ 29
καὶ αὐτὸς πρὸς τὰ Διονυσιακὰ μέλη πεποίηται· ὁ καὶ προσοδιακὸς καὶ πομπευτικὸς διὰ τὸ ἐν προσοδίοις ὕμνοις οὕτω καλουμένοις καὶ ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπιτήδειος εἶναι.

6. Τῶν δὲ τετρασυλλάβων μνείαν οἱ σχολιογράφοι οὐκ ἐποιήσαντο· διὰ τοῦτο οὐδὲ ἡμεῖς πολλὰ περὶ αὐτῶν φιλοκρινοῦμεν. τέως εἰσὶν οὗτοι. — Πρῶτος ὁ προκελευσματικός, οὕτω καλούμενος ἐπειδὴ πρῶτός ἐστι τῶν διπλῶν, ἐκ τέσσάρων βραχειῶν, σύνθετος ὢν ἐκ δύο πυρριχίων. — Δεύτερος ὁ ἀντικείμενος αὐτῷ δισπόνδειος, ἐκ τεσσάρων μακρῶν, σύνθετος ὢν ἐκ δύο σπονδείων. — Τρίτος ὁ διίαμβος, ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, σύνθετος ὢν ἐκ δύο ἰάμβων· ὁ καὶ παράλληλος ἴαμβος ἢ ἰαμβικὴ ταὐτοποδία. — Τέταρτος ὁ ἀντικείμενος τούτῳ διτρόχαιος, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, ὁ καὶ κρητικὸς καὶ διχόρειος ἢ τροχαϊκὴ ταὐτοποδία. — Πέμπτος ὁ ἀπ' ἐλάσσονος ἰωνικός, ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, σύνθετος ὢν ἐκ (135
πυρριχίου καὶ σπονδείου, ὁ καὶ ὑποκύκλιος. — Ἕκτος ὁ ἀπὸ μείζονος ἰωνικός, ἀντικείμενος τούτῳ, ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, ἐκ τῶν αὐτῶν ποδῶν ἀνάπαλιν συγκείμενος· ὁ καὶ Περσικός· ἰωνικὸς ⟨μὲν⟩ ὅτι οἱ Ἴωνες αὐτῷ ἐκέχρηντο, Περσικὸς δὲ διὰ τὸ τὰς ἱστορίας τὰς Περσικὰς τούτῳ τῷ μέτρῳ γεγράφθαι. — Ἕβδομος ὁ ἀντίσπαστος, ἐκ βραχείας, δύο μακρῶν

8 σχολιογράφοι] cf. app. Dion. p. 331, 5 adn. et 334, 6

5 προσοδιακός Turn., προποδιακός Y | προσοδίοις Turn., ποδίοις Y ‖ 7 ἐπιτήδειον Y ‖ 8 τρισυλλάβων k ‖ 29 ⟨καὶ⟩ δύο Turn., cf. 303, 3. 17. 29

# APPENDIX DIONYSIACA

## I. E. SCHOL.[B] LIBRI V ALTERA RECENSIO CUM DIONYSII THRACIS ARTE GRAMMATICA CONIUNCTA

## Cap. I.

### *Περὶ ποδῶν.*

*Πούς ἐστι μετρικὸν σύστημα συλλαβῶν, ὁ μὲν ἁπλοῦς ἐκ δύο ἢ τριῶν, ὁ δὲ σύνθετος ἀπὸ τεσσάρων μέχρις ἕξ.*

*Πόδες εἰσὶν ἁπλοῖ μὲν δυοκαίδεκα, ὧν δισύλλαβοι μὲν τέσσαρες, τρισύλλαβοι δὲ ὀκτώ· τετρασύλλαβοι δὲ δεκαέξ.*

*καὶ δισύλλαβοι μὲν οἵδε·*

1. *σπονδεῖος ἐκ δύο μακρῶν* = *τετράχρονος, οἷον ἥρως.*
2. *πυρρίχιος ἐκ δύο βραχειῶν* ⏑⏑ *δίχρονος, οἷον λόγος.*
3. *τροχαῖος ἐκ μακρᾶς* – *καὶ βραχείας* ⏑ *τρίχρονος, οἷον δῆμος.*
4. *ἴαμβος ἐκ βραχείας* ⏑ *καὶ μακρᾶς* – *τρίχρονος, οἷον Σόλων.*

*τρισύλλαβοι δὲ ὀκτώ·*

1. *δάκτυλος ἐκ μακρᾶς* – *καὶ δύο βραχειῶν* ⏑⏑ *τετράχρονος, οἷον Ἥλιος.*

2 ad hanc pedum enumerationem cf. infra p. 337—339 app. rhet.; Ps. Heph. (Diss. Argent. X) § 2. 20. An. Chis. § 1b (A V 207). § 17 (Dion. Thr. p. LII et 117—121). schol. in Herm. RhG VII 988—990 (V 492). — Hoersch. LdM 29sqq.

2 cap. I ed. ex cod. Monac. 310, de quo cf. Uhlig Dion. Thr. XIIsqq. et *K* (Ven. Marc. 483 fol. 151; cf. Stud. in Novis annal. phil. 131 [1885] p. 751) ‖ 4 *ἐκ* om. *M* ‖ 7 *τετρ. δ. δ.* om. Armenius; *πεντασύλλαβοι δὲ λ̅΄, ἑξασύλλαβοι δὲ ξ̅δ̅* add. Chis. ‖ 13 *δῆμος* $L^2$ in ras. *K* Ps. Heph. Chis. 1b, *σόλων* M ($L^1$?), *Ζῆθος app. rhet.* | in *K* versus 12/13 et 14/15 commutati

2. ἀνάπαιστος ἐκ δύο βραχειῶν ⏑⏑ καὶ μακρᾶς – τετράχρονος, οἷον Πολέμων.
3. ἀμφίμακρος ἐκ μακρᾶς – καὶ βραχείας ⏑ καὶ μακρᾶς – πεντάχρονος, οἷον Ἡγεμών.
4. ἀμφίβραχυς ἐκ βραχείας ⏑ καὶ μακρᾶς – καὶ βραχείας ⏑ τετράχρονος, οἷον Σερῆνος.
5. βακχεῖος ἐκ βραχείας ⏑ καὶ δύο μακρῶν = πεντάχρονος οἷον Νοήμων.
6. παλιμβάκχειος ἐκ δύο μακρῶν = καὶ βραχείας ⏑ πεντάχρονος, οἷον Ἥφαιστος.
7. χορεῖος ἐκ τριῶν βραχειῶν ⏑⏑⏑ τρίχρονος, οἷον Δολίος.
8. μολοσσὸς ἐκ τριῶν μακρῶν ≡ ἑξάχρονος, οἷον Ἡρῴδης. τοῖς γὰρ τετρασυλλάβοις οὐ χρῶνται οἱ μετρικοὶ ἐν τοῖς χρόνοις τούτοις.

Τετρασύλλαβοι δὲ δεκαέξ.

1. προκελευσματικὸς ἐκ τεσσάρων βραχειῶν ⏑⏑ ⏑⏑ τετράχρονος, οἷον φιλόσοφος.
2. παίων πρῶτος ἐκ μακρᾶς – καὶ τριῶν βραχειῶν ⏑⏑⏑ πεντάχρονος, οἷον Στησίχορος.
3. παίων δεύτερος ἐκ βραχείας ⏑ καὶ μακρᾶς – καὶ δύο βραχειῶν ⏑⏑ πεντάχρονος, οἷον Ὀνήσιμος.
4. παίων τρίτος ἐκ δύο βραχειῶν ⏑⏑ καὶ μακρᾶς – καὶ βραχείας ⏑ πεντάχρονος, οἷον Κλεόβουλος.
5. παίων τέταρτος ἐκ τριῶν βραχειῶν ⏑⏑⏑ καὶ μακρᾶς – πεντάχρονος, οἷον Ἐπιγένης.
6. ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο μακρῶν = καὶ δύο βραχειῶν ⏑⏑ ἑξάχρονος, οἷον Δημήτριος.
7. ἰωνικὸς ἀπ' ἐλάσσονος ἐκ δύο βραχειῶν ⏑⏑ καὶ δύο μακρῶν = ἑξάχρονος, οἷον Διομήδης.

6 *Βοηθός K* Ps. Heph., *Ὅμηρος* app. rhet. Chis. ‖ 11 *Δολίος* Uhlig, *Δόλιος MK* app. rhet. Chis. 1[b], *Ἕλενος* Ps. Heph. ‖ 13 rell. om. Armenius et Chis. § 1[b] ‖ 17 *θεολόγος* Ps. Heph. ‖ 19 *Ἡρόδοτος Ps.* Heph. ‖ 23 Θεόδωρος Ps. Heph. ‖ 25 *Θεοφάνης* Ps. *Heph.* ‖ *29 Κλεομήδης* Ps. Heph.

8. *χορίαμβος ἐκ μακρᾶς – καὶ δύο βραχειῶν ⏑⏑ καὶ μακρᾶς – ἑξάχρονος, οἷον Εὐφορίων.*

9. *ἀντίσπαστος ἐκ βραχείας ⏑ καὶ δύο μακρῶν = καὶ βραχείας ⏑ ἑξάχρονός, οἷον Ἀλέξανδρος.*

10. *διΐαμβος ἐκ βραχείας ⏑ καὶ μακρᾶς – καὶ βραχείας ⏑ καὶ μακρᾶς – ἑξάχρονος, οἷον Ἀνακρέων.*

11. *διτρόχαιος ἐκ μακρᾶς – καὶ βραχείας ⏑ καὶ μακρᾶς – καὶ βραχείας ⏑ ἑξάχρονος, οἷον Ἀρχέδημος.*

12. *ἐπίτριτος πρῶτος ἐκ βραχείας καὶ μακρῶν τριῶν ≡ ἑπτάχρονος, οἷον Ἀριστείδης.*

13. *ἐπίτριτος δεύτερος ἐκ μακρᾶς – καὶ βραχείας ⏑ καὶ δύο μακρῶν = ἑπτάχρονος, οἷον Εὐρυμήδης.*

14. *ἐπίτριτος τρίτος ἐκ δύο μακρῶν = καὶ βραχείας ⏑ καὶ μακρᾶς – ἑπτάχρονος, οἷον Δημοσθένης.*

15. *ἐπίτριτος τέταρτος ἐκ τριῶν μακρῶν ≡ καὶ βραχείας ⏑ ἑπτάχρονος, οἷον Καλλίξεινος.*

16. *δισπόνδειος ἐκ τεσσάρων μακρῶν = = ὀκτάχρονος, οἷον Ἡρακλείδης.*

## Cap. II.

*Ἐγράφη ἐκ παλαιοῦ βιβλίου περιέχοντος τὴν γραμματικὴν Διονυσίου.*

### *Περὶ τοῦ ἰαμβικοῦ μέτρου.*

1. *Τὸ ἰαμβικὸν μέτρον ἔστι μὲν ἑξάμετρον καὶ αὐτό, διαιρεῖται ⟨δὲ⟩ εἰς δύο. Τὸ μὲν γὰρ αὐτοῦ*

20 ad hoc cap. (AV 153) cf. imprimis schol.[B] p. 280—82, app. rhet. p. 342, Ps. Heph. § 6 et p. 105. An. Chis. § 4. idem in permultis codd. inest; Tzetzae nom. insignit. in cod. Vind. Theol. graec. 287 fol. 28 ‖ 23—24 *καὶ αὐτὸ*] cf. app. rh. 342, 13, ubi praecedit dactylicum; LdM p. 12

4 *οἷον ἀήττητος* Ps. Heph. ‖ 8 *ἀρχεμηδος M* ‖ 20 init. 309, 20—310, 22 ex cod. Saibant. (Bodl. Auct. T IV 9; cf. MRh 36, 282 sqq.) edidi, reliqua *cap. II*—V ex *P* (Parisino 2881; AV 153)

καλεῖται κωμικόν τε καὶ τραγικόν, ᾧ καὶ τῶν παλαιῶν οἱ πολλοὶ κατεχρήσαντο· δέχεται δὲ τοῦτο ἐν μὲν τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ βάσει πόδας πέντε, λέγω δὴ δάκτυλον, σπονδεῖον, χορεῖον, ἀνάπαιστον καὶ τὸν ὁμώνυμον ἴαμβον, ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ τοὺς ἀπὸ βραχείας ἀρχομένους, τουτέστιν ἀνάπαιστον, χορεῖον καὶ ἴαμβον, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον· δεῖ γὰρ αὐτὴν πάντως εἶναι δισύλλαβον καὶ τὴν πρὸ τέλους εἶναι βραχεῖαν. Τὸ δὲ ἕτερον τοῦ ἰαμβικοῦ μέτρου μέρος καλεῖται καθαρόν τε καὶ τρίμετρον· τούτῳ δὲ ὀλίγοι τῶν ἀρχαίων ἐχρήσαντο. δέχεται δὲ ἐν μὲν τῇ πρώτῃ βάσει ἴαμβον καὶ σπονδεῖον, ἐν δὲ τῇ δευτέρᾳ ἴαμβον μόνον, ἐν δὲ τῇ τρίτῃ ἴαμβον καὶ σπονδεῖον κατὰ μίμησιν τῆς πρώτης, ἐν δὲ τῇ τετάρτῃ μόνον ἴαμβον κατὰ μίμησιν τῆς δευτέρας, ἐν δὲ τῇ πέμπτῃ πάλιν τὰ τοῦ πρώτου, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον.

Τινὲς δὲ διαιροῦσιν εἰς δύο τοῦ ἰάμβου τὰς χώρας καὶ τὰς μὲν περιττάς, τὰς δὲ ἀρτίους καλοῦσιν· καὶ περιττὰς μὲν ὀνομάζουσι τὴν πρώτην, τὴν τρίτην, τὴν πέμπτην, ἀρτίους δὲ τὴν δευτέραν, τὴν τετάρτην, τὴν ἕκτην.

2. Ἴαμβος δὲ ἐκλήθη τὸ μέτρον, ἐπείπερ οἱ ὑβρίζοντές τινας καὶ λοιδορεῖν βουλόμενοι τούτῳ ἐχρῶντο τῷ μέτρῳ· ἰαμβίζειν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ὑβρίζειν. ⟨ἢ⟩ παρὰ τὸ ἰὸν βάζειν, ὅπερ ἐστὶν ἰοῦ καὶ πικρίας ἀνάμεστα ῥήματα λέγειν· ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα ἀγχόνῃ κατέλυσε τὸν βίον, ὅπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς Ἀρχιλόχου ⟨πεπόνθασι⟩ ποιήμασι. διὰ τοῦτό φασι

28 Eustath. ad λ 278 p. 1684,46; ὡς τὸ τοῦ Ἀρχιλόχου δηλοῖ ποίημα, ὅπερ Λυκαμβίδες καλεῖται cod. Pal. 356 (s. XIV) fol. 163$^{v}$

9 εἶναι] ἔχειν Chis. § 12 || 21 ab λοιδ. β. incip. P || 24 ἢ ex Helia AV 171 add., om. P || 28 πεπόνθασι Helias, om. P | φασι scripsi ex schol.$^{B}$, γὰρ P

*συντεθῆναι τὸν ἴαμβον ἐκ βραχείας καὶ μακρᾶς, διὰ τὸ τὴν ὕβριν ἀπὸ βραχείας ἀρχομένην αἰτίας εἰς μέγα καταλήγειν κακόν. μαρτυρεῖ δὲ τῷ λεγομένῳ Ὅμηρος ὁ σοφώτατος* (*Δ* 442 sq.)

*ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται· αὐτὰρ ἔπειτα*
*οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.*

*τοῦτο δὲ τὸ μέτρον οὐκ εἶπε Διονύσιος, ἀλλ' ἡμεῖς διὰ τὴν τῶν νέων ὠφέλειαν προσεθήκαμεν.*

---

## *Ἑτέρως περὶ τοῦ ἰαμβικοῦ μέτρου.*

3. *Πόδες ἰαμβικοῦ μέτρου ἕξ· ἴαμβος, χορεῖος, σπονδεῖος, δάκτυλος, ἀνάπαιστος, πυρρίχιος.*

4. *Μετρεῖται δὲ ὁ ἴαμβος κατὰ διποδίαν, ὅθεν καὶ τρίμετρος λέγεται. δέχεται δέ τοι πόδας ἐν ταῖς περιτταῖς χώραις, ἤγουν πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ, [δέχεται δὲ] πάντας ἀδιαφόρως χωρὶς τοῦ πυρριχίου· ἐν δὲ ταῖς ἀρτίαις, ἤγουν δευτέρᾳ καὶ τετάρτῃ, τοὺς ἀπὸ βραχείας ἀρχομένους καὶ μόνον, χωρὶς τοῦ πυρριχίου· ἐν δὲ τῇ ἕκτῃ χώρᾳ δέχεται πυρρίχιον ἢ ἴαμβον διὰ τὴν ἀδιαφορίαν.*

---

## *Περὶ χαρακτήρων τοῦ ἰαμβικοῦ.*

5. *Τοῦ δὲ ἰαμβικοῦ μέτρου χαρακτῆρές εἰσι τέσσαρες, οἷον τραγικός, κωμικός, σατυρικός, ἰαμβικός.*

*Ἴδιον δὲ τραγικοῦ τὸ ἐκ σπονδείων καὶ ἰάμβων συγκεῖσθαι, ἐνίοτε δὲ καὶ ἐξ ἑνὸς τρισυλλάβου, οἷον*

*ἥκω Διὸς παῖς τήνδε Θηβαίαν χθόνα*
*Διόνυσος, ὃν τίκτει ποθ' ἡ Κάδμου κόρη* (Eur. Bacch. 1).

7 cf. LdM 6 || 21 An. Chis. p. 26

13 *τοι* Ps. Heph., *τοὺς P*; debebat scribere *δισυλλάβους* || 13—14 *περιτταῖς*] *τρεῖς P* || 15 *δ. δ.* om. Ps. Heph. || 16 *ἀρτίοις P*

ἴδιον δὲ κωμικοῦ τὸ ἐκ τρισυλλάβων ὡς ἐπὶ τὸ πλεῖστον συγκεῖσθαι, οἷον

⟨καὶ⟩ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν
(Arist. Ran. 101).

ἴδιον δὲ σατυρικοῦ τὸ μέσον τοῦ τραγικοῦ καὶ κωμικοῦ, οἷον (Eur. Bacch. 1051)

ἦν δ' ἄγκος ὑψίκρημνον ὄρεσι περίδρομον.

ἴδιον δὲ ἰαμβικοῦ τὸ ἐκ δύο συλλαβῶν συγκεῖσθαι καὶ εἰ δυνατὸν ἐξ ἰάμβων, οἷον (Archil. 94)

πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε.

## Cap. III.

### Περὶ τοῦ ἡρωϊκοῦ μέτρου.

1. Τὸ ἡρωϊκὸν μέτρον ἑξάμετρόν ἐστιν· ἓξ γὰρ χώρας ἔχει· τὰς μὲν οὖν πέντε συγκειμένας ἔχει ἔκ τε δακτύλου καὶ σπονδείου, ἐνίοτε δὲ καὶ παλιμβάκχειον καὶ ἀμφίμακρον ἐπιδέχεται, καθαροὺς μέντοι ⟨καὶ⟩ ἐν τάξει δακτύλου κειμένους. καθαροὶ δέ εἰσιν, ὅταν ἀπαρτίζωσιν εἰς μέρος λόγου καὶ τὴν ἐπιφερομένην συλλαβὴν ἀρχομένην ἔχωσιν ἀπὸ φωνήεντος, οἷόν ἐστι παλιμβάκχειος, ὡς τὸ (α 2)

πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν.

ἀπήρτισται γὰρ εἰς μέρος λόγου τὸ πλάγχθη καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ φωνήεντος τοῦ ε̄. ἀμφίμακρος δέ, ὡς τὸ (Γ 164)

οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν.

12 AV 155. Ps. Plut. VII 465 et ed. Stud. in Philol. 46 p. 27 sqq. Ps. Heph. § 4ᵃ. 21ᵃ

3 καὶ addidi ex schol.ᴮ, ἢ add. Stud. ex Aristoph. ‖ 7 ἡ δαγεκὸς *P*, ἦν δ' ἄγκος Eur. | ὄρεσι περίδρομον *P* et schol.ᴮ, ὕδασι διάβροχον Eur. et Chis. p. 26 ‖ 8 καὶ Saib., om. *P* ‖ 16 καὶ *schol.ᴮ 282, 21* ‖ 20 παλιμβάκχειον P; cf. Ps. Heph. § 4ᵃ. 21ᵃ

εἰς γὰρ μέρος λόγου ἀπήρτισται ἡ μοι συλλαβὴ καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ τῆς αι διφθόγγου.

Ἡ δὲ ἕκτη χώρα σπονδεῖον δέχεται καὶ τροχαῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή.

2. Ἡρωϊκὸν δὲ καλεῖται τὸ μέτρον, ἐπείπερ Ὅμηρος ὁ ποιητὴς τὰς τῶν ἡρώων πράξεις διεξιὼν τούτῳ κέχρηται τῷ μέτρῳ.

---

## Ἑτέρως περὶ τοῦ ἡρωϊκοῦ μέτρου.

3. Χρὴ γινώσκειν, ὅτι ὁ παλιμβάκχειος εἰς τὴν δευτέραν συλλαβὴν θεραπεύεται, ἵνα λήγῃ εἰς φωνῆεν καὶ εἰς τέλειον μέρος λόγου καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ φωνήεντος, οἷον (α 2)

πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν.

ὁ δὲ ἀμφίμακρος <κατὰ τὴν τρίτην>, ἵνα λήγῃ εἰς φωνῆεν καὶ εἰς τέλειον μέρος λόγου καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ φωνήεντος, οἷον (Γ 164)

οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν.

---

## Περὶ τοῦ ἔπους.

4. Τοῦ δὲ ἔπους εἰσὶ πόδες πέντε· δάκτυλος, σπονδεῖος, ἀμφίμακρος, παλιμβάκχειος, τροχαῖος. δεῖ τοίνυν τὸν ἀμφίμακρον εἰς μέρος λόγου καὶ εἰς φωνῆεν καταλήγειν, τήν τε μετ' αὐτὸν συλλαβὴν ἀπὸ φωνήεντος ἔχειν ἀρχομένην· τὸν δὲ παλιμβάκχειον δεῖ τὴν δευτέραν αὐτοῦ συλλαβὴν φυλάττειν τὸ ἰδίωμα τῆς τοῦ ἀμφιμάκρου τρίτης, τὸ εἰς μέρος λόγου καταλήγειν, καὶ καθαρεύειν.

10 schol. in Dion. Thr. 211, 14—20

15 κατὰ vel εἰς τὴν τρίτην add. ex schol.[B] ‖ 16 ἢ] ὁ P

In app. Monac. (cod. Vind. Theol. gr. 287 fol. 12ᵛ—13ᵛ et magis corrupta in Monac. 310 fol. 1) praeterea haec tradita sunt:

*Περὶ τοῦ ἡρωϊκοῦ.*

*Τὸ ἡρωϊκὸν μέτρον καλεῖται μὲν ἔπος, διαιρεῖται δὲ εἰς πόδας ἕξ, ὧν ὁ τελευταῖός ἐστι δισύλλαβος, οἱ δὲ λοιποὶ ἀδιάφοροι. ποσότητι μὲν οὖν ἐπιδέχεται πόδας ἕξ, ποιότητι δὲ δύο, σπονδεῖον καὶ δάκτυλον. καὶ διαιρεῖται μὲν εἰς τομὰς καὶ σχήματα. σχήματα μὲν οὖν ἐπῶν λβʹ, δεκασχημάτιστα δύο, πενταοχημάτιστα δύο, μονοσχημάτιστον ἕν· δεκασχημάτιστον μὲν οὖν ἔπος λέγεται τὸ ἔχον τρεῖς δακτύλους, πενταοχημάτιστον δὲ ἔπος ἐστὶν τὸ ἔχον τέσσαρας δακτύλους καὶ ἕνα σπονδεῖον ἢ τὸ ἀνάπαλιν, μονοσχημάτιστον δέ ἐστι τὸ ἔχον ὅλους δακτύλους ἢ ὅλους σπονδείους.*

*Γένη μέτρων εἰσὶ δύο, μονοειδὲς καὶ ⟨μικτόν⟩· ποῖον μονοειδές ἐστι; τὸ ἐξ ἑνὸς εἴδους συγκείμενον· ποῖον δέ ἐστι τὸ μικτόν; τὸ ἐκ διαφόρων εἰδῶν συγκείμενον.*

*Εἴδη μέτρων ἐστὶν ἐννέα· ἰαμβικόν, τροχαϊκόν, δακτυλικόν, ἀναπαιστικόν, χοριαμβικόν, ἀντισπαστικόν, τὸ ἀπὸ μείζονος ἰωνικόν, τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν καὶ παιωνικόν.*

*Ἔθη μέτρων τρία· τριτομόριον, ἡμίεπες, βουκολικόν. τριτομόριόν ἐστιν, ὅταν ὁ δεύτερος ποὺς ἀπαρτίζηται εἰς μέρος λόγου, οἷον* (ο 63 alibi)

*Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο.*

*ἡμίεπες δέ, ὅταν ὁ τρίτος ποὺς ἀπαρτίζηται εἰς μέρος λόγου, οἷον* (ω 2)

*ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσίν.*

*βουκολικὸν δέ ἐστι, ὅταν ὁ τέταρτος ποὺς ἀπαρτίζηται εἰς μέρος λόγου, οἷον* (ω 1)

*Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο.*

*Εἴδη τομῶν δύο, τὸ κατὰ συζυγίαν καὶ τὸ κατὰ πόδα. κατὰ συζυγίαν μέν ἐστι* [*τινὰ* Vind.] *ἃ τέμνεται οἷον ⟨τὸ⟩ τροχαϊκόν· τοῦτο γὰρ ἐκ παντὸς τρόπου βούλεται τὴν συζυγίαν ἀπαρτίζειν εἰς μέρος λόγου, οἷον* (Eur. Or. 729)

*θᾶσσον ἤ μ' ἐχρῆν* (*μέχρι* codd.) *προβαίνων.*

*κατὰ δὲ πόδα οἷον τὸ ἡρωϊκόν.*

## Cap. IV.

### *Περὶ τοῦ ἐλεγειακοῦ μέτρου.*

1. *Τὸ ἐλεγειακὸν μέτρον πεντάμετρόν ἐστι· πέντε γὰρ χώρας ἐπιδέχεται· τὰς μὲν οὖν τρεῖς συγκειμένας ἔχει ἀπὸ δακτύλου καὶ σπονδείου· ἐνίοτε δὲ καὶ ἀμφίμακρον καὶ παλιμβάκχειον δέχεται ἡ πρώτη καὶ δευτέρα χώρα, καθαροὺς μέντοι καὶ ἐν τάξει δακτύλου κειμένους. καθαροὶ δέ εἰσιν, ὅταν ἀπαρτίζωνται εἰς μέρος λόγου καὶ ⟨εἰς⟩ φωνῆεν ἢ εἰς συλλαβὴν καθαρὰν λήγωσιν καὶ τὴν ἑξῆς ἔχωσιν ἀπὸ φωνήεντος ἀρχομένην, οἷον ἐπὶ μὲν τοῦ ἀμφιμάκρου, ὡς τὸ*

*οὔ τί μοι αἰτίη ἐσσί* (*Γ* 164)·

*ἐπὶ δὲ τοῦ παλιμβακχείου, ὡς τὸ*

*πλάγχθη, ἐπεὶ Τροίης* (*α* 2).

*Ἡ δὲ τρίτη χώρα σπονδεῖον μόνον δέχεται, ἡ δὲ τετάρτη ἀνάπαιστον, ἡ δὲ πέμπτη ἀνάπαιστον καὶ χορεῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία τοῦ στίχου συλλαβή.*

2. *Ἔστι δὲ καὶ οὕτω μετρῆσαι· τὸν πρῶτον καὶ τὸν δεύτερον πόδα χρὴ δάκτυλον ἢ σπονδεῖον ἐπιζητεῖν ἤ, καθὼς προείρηται, ἀμφίμακρον ἢ παλιμβάκχειον, θεραπευομένους καὶ καθαρούς, ἐν τάξει δακτύλου κειμένους· καὶ μετὰ τὸν ἀπαρτισμὸν τῶν δύο τούτων ποδῶν χρὴ συλλαβὴν μακρὰν ἐπιζητεῖν ἀπαρτιζομένην εἰς μέρος λόγου· καὶ μετὰ τὴν συλλαβὴν ἄλλους ⟨δύο πόδας ἀπὸ δακτύλου μόνου κειμένους,*

2 AV 156. Ps. Heph. § 7b. 23 et p. 103. An. Chis. § 6

2 *ἐλεγιακοῦ P* et sic deinceps ‖ 10 *λήγουσαν P* | *ἔχουσιν P* ‖ 18 *τοῦ στίχου* etiam ap. Ps. Heph. (ter) et An. Chis. 6 ‖ 26—316, 1 *δύο — δύο* add. ex Ps. Heph., An. Chis. aliis

καὶ μετὰ τούτους τοὺς δύο⟩ πόδας ἐπιζητεῖν χρὴ καὶ συλλαβὴν αὖθις εἰς τὸ πέρας τοῦ ἐλεγειακοῦ στίχου, ἢ μακρὰν ἢ βραχεῖαν. καθὼς γὰρ εἴρηται, ἐπὶ παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία τοῦ στίχου συλλαβή.

---

### Ἑτέρως περὶ τοῦ ἐλεγειακοῦ μέτρου.

3. Τὸ ἐλεγειακὸν μέτρον συνίσταται τοῦτον τὸν τρόπον· ἔστι στίχος τεμνόμενος εἰς δύο πενθημιμερῆ, οἷον

Νήϊδες οἳ Μούσης οὐκ ἐγένοντο φίλοι (Callim. 488).

ἀλλὰ τὸ πρότερον πενθημιμερὲς συνέστηκεν ἐκ δύο ποδῶν καὶ συλλαβῆς μακρᾶς. ἤτοι ἔχει δύο σπονδείους ἢ δύο δακτύλους ἢ σπονδεῖον καὶ δάκτυλον, ἢ δάκτυλον καὶ σπονδεῖον· κινουμένους γὰρ ἔχει τοὺς πόδας. τὸ δὲ δεύτερον πενθημιμερὲς πάντως ἔχει τοὺς δακτύλους δύο καὶ τὴν τελευταίαν συλλαβὴν ἀδιάφορον. ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβὴ ὡς ἐπὶ τὸ πλεῖστον ὡς καὶ ἡ πρώτη.

## Cap. V.

### Περὶ τῶν Ἀνακρεοντείων.

1. Τὰ Ἀνακρεόντεια· ἐπιδέχονται αὐτῶν οἱ οἶκοι ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ μίαν περιττὴν συλλαβήν, οἷον

ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον.

6 schol.[B] 284, 8 ‖ 8 schol. in Dion. Thr. 307, 14—19 ‖ 20 AV 157. — schol.[B] XV. Ps. Heph. § 8[b]. 22[a]. An. Chis. 7[a]

8 πενθημιμερεῖς *P* ‖ 10 ἠνίδεω *P* ‖ 15 τοὺς om. alii codd. (*e. g. Par.* 1773) ‖ 18 ὡς ἐπὶ — πρώτη om. recte alii codd. (e. g. *Par. 1773*)

*τὸ δὲ τούτων κουκούλλιον γίνεται ἐξ ἐλάσσονος καὶ μείζονος, τουτέστιν ἀπὸ πυρριχίου καὶ σπονδείου, οἷον*

*ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας,*
*ἁγίων περσιδάμου κόσμον ἀεὶ ὤν.*

---

2. *Ἑτέρως περὶ τῶν Ἀνακρεοντείων. ἡ πρώτη χώρα δέχεται ἀνάπαιστον, ἡ δευτέρα ἴαμβον, ἡ τρίτη ἴαμβον, ἡ τετάρτη ἀδιάφορον· οἷον*

*ἀπὸ τῆς φίλης ἐρήμου.*

*καὶ τὸ κουκούλλιον αὐτοῦ, ἡ πρώτη καὶ τρίτη καὶ πέμπτη χώρα πυρρίχιον, ἡ δευτέρα δὲ καὶ τετάρτη καὶ ἕκτη σπονδεῖον, οἷον*

*Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.*

---

3. *Ἑτέρα μέθοδος τοῖς ἀνακρέουσιν ἀεὶ συναπτομένη· ὅπερ μέτρον ἀνακλώμενον καλεῖται. ὁ τοῖς ἀνακρέουσιν ἀεὶ συνταττόμενος [καὶ] ἀνακλώμενος, ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδὸς τὴν σύστασιν ἔχει. τομὴ δὲ αὐτοῦ ἐφθημιμερής. οὗτος γοῦν ἰωνικὸς ἀπ' ἐλάσσονος λέγεται τριποδιζόμενος, οἷον*

*ἀρετῆς ἔργα φέρει ἔμπονος ἥβη.*

*στίχος ἕτερος· καὶ οὗτος ὁ στίχος ἔσθ' ὅτε καὶ ἀπὸ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος, καὶ ἐν τῇ συμπληρώσει τὸν παίωνα τρίτον δεχόμενος, καθὰ τῷ ἁγίῳ Σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ, οἷον*

*Χριστιανῶν μακάρων ἔλθετε παῖδες.*

*ἐνταῦθα γὰρ ἡ μὲν πρώτη χώρα ἔχει χορίαμβον, ἡ δὲ δευτέρα ἰωνικὸν ἀπ' ἐλάσσονος καὶ ἡ τρίτη τὸν τρί-*

13 Ps. Heph. 22[b]. An. Chis. 7[b]

4 *κόσμου ἀΐων* schol.[B] ‖ 12 *κοῦρε* schol.[B], *κούρη* P ‖ 14 *ὅπερ*] *ὅτι* Ps. Heph. ‖ 15 *καὶ* om. An. Chis. et Ps. Heph.

τον παίωνα, ἐπειδὴ καὶ τρεῖς χώρας ἔχει τετρασυλλάβους· ἐὰν δὲ δισυλλάβους, ⟨ἕξ· δέχεται δὲ δισυλλάβους⟩ ἐν μὲν τῇ πρώτῃ χώρᾳ τροχαῖον, ⟨ἐν δὲ τῇ δευτέρᾳ ἴαμβον, ἐν δὲ τῇ τρίτῃ πυρρίχιον, ἐν δὲ τῇ τετάρτῃ σπονδεῖον, ἐν δὲ τῇ πέμπτῃ πάλιν πυρρίχιον, ἐν δὲ τῇ ἕκτῃ πάλιν τροχαῖον⟩.

## Cap. VI.

### Περὶ συνιζήσεως.

Συνίζησίς ἐστι σύλληψις δύο συλλαβῶν εἰς μίαν ἐν τῷ βαίνειν· δύο μακρῶν εἰς μίαν μακράν, δύο βραχειῶν εἰς μίαν μακράν, βραχείας καὶ μακρᾶς εἰς μίαν μακράν .......

1. Δύο μὲν μακρὰς εἰς μίαν ⟨μακράν⟩, ὡς ἐν τῷ
ἢ λάθετ' ἢ οὐκ ἐνόησεν (*I* 537),
ἢ οὐχ ἅλις ὅττι γυναῖκας (*E* 349).

2. Δύο βραχείας εἰς μίαν μακράν,
ῥέα μὲν γὰρ βριάει (Hes. op. 5),
Ἕκτορος ἀμφὶ νέκυϊ (*Ω* 108)
τοῦ ῑ ⟨καὶ τοῦ ῡ⟩ εἰς τὴν υ̅ι̅ δίφθογγον συναιρουμένων.

3. Καὶ βραχεῖαν καὶ μακρὰν εἰς ⟨μίαν⟩ μακρὰν
ὑμέων οἵπερ ἔασι (*H* 159),
τὸ ε̄ καὶ τὸ ῶ̄ εἰς μίαν μακράν.

8 AV 177. schol.[B] c. XVI. XVII. — inesse in capp. VI. VII doctrin. Heliodori (cf. p. 324, 8. 20) suspicati sunt Stud. et Lud. Voltz (Diss. Argtr. XI 14 sq.)

2 et 3—6 add. ex An. Chis. et Ps. Heph. ‖ 8 cap. VI—IX ed. ex *P* (Paris. 2881; inc. 319, 23) et *K* (Ven. Marc. 483; cf. AV 165 sqq.), perpaucis locis adiunxi cod. *E* (Laur. LVI 16; cf. AV 167) et *B* (Barb. I 4; cf. AV 168) ‖ 11 βραχεῖαν καὶ μακρὰν *K* ‖ 12 post μακρὰν lac. indicavi; cf. schol.[B] p. 286, 24 ‖ 19—20 συναιρουμένον codd. ‖ 22 δ' οἵ περ Homerus

4. *Μακρὰν δὲ καὶ βραχεῖαν τὸ ἐναντίον*
*δαέρων ⟨ἢ⟩ γαλόων* (*Ω* 769).
*ὅτι δὲ τὸ* $\bar{\alpha}$ *μακρόν ἐστι, δῆλον ἐκ τοῦ*
*δαὴρ αὖτ' ἐμός* (*Γ* 180),
*αὐτοκασίγνητον καὶ δαέρα* (*Ξ* 156).
*ὅτι δὲ τὸ*
*Ἕκτορ ἐμῷ θυμῷ δαέρων* (*Ω* 762)
*δύναται συνεστάλθαι τὸ* $\bar{\alpha}$, *κατὰ συνίζησιν δύναται καὶ κατὰ συστολήν, ὡς ἐπὶ τοῦ*
*οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴασεν Ἕκτωρ* (*Κ* 299)
*ἄλογος συστολὴ διὰ τὸ μέτρον· ὡς καὶ ἄλογος ἔκτασις ἐν τῷ*
*φίλε κασίγνητε* (*Δ* 155 = *Φ* 308)
*καὶ*
*ἀνέρες ἐστὲ φίλοι* (Ζ 112 alibi).
*ἐκτέταται γὰρ καὶ συνέσταλται*
*ὅς δέ κ' ἀνὴρ μενέχαρμος* (*Ξ* 376)
*καὶ*
*Ἆρες Ἄρες βροτολοιγέ* (*Ε* 31 = 455).

5. *Δύο δὲ βραχείας εἰς μίαν βραχεῖαν*
*ἀστέρι ὀπωρινῷ* (*Ε* 5),
*χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσεύς, ἠρᾶτο δ' Ἀθήνῃ* (*Κ* 277).

6. *Ἔστι δὲ καὶ ἄλλα εἴδη συνιζήσεως· βραχείας καὶ κοινῆς·*
*χρυσέῳ ἀνὰ σκήπτρῳ* (*Α* 15 = 374),
*δενδρέῳ ἐφεζόμενοι* (*Γ* 152).

22 cf. Eustath. ad *Α* 1 p. 12, 29, ad *Ε* 5 p. 514, 18 || 23 Eustath. ad *Κ* 277 p. 805, 19

1 *μακρᾶς* et *βραχείας* codd. || 2 *ἢ* etiam in schol.[B] deest || 4 *δ' αὖτ'* *K* || 8 *κατὰ συνίζησιν*] *καὶ συνίζησις* codd. || 21 *βραχεῖαι* *K* || 23 a verbo *ἤρατο* incipit P || 28 *ἐφεζόμενος* P

7. *Καὶ ὅταν δύο βραχείας φύσει εἰς μίαν κοινὴν δεχώμεθα*

*τρέε δ' Ἀΐδης ἐνέροισιν* (Hes. Th. 850).

*ἐπεὶ γὰρ ἐνταῦθα δίχρονον οὐκ ἔστιν, ἵνα μακρὰν ποιήσωμεν, ὡς ἐπὶ τοῦ*

*ῥέα μὲν γὰρ βριάει* (Hes. op. 5),

*ἀρκούμεθα τῇ τελευταίᾳ τῆς λέξεως συλλαβῇ κατὰ συνεκφώνησιν. ἡ γὰρ βραχεῖα λήγουσα εἰς μέρος λόγου ἀντὶ μακρᾶς παραλαμβάνεται. ἐὰν δὲ ὦσιν ἐν μέσῳ λέξεως αἱ δύο βραχεῖαι, ἀπαραμύθητον ἔσται·*

*πλέονές κε μνηστῆρες* (σ 247).

*οὐκέτι γὰρ δυνατὸν † ἐκκρῖναι, οὔτε τῶν φωνηέντων βραχέων ὄντων, οὔτε τῶν κειμένων ἕνι παραλαβεῖν, οὐ γὰρ τελικόν ἐστι· διὸ χωλὸν ἔμεινε. τὸ τοίνυν*

*ἠγίνεον ἀνὰ ἄστυ* (Σ 493)

*οὕτω διαιροῦμεν βαίνοντες ἠγίνον ἀνά· ὁ πρῶτος πούς ἐστι σπονδεῖος, ὁ δὲ δεύτερος δάκτυλος κοινὴν ἔχων τὴν πρώτην. οὐκ ἐδύνατο δὲ ὁ πρῶτος δάκτυλος εἶναι· ἀεὶ γὰρ ἐκτείνεται τὸ ῑ·*

*τῶν αἰεί σφιν ἕκαστος ἐπ' ἤματι μῆλον ἀγινεῖ* (ξ 105),

*τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες* (ρ 294).

*Ἐπὶ δὲ τοῦ*

*ἠρίθμεον, ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν* (κ 204)

*οὐ ποιοῦμεν συνίζησιν, οὐδὲ τὸν πρῶτον πόδα ποιοῦμεν σπονδεῖον, ὡς ἐπὶ τοῦ ἠγίνεον, ἀλλὰ κοινὴν τὴν*

4 *μακρὰν*] *μακρὸν P* ‖ 6 *ῥεῖα P* ‖ 8 *ἡ*] *εἰ P* ‖ 10 *ἔσται*] *ἐστι K* ‖ 12 *οὐκέτι γ. δ. ἐκτεῖναι, τῶν φ. β. ὁ., οὔτε ἀντὶ κοινῆς ἕνι* prop. Stud. | *γὰρ*] *οὖν E* | *οὔτε*] *ὅτι KE* ‖ 14 *τὸ τελικὸν P* ‖ 17 *ἐστι*] *ἢ P* ‖ 20 *αἰεὶ*] *ἐν γέ KP* ‖ 24 *ἄρχον* codd. ‖ 25 *πόδα*] *πόδα οὐ P*

δευτέραν συλλαβὴν διὰ τὸ ἄφωνον καὶ ἀμετάβολον ὡς καὶ παρὰ Θεοκρίτῳ (XIV 48)

ἄμμες δ' οὐδὲ λόγου τινὸς ἄξιοι οὐδ' ἀριθμητοί

ὁ πέμπτος ποὺς δάκτυλος.

8. Ἐνίοτε μέντοι βραχεῖαν καὶ θέσει μακρὰν συνεκφωνοῦμεν, ὡς τὸ (*N* 452)

Δευκαλίων δέ μ' ἔτικτε πολέεσσ' ἄνδρεσσι·

τὸν τέταρτον πόδα ποιοῦμεν σπονδεῖον· ἡ γὰρ τρίτη συλλαβὴ τοῦ πολέεσσ' ἐστὶ θέσει μακρά. ὅμοιον κἀκεῖνο (*ϑ* 550)

εἴπ' ὄνομ' ὅττι σε κεῖθι κάλεον μήτηρ τε πατήρ τε.

παρὰ δὲ Ἡσιόδῳ καὶ δύο συνεκφωνήσεις πολλάκις κατὰ τὸν στίχον εὑρίσκονται, ὡς ἐν ἐκείνῳ (Hes.Th.200)

ἠδὲ Φιλομηδέα, ὅτι μηδέων ἐξεφαάνθη,

ἢ καὶ παρ' Ὁμήρῳ τὸ ὅμοιον (*Λ* 282)

ἄφρεον δὲ στήθεα, ῥαίνοντο·

ὁ μὲν γὰρ πρῶτος ποὺς ὁμοίαν ἔχει τὴν συνεκφώνησιν τῷ (*ϑ* 550)

κάλεον μήτηρ τε,

ὁ δὲ τρίτος ὁμοίαν τῷ (*P* 461)

ῥέα μὲν γὰρ φεύγεσκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ.

9. Ὅτι διαφέρει ἡ συνίζησις τῆς συναλοιφῆς γενικῷ τρόπῳ, ὅτι ἡ συναλοιφή, ὡς γράφεται, καὶ λέγεται, ἡ δὲ συνίζησις ⟨οὐχ, ὡς γράφεται, καὶ λέγεται, ἀλλ'⟩ ἐν τῷ βαίνειν ὁμοῦ ὑπὲρ θεραπείας τοῦ μέτρου τὰς δύο συλλαβὰς κατὰ μίαν προφορὰν μόνον συναι-

26 Eustath. ad *Α* 1 p. 11, 27 sqq.

1 καὶ] καὶ τὸ *P* ‖ 3 ἄξιαι *K* | ἀριθμηταί codd. (*P* suprascr. οι) ‖ 5 βραχεῖαν καὶ] καὶ βραχεῖαν *P* ‖ 7 με τίκτε *P* ‖ 9 τοῦ] τὸ codd. ‖ 11 εἶπον ὁπότε (vel ὁππότε) τις κεῖθι codd. ‖ 12 ἐκφωνήσεις codd., *K* suprascr. συνιζήσεις ‖ 13 τὸν om. *P* ‖ 14 ἡ δὲ codd. ‖ 20 ὁμοίαν *E*, ὁμοίως *K*, ὅμοιος *P* ‖ 22 συναλιφῆς (semper) *P* ‖ 23 ὡς om. *P* ‖ 24 οὐχ — 25 ἀλλ' add. ex schol.[B]

*ροῦμεν. διὸ καὶ συνίζησις λέγεται· συνιζάνειν γὰρ λέγομεν τὸ ἔκ τινος μείζονος εἰς ἔλαττον συμπίπτειν. εἴρηται δὲ συνίζησις ἀπὸ τοῦ συμβαίνοντος περὶ τοὺς καθεζομένους, ἐπειδὴ οὗτοι καθεσθέντες συστέλλουσι τὸ μέγεθος.*

## Cap. VII.

### *Κατὰ πόσους τρόπους γίνεται χωλὰ τὰ ἔπη.*

*Γίνεται δὲ κατὰ ἓξ τρόπους τὰ ἔπη χωλά· ἤτοι κατὰ πλεονασμὸν ἢ κατ' ἔνδειαν.*

1. *ὅταν μὲν οὖν ἡ ἀρχὴ πλεονάσῃ, προκέφαλον καλεῖται, ὡς τὸ* (*δ* 682)

*ἢ εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο·*

*περριτὴ γὰρ ἡ πρώτη συλλαβή, ἧς ἀφαιρεθείσης σῶον γίνεται τὸ ἔπος.*

2. *ὅταν δὲ ἐνδεήσῃ, ἀκέφαλον, ὡς τὸ* (*Ψ* 2)

*ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο·*

*λείπει γὰρ τῷ πρώτῳ ποδὶ πρὸς τὴν σύστασιν τοῦ μέτρου χρόνος.*

3. *ὅσα δὲ ἐν τῷ μέσῳ πλεονάσῃ, † λαγαρὰ καλεῖται, ὡς τὸ* (*B* 544)

*θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσφιν·*

*ὑπερβαίνει γὰρ τὴν ὡρισμένην συμμετρίαν.*

5 hoc capite usus est Eustath. ad *E* 349 p. 554, 30—555, 11 ‖ 15 schol. ad *X* 379 (Dionys. Thr.; cf. Rauscher Diss. Argt. XI 64 ‖ 19 Eustath. ad Z 265 p. 641, 29

5 *τὰ μεγέθη P* ‖ 7 *ὅπως γίνεται τὰ ἔπη χωλά P* ‖ 8 *γίνονται οὖν τὰ ἔπη χωλὰ κατὰ τρόπους ἓξ P* ‖ 9 *κατ'* om. *KE* ‖ *12 ἢ* Homerus ‖ 13 *γὰρ*] *μὲν γὰρ P* ‖ 15 *ἐνδεὴς ἢ P* | *ἀκέφαλος codd.* ‖ *19 πλεονάσει K* | pro λαγαρὰ exspectes coll. schol.[B] *προκοίλια, id* quod hoc loco est in B

4. *τὰ δὲ ἔμπαλιν ἐνδέοντα καλεῖται σφηκοειδῆ*, *ὡς τὸ* (*κ* 60)

*βῆν εἰς Αἰόλου κλυτὰ δώματα·*

*χρήζει γὰρ ὁ δεύτερος ποὺς χρόνου.*

5. *τὰ δὲ πρὸς τῷ τέλει πλέον ἔχοντα τοῦ μέτρου δολιχόουρα καλεῖται, οἷον* (*ε* 231)

*λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυΐ.*

6. *τὰ δὲ ἐνδέοντα πάλιν μείουρα, ὡς τὸ* (*M* 208)

*Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.*

7. *Περὶ δὲ ἐκείνων καὶ τῶν ὁμοίων*

*Βορέης καὶ Ζέφυρος τώ τε Θρήκηθεν ἄητον* (*I* 5),

*πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισι* (*σ* 247)

*ζήτησις ἂν εἴη· ἔχουσι γὰρ τοὺς πρώτους πόδας τετραχρόνους ἰσοδυναμοῦντας τῷ δακτύλῳ, καὶ οὔτε ἀκεφάλους ἔστιν εἰπεῖν — οὐ γὰρ ἐλλείπει χρόνος — οὔτε προκεφάλους ἔστιν εἰπεῖν· οὐ γὰρ περιττεύει. χρὴ δὲ κατὰ λόγον ἀκεφάλους αὐτοὺς καλεῖν· κεφαλὴν γὰρ ἔπους καθόλου τὴν ἄρχουσαν μακρὰν χρὴ νομίζειν εἶναι. ἐὰν οὖν αὕτη τῆς οἰκείας χώρας ἐκπέσῃ καὶ ἀντ' αὐτῆς βραχεῖα τεθῇ, ἀκέφαλον ἐξ ἀνάγκης τὸ ἔπος γίνεται.*

*Ὅτι δὲ τῆς εὐφωνίας ὁ ποιητὴς μᾶλλον ἐφρόντιζε ἢ τοῦ μέτρου, δῆλον ἐκ τοῦ* (*M* 208)

*Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν·*

3 schol. ad *κ* 60 ‖ 8 Eustath. ad *M* 208 p. 900, 7

1 *δὲ* om. *K* ‖ 2 *τὸ* om. *K* ‖ 3 pro *βῆν* — 4 *χρόνου* solus B haec habet *αἰδοῖος τέ μοι ἐσσὶ φίλε ἑκυρὲ δεινός τε* (*Γ* 172)· *οἱ ἐν τῷ μέσῳ πόδες χρήζουσι τῶν χρόνων* ‖ 3 *κλυτὰ*] *κατὰ KPE*; idem schol.[B] ‖ 4 *ποὺς* Stud.; *τοῦ* codd. ‖ 6 *δολίχουρα P* ‖ 7 *δὲ* om. codd. excepto $P^2$ ‖ 9 *ὅπως*] *ἐπεὶ K* ‖ 12 *ἡμετέροισι K* ‖ 13 post *εἴη* add. schol.[B] *πότερον ἀκεφάλους χρὴ λέγεσθαι ἢ μή; | ζήτησις δ' ἂν εἴη εἰ ἔχουσι τοὺς* B ‖ 13 *πρώτους* om. *P* ‖ 15 *οὐ γὰρ*] *οὔτε P* ‖ 22 *ἐφρόντιζε* vel *ἐκήδετο* prop. Stud. (cf. schol.[B] 291, 2), *ἐγίνετο* codd.

*ἐδύνατο γὰρ εἰπεῖν*

Τρῶες δ' ἐρρίγησαν, ὅπως ὄφιν αἰόλον εἶδον.

τάχα δὲ καὶ τῆς τοῦ φ̄ δασέος ὄντος ᾔσθετο ὁ ποιητὴς ἐκφωνήσεως πλέον τι ἐχούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος, καὶ ἀρκεῖν ἡγήσατο τὸ πνεῦμα πρὸς ἀναπλήρωσιν τοῦ χρόνου. οὕτως καὶ ἐπὶ τοῦ

Ζεφυρίη πνείουσα (η 119)

τὸ αὐτὸ ἂν εἴη. Ἡλιοδώρῳ δὲ δοκεῖ ἐπὶ πολλῶν τῇ δασείᾳ πλέον τι νέμειν. ἔτι δὲ καὶ τὸ

ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο (ϑ 452)

ἀκέφαλον· τὸ

ἕως ἐγὼ περὶ κεῖνα πολὺν βίοτον ξυναγείρων (δ 90),

⟨καὶ⟩

ἕως ὁ ταῦϑ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ ϑυμόν (Α 193 al.)

γελοῖοι ἂν εἶεν οἱ τὴν μέσην μακρὰν προτάττοντες ἐν τῷ ποδίζειν, τὸ ἕως ὥες λέγοντες καὶ τὸ βορέης ἠσβορέ. εἰ δὲ δεῖ τέχνῃ βοηϑεῖν τῷ στίχῳ, προενεκτέον τὸν πρῶτον πόδα ω̄ς, ὡς συνιζήσεως γινομένης εἰς τὸ ω̄, κοινῆς οὔσης τῆς δευτέρας κατὰ τὸν τρίτον τρόπον τῆς κοινῆς. τὸ δὲ

ἕως ἐγὼ περὶ κεῖνα (δ 90)

ἀβοήϑητόν ἐστι καὶ τάττεται εἰς τὸν τῶν ἀκεφάλων τόπον· οὐ γὰρ ἐδύνατο βοηϑεῖσϑαι ὡς τὸ (Α 193 al.)

ἕως ὁ ταῦϑ' ὥρμαινε κατὰ φρένα,

3 Eustath. ad γ 230 p. 1465, 10 (Grossmann p. 11) ‖ 16 Eustath. ad Ε 349 p. 555, 5 ‖ 20 τρίτος τρόπος] Heliod. ap. Choer. 205, 12

1 ἠδύνατο *P* ‖ 2 ἴδον codd. ‖ 3 καὶ] ἐκ *K* ‖ 4 πλέον τι ἐχ. om. *K* ‖ 7 ζεφυρίην *KE*, ζεφυρείην *P* ‖ 8—9 τῇ δασείᾳ schol.[B] 291, 10, τὴν δασεῖαν codd. ‖ 9 νέμειν] μέλλειν *K* ‖ 11 καὶ ante τὸ inser. Hoersch. ‖ 12 κεῖνο *KP* ‖ 13 καὶ inser. Hoersch. 14 καὶ κ. ϑ. om. *P* ‖ 17 τὸ (pr. l.) om. *KP* ‖ 18 ἠσβορέ] ἠσφέρε *P* ‖ 19 ω̄ς ὡς *P*, ἕως ὡς *K*; cf. Eustath. ‖ 22 κεῖνο *K* ‖ 24 τόπον om. *P*

*ἐπεὶ οὐκ ἐξῆλθεν ἡ βραχεῖα εἰς μέρος λόγου* ⟨*ἐν τῷ*⟩

*ἕως ἐγὼ περί.*

*ὁμοίως καὶ τὸ*

*ἐπίτονος βέβλητο βοὸς ῥινοῖο τετευχώς* (*μ* 423),

*καθότι ἀντὶ μακρᾶς παρελήφθη ἡ πρώτη τοῦ ποδὸς συλλαβὴ βραχεῖα οὖσα, ἀκέφαλον χρὴ καλεῖν.*

## Cap. VIII.

### *Περὶ τῶν ἐν τοῖς στίχοις παθῶν.*

*Πάθη στίχων εἰσὶν ἕξ· ἀκέφαλος, προκέφαλος, προκοίλιος, λαγαρός, μείουρος, μακροσκελής.*

1. *ἀκέφαλος* (*Ψ* 2)·

*ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.*

*ἀκέφαλος εἴρηται, παρόσον οὐδέποτε στίχος ἐστὶν ἀπὸ βραχείας ἀρχόμενος.*

2. *προκέφαλος* (*E* 349)·

*ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις·*

*ἡ η̄ συλλαβὴ πλεονάζει ἐν τῷ μέτρῳ καὶ διὰ τοῦτο προκέφαλος.*

3. *προκοίλιος* (*Ω* 6)·

*Πατρόκλου ποθέων ἀνδροτῆτά* ⟨*τε*⟩ *καὶ μένος ἠΰ·*

*ἡ δρο συλλαβὴ ἐν τῷ μέσῳ τοῦ στίχου πλεονάζει καὶ ὥσπερ ἐπὶ τῶν προγαστόρων ὄγκον ἐντίθησιν· ὅθεν προκοίλιος εἴρηται.*

4 schol. ad *X* 379 ‖ 8 AV 184. — ad *παθῶν* doctrinam cf. c. IX et append. p. 347—50 ‖ 21 Eustath. ad *A* 1 p. 12, 34

1 *ἐν τῷ* add. Stud., cf. schol.[B] ‖ 2 *ὡς P* ‖ 4 *βέβληται* codd. ‖ 6 in fine add. *E τέλος σὺν θεῷ περὶ συνιζήσεως καὶ περὶ χωλαινόντων ἐπῶν* ‖ 9 *εἰσὶν* om. *P* ‖ 12 *οὖν* ante *νῆας* add. *K* ‖ 13 *δὲ* post *ἀκ.* add.? *K*[2] ‖ 16 *ἠ* Homerus ‖ *ὑπεροπεύεις P* ‖ 22 *ἐπὶ* om. *P*

4. *λαγαρὸς* (*Γ* 172)

*αἰδοῖός τέ μοι ἐσσί, φίλε ἑκυρέ, δεινός τε·*

*ἐνταῦθα οἱ δύο πόδες οἱ ἐν τῷ μέσῳ ἀπὸ βραχείας ἄρχονται καὶ συστέλλουσι τὴν θέσιν τοῦ μέτρου. λαγαρὸν δὲ τὸ ἐσφιγμένην ἔχον τὴν γαστέρα.*

5. *μείουρος* (*Μ* 208)·

*Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν·*

*ὁ ἐν τέλει πους ἀπὸ βραχείας ἤρξατο, ὅπερ μειοῖ τὸν πόδα τὸν ἐν τῇ οὐρᾷ· καὶ διὰ τοῦτο μείουρος·*

6. *μακροσκελής* (*ι* 347)·

*Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα·*

*ὁ ἐν τέλει πους τρισύλλαβος, ὅπερ ἀλλότριον στίχου, καὶ διὰ τοῦτο μακροσκελής, ὡς ὑπὲρ δύο συλλαβὰς ἔχων τὸν τελευταῖον πόδα.*

## Cap. IX.

### *Ἡρωδιανοῦ περὶ στίχων τῆς λέξεως.*

*Στίχος ἐστὶ συλλαβῶν καὶ λέξεων σύνθεσις, δηλωτικὸς συμμετρίας καὶ μεγέθους. εἴδη δὲ στίχων εἰσὶ δεκαδύο· ἰσόχρονος, ἀπηρτισμένος, ἀκέφαλος, λαγαρός, μείουρος, τραχύς, μαλακοειδής, κακόφωνος, λογοειδής, προκέφαλος, σφηκίας, δολιχοῦρος.*

1. *ἰσόχρονος μὲν οὖν ἐστιν ὁ καὶ τὰ μεγέθη*

11 cf. schol. (Herod.) ad *O* 187 (Herod. ed. Lentz II 93) ‖ 16 AV 185—188. — Ps. Plut. VII 468 (ed. Stud. in Philol. 46 p. 31)

3 *ἐν* om. *P* ‖ 4 fort. *σύνθεσιν* ‖ 7 *ὅπως*] *ἐπεὶ* *K* ‖ 9 *οὐ γὰρ μειοῦρος* (*μυοῦρος* *K*) add. *PK*; in ceteris huius generis comm. deest ‖ 14 *ἔχων ὑπ. δ. σ.* *K* ‖ 17 *στίχος ἐστι λέξεως δηλωτικῆς σύμμετρον μέγεθος* *P* ‖ 22 *τὰ* om. P

*τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ τοῦ πρώτου μέχρι τοῦ ἐσχάτου τοὺς αὐτοὺς ἔχων, οἷον* (*φ* 15)

*τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν.*

2. *ἀπηρτισμένος δὲ ὁ τὴν διάνοιαν ἔχων ἐν ἑαυτῷ πᾶσαν, οἷον* (*Η* 1)

*ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.*

3. *ἀκέφαλος δέ ἐστιν ὁ ἀπὸ βραχείας ἀρχόμενος, οἷον* (*Ψ* 2)

*ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.*

4. *λαγαρὸς δὲ ὁ κατὰ μέσην τὴν συμπλοκὴν τὴν σύνθεσιν μὴ σώζων, οἷον* (*Ξ* 1)

*Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.*

5. *μείουρος δὲ ὁ κατὰ τὸ τέλος τὴν σύνθεσιν μὴ σώζων, καὶ τὴν παρατέλευτον συλλαβὴν βραχεῖαν ἔχων, οἷον* (*Μ* 208)

*Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.*

6. *τραχὺς δέ ἐστιν ὁ τῷ ῥοίζῳ τὸν φθόγγον συνιστάς, ὡς τὸ* (*Γ* 363)

*τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.*

7. *μαλακοειδὴς* ⟨*δέ*⟩ *ἐστιν ὁ λείως ἐπιπίπτων ταῖς ἀκοαῖς καὶ μὴ βιαίως, οἷον* (*Ρ* 51)

*αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι.*

3 *ὁλοσπόνδειος* Eustath. ad *Λ* 130 p. 836, 17 sqq., cf. schol. (Aristonic.) ad *Λ* 130 ‖ 7 genera 3—5 et 10—12 sunt *πάθη* ‖ 9 cf. schol. ad *Ψ* 2 (Rauscher: Diss. Arg. XI 102, 72 sq.) ‖ 17 *τραχὺς*] schol. in Dion. Thr. 350, 11

1 *τῶν πρώτων* et 2 *τῶν ἐσχάτων* *P* ‖ 2 *τοὺς αὐτοὺς* om. *P* ‖ 4 *δὲ* *E*, om. *KP* | *ὁ τὴν*] *ὅτε* *P* ‖ 10 *συμπλοκὴν*] *συμφωνὴν ἔχων* *P*, *συμφωνίαν μὴ σώζων* (sic) *E*, *συμφωνίαν* app. rhet.; fort. *κατὰ μέσον* scrib. (*τ. σ.* deleto)? ‖ 11 *σύνθεσιν*] *θέσιν* *PE* ‖ 13 *σύνθεσιν* Ps. Heph. § 28[a] alii; *θέσιν* *KP* ‖ 17 *ὅταν ῥοῖζον τῶν φθόγγων* *P*; cf. schol.[B] 292, 16, *ὁ διὰ τὴν ἐπαλληλίαν τῶν συμφώνων τῷ φθόγγῳ τραχυνόμενος* cod. Vat. 915 ‖ 18 *τὸ* *K*[2], om. rell. ‖ 19 *διατριφθὲν* *K* | *κατέπεσε* *P* ‖ 20 *καὶ μὴ βιαίως* om. *P* schol.[B]; est in app. rhet.

8. *κακόφωνος* δέ ἐστιν ὁ πολλὰ φωνήεντα ἔχων, οἷον (λ 128)

φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ.

9. *λογοειδὴς* δέ ἐστιν ὁ πεζότερος τῇ συνθέσει, οἷον (Δ 680)

ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

10. *προκέφαλος* ⟨δέ⟩, οἷον (Ε 349)

ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις.

11. *σφηκίας* δέ, οἷον (Ι 537)

ἢ λάθετ' ἢ οὐκ ἐνόησεν, ἀάσατο δὲ μέγα θυμῷ.

12. *δολιχοῦρος* δέ, οἷον (Γ 237)

Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.

## Cap. X.

### Περὶ τομῶν.

1. Τομαί εἰσι τέσσαρες· πενθημιμερής, ἑφθημιμερής, κατὰ τρίτον τροχαῖον, τετραποδία βουκολική. καὶ

4 cf. schol. ad Ω 476 (Rauscher p. 68: ὡς Σέλευκος, ἔμμετρον λαλιὰν ἔχουσιν) ‖ 15—330, 12 AV 158 sq. — An. Chis. § 9. 8. Ps. Heph. § 15. Ps. Plut. VII 470. Hel. Mon. AV 172 § 2. An. Ambr. AV 215. — ceterum cf. de caesurarum doctrina, in enchiridio non explicata (sed cf. Choer. 229, 16), e. g. Ar. Quint. 33, 18—28. Mar. Vict. VI 64, 30. 114, 17. An. GL VI 240. 645. Ter. Maur. VI v. 1669 sqq. Diom. I 497, 4. Io. Sic. RhG VI 487, 8 sqq. (Ludwich: Aristarchs homer. Textkrit. II 357)

1 ὁ τὰ πολλὰ *P* ‖ 6 δὲ] τε *P* | ξανθοὺς *P* ‖ 7—11 ad 10. 11. 12 interciderunt explicationes; cf. Ps. Heph. § 28ᵃ προκέφαλος ... ὁ ἔχων πλέον τῆς τετραχρονίας ... σφηκίας ὁ ἐσφηκωμένος κατὰ τὸ μέσον ... δολιχόουρος ὁ δολιχὴν ὑπὲρ τὸ προσῆκον ἔχων τὴν οὐρὰν ἤγουν τὴν ἕκτην χώραν ... exempla sunt eadem atque hic ‖ 8 ἢ Homerus ‖ 9 οἷον *E*, om. *KP* ‖ 12 *K* add. τέλος τοῦ περὶ στίχων τῆς λέξεως ἡρωδιανοῦ (sic) ‖ 15 capp. X. XI ed. ex *P* (Paris. 2881) et *Q* (Ambros. Q 5 ord. sup.; cf. AV 152 sqq.) ‖ 16 ἑφθημ. — 17 καὶ om. *P*

*πενθημιμερὴς* δὲ λέγεται, ὅτι τῶν πέντε τὸ ἥμισυ ἔχει, τουτέστι δύο πόδας καὶ μίαν συλλαβήν, οἷον

Ἀτρείδη, ποῖον.

*ἑφθημιμερὴς* δὲ λέγεται, ὅταν μετὰ τοὺς τρεῖς πόδας εὑρεθῇ συλλαβὴ ἀπαρτίζουσα εἰς μέρος λόγου· καὶ λέγεται ἑφθημιμερής, ἐπειδὴ τῶν ἑπτὰ ⟨τὸ⟩ ἥμισυ ⟨ἔχει⟩, οἷον

Ἀτρείδη, ποῖόν σε ἔπος.

*κατὰ τρίτον* δὲ *τροχαῖον* λέγεται, ὅταν μετὰ τοὺς δύο πόδας εἰς μέρος λόγου τροχαῖος ἀπαρτίζῃ, οἷον

Ἀτρείδη, ποῖόν σε.

*τετραποδία* δὲ *βουκολικὴ* λέγεται, ὅταν ὦσι τέσσαρες πόδες πλήρεις ἀπαρτίζοντες εἰς μέρος λόγου, οἷον (*Δ* 350. *Ξ* 83)

Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν.

---

## Ἑτέρως περὶ τομῶν.

2. Τομαί εἰσι τοῦ στίχου πέντε· πενθημιμερής, ἑφθημιμερής, τρίτη τροχαϊκή, τετάρτη τροχαϊκή, καὶ πέμπτη βουκολική. *πενθημιμερής* ἐστιν, ὅταν μετὰ δύο πόδας εὑρεθῇ συλλαβὴ ἀπαρτίζουσα εἰς τέλειον μέρος [τοῦ] λόγου, οἷον (*Α* 1)

⟨μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος.

*ἑφθημιμερής* ἐστιν, ὅταν μετὰ τρεῖς πόδας εὑρεθῇ συλλαβὴ ἀπαρτίζουσα εἰς τέλειον μέρος λόγου, οἷον⟩ (*Α* 84 al.)

τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.

6 τὸ et 7 ἔχει add. ex Chis. ‖ 9 τροχαῖος PQ ‖ 21 τοῦ om. *Ps. Heph.* § 10 ‖ 22 μῆνιν — 24 οἷον add. ex Chis. et Ps. Heph.

τρίτη τροχαϊκή ἐστιν, ὅταν ὁ δεύτερος ποὺς εὑρεθῇ τροχαῖος καὶ ἀπαρτίζῃ εἰς τέλειον μέρος λόγου, οἷον (*Α* 3)

πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν.

τετάρτη τροχαϊκή ἐστιν, ὅταν ὁ τρίτος ποὺς εὑρεθῇ τροχαῖος εἰς τέλειον μέρος λόγου ἀπαρτίζων, οἷον (*Ζ* 6)

Τρώων ῥῆξε φάλαγγα, φόως δ' ἑτάροισιν ἔθηκεν.

πέμπτη βουκολική ἐστιν, ὅταν μετὰ τέσσαρας πόδας εὑρεθῇ συλλαβὴ ἀπαρτίζουσα εἰς τέλειον μέρος λόγου, οἷον (*Γ* 308)

Ζεὺς μέν που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι.

ἔστι δὲ καὶ ἑτέρα βουκολική, ᾗ οἱ τὰ βουκολικὰ συγγραψάμενοι ⟨κέχρηνται⟩.

## Cap. XI.

### Περὶ ποδῶν ἑρμηνεία.

Αἱ δύο συλλαβαί, μακρά τε καὶ βραχεῖα, ἀλλήλαις συμπλεκόμεναι τοὺς τέσσαρας δισυλλάβους ἀποτελοῦσι· πᾶν γὰρ διφυὲς ἑτέρῳ διφυεῖ συμπλεκόμενον τέσσαρα σχήματα ἀποτελεῖ, ὡς ἐν τῷ περὶ ὀνομάτων εἴπομεν. εἶτα πάλιν ἑκατέρα τούτων ἑκάστῳ τῶν δισυλλάβων προστιθεμένη ⟨ὀκτὼ καὶ ἑκάστῳ τῶν τρισυλλάβων προστιθεμένη⟩ ἑκκαίδεκα ποιεῖ. τῷ αὐτῷ λόγῳ οἱ ἑκκαίδεκα γίνονται λβ' καὶ οἱ τριακονταδύο ἑξηκοντα-

1—3 hoc genus insulse excogitatum perversoque exemplo illustratum in plerisque de caesuris commentar. (ut Ps. Plut.) deest, sed cf. An. Chis. § 8. Anon. GL VI 638, 6 || 15 schol.[B] p. 294, 18 sqq. et Ps. Heph. § 24

10 τοῦτο codd. || 11 ᾗ Chis. et Ps. Heph., οἷον *PQ* || 12 κέχρηνται additum ex Chis. et Ps. Heph. || 16 τεσσάρας δισυλλάβους Caes., τετρασυλλάβους codd. schol.[B] || 19 ἑκάστῳ Stadtmüller, ἑκάστῃ codd. || 20 ὀκτὼ — 21 προστιθεμένη inser. Stadtmüller

*τέσσαρες. οὔτε δὲ ἥττων δισυλλάβου δύναται εἶναι πούς ⟨ἁπλοῦς⟩ — σύνθεσις γάρ ἐστι συλλαβῶν — οὔτε μείζων ἑξασυλλάβου ὁ σύνθετος.*

## Cap. XII.

### *Διονυσίου περὶ ποδῶν.*

I. *Τὸ τῶν ποδῶν ἐπώνυμον τάσσεται μὲν ἐπὶ πολλῶν, γράφεται δὲ ἐπὶ ἀνθρώπων, καὶ ἐπὶ ἀλόγων ζώων καὶ ἐπὶ πηδαλίου νηός· καὶ ἐπὶ τοῦ ἁρμένου δὲ πόδια λέγεται· ὁμοίως καὶ ἐπὶ τῶν στίχων πόδες λέγονται.*

*Διὰ τί ἐκλήθησαν πόδες; διὰ τὸ τῆς κινήσεως εὔρυθμόν τε καὶ ἐναρμόνιον. ὥσπερ γὰρ οἱ τοῦ σώματος πόδες ἀλλήλοις ἀντικείμενοι τὴν πορείαν ἀπεργάζονται, οὕτω καὶ οὗτοι ἀλλήλων ἀντιταττόμενοι τὴν ὁδὸν τοῦ λόγου σχηματίζουσι, καὶ πάλιν τροπικώτερον βάσις προσαγορευόμενοι.*

*Ἰστέον γάρ, ὅτι τὸ μέτρον προῆλθεν ἐκ θεοῦ, καθὰ δείκνυσι μέτρῳ κοσμηθέντα τά τε οὐράνια καὶ ἐπίγεια· τὰ γὰρ περὶ Φημονόης λῆρος. κεκόσμηται*

5 in app. Monac. (cod. Leidens. Voss. 76; cf. Dion. Thr. XIX. XXIV 124) hic est titulus *ἄξιος αἰνεῖσθαι Διονύσιος ὃς τάδ' ἔγραψεν ἀνθρώποις ἐρατὴν δεικνύμενος σοφίην*; in An. Chis. (A V 207) *σχόλιον εἰς τὸ περὶ ποδῶν σύνθεμα*; cf. p. 334, 6. scholia esse ad pedum enumerationem p. 307—308, 12 perspexit Hoersch. LdM 23

1 *ἥττων*] *ἧττον* codd., idem p. 332, 8 | *δισυλλάβων* codd. ‖ 2 *ἁπλοῦς* inser. Hoersch. coll. p. 332, 9 ‖ 3 *ὁ* om. *Q* ‖ 5 cap. XII ed. ex *P* (Paris. 2881) et *T* (cod. Pii II 47 in bibl. Alexandrino-Vatic.; cf. A V 162 adn.) ‖ 7 *καὶ γράφεται* (om. *δὲ*) *T* ‖ 9 *ὁμ.* — 332, 6 om. app. Mon. ‖ 14 *ἀλλήλων*] *ἀλλήλοις* Egenolff \ ἂν παρατασσομένων *T* (i. e. *ἀντιπαρατασσ.*?) ‖ 17 τὸ] τοσούτω τὸ T ‖ 18 τά τε] *παρὰ τὰ T*

πᾶν μέτρῳ· καὶ πρόκειται πολὺ μᾶλλον ὁ λόγος ὡς πάντων ὑπάρχων περιεκτικός, καὶ πλειόνως ἐδεῖτο τοῦ κόσμου· καὶ πᾶς μὲν λόγος μέτρῳ κεκόσμηται, ἀλλ' ὁ μὲν ποιητικὸς αἰσθητῶς, ὁ δὲ πεζὸς νοητῶς. γίνεται δὲ τὸ μέτρον τοῦ λόγου τῶν συλλαβῶν εὐρύθμως ἀλλήλαις ἐπερχομένων, οὓς καὶ πόδας ὀνομάζομεν.

Ποὺς τοίνυν ἐστὶ μετρικὸν σύστημα συλλαβῶν. Ἰστέον δέ, ὅτι οὐδέποτε ἥττων δισυλλάβου δύναται εἶναι ποὺς ἁπλοῦς — σύνθεσις γάρ ἐστι συλλαβῶν — οὔτε δὲ μείζων ἑξασυλλάβου ὁ σύνθετος· οἱ γὰρ ἁπλοῖ τὴν τρισυλλαβίαν οὐχ ὑπερβαίνουσι.

II. Πόδες εἰσὶν ἁπλοῖ μὲν ιβ'.

1. Διὰ τί ἐκλήθη σπονδεῖος; ὡς πλείονας ἔχων χρόνους, ἐπειδὴ καὶ ἡμεῖς σπένδοντες τῷ θεῷ πολυχρονιότητος εὐχόμεθα· ἐν γὰρ ταῖς σπονδαῖς τῶν θεῶν εἰώθασιν οἱ παλαιοὶ τούτῳ τῷ μέτρῳ λέγειν τὰς ᾠδάς.

2. Διὰ τί ἐκλήθη πυρρίχιος; ὅτι συντομωτάτους ἔχει τοὺς χρόνους· πυρρίχη γὰρ καλεῖται ἡ μεθ' ὅπλων σύντομος κίνησις. ἢ διὰ τοῦτο καλεῖται πυρρίχιος, ἐπειδὴ ὁ Πύρρος πρῶτος ἐκ τοῦ δουρείου ἵππου ἐπήδησε, καὶ ἐπὶ τῇ νίκῃ ὕμνος αὐτᾷ ἐτέθη τοιοῦτον μέτρον ἔχων. ἔστι δὲ ⟨καὶ πυρρίχη⟩ εἶδος ὀρχήσεως ἐμμέτρου.

3. Διὰ τί ἐκλήθη τροχαῖος; ἀπὸ μεταφορᾶς τῶν ἐξ ὕψους εἰς ταπεινὸν ἠκουσῶν ⟨πετρῶν⟩, αἵτινες καὶ τρέχειν τὸν βαδίζοντα παρασκευάζουσιν. ἢ διὰ τὸ τοὺς περιτρέχοντας τοὺς βωμοὺς τοιούτῳ μέτρῳ ᾄδειν.

1 πρόσκειται *T* | ὡς] ὃς Hoersch. ‖ 4 αἰσθητὸς et νοητὸς *T* ‖ 7 app. Mon. pro ἰστέον—ὑπερβ. add. ὁ μὲν ἁπλοῦς δύο ἢ τριῶν, ὁ δὲ σύνθετος ἀπὸ τεσσάρων μέχρις ἕξ = p. 307, 3—5 ‖ 8 ἧττον codd. | δύναται—10 ἑξασ. ὁ *T*, om. *P* ‖ 11 τρισυλλαβίαν Hoersch., δισυλλαβίαν codd. ‖ 12 om. *P* ‖ 18 τοὺς om. *P* | πυρρίχη scripsi, πυρρίχιον codd. ‖ 21 τῇ νίκῃ app. Mon. et Chis., τὴν νίκην codd. ‖ 22 ἔχων om. *T* | καὶ πυρρίχη add. app. Mon. Chis. ‖ 24 πετρῶν add. Stud.

4. *Διὰ τί ἐκλήθη ἴαμβος;* ὅτι ἐν διπλασίονι λόγος ἐστίν. οἱ δὲ φασίν, ὅτι ἀπὸ Ἰάμβης, τῆς Κελεοῦ θεραπαίνης, ὅτι ἡ Δημήτηρ περίλυπος οὖσα ἐπὶ τῇ ἁρπαγῇ τῆς Κόρης παρεξενώθη τινὶ ὀνόματι Κελεῷ ⟨καὶ⟩ Μετανείρῃ τῇ γαμετῇ αὐτοῦ ἐν τῇ Ἀττικῇ· καὶ τούτων ἡ θεράπαινα Ἰάμβη λεγομένη παρεμυθεῖτο τὴν Δήμητραν ὀρχουμένη ἐν τοιούτῳ μέτρῳ.

Τρισύλλαβοι δὲ η'.

5. *Διὰ τί ἐκλήθη δάκτυλος;* ἀπὸ μεταφορᾶς τῶν ἁρμογῶν τῶν δακτύλων· ἀπὸ γὰρ τῆς μείζονος ἐπὶ τὰς ἐλάττους ἁρμογὰς ὁ τύπος ἐστί.

6. *Διὰ τί ἐκλήθη ἀνάπαιστος;* διὰ τὸ ἀνάπαλιν τοῦ δακτύλου ἀντιστρέφεσθαι.

7. *Διὰ τί ἐκλήθη ἀμφίμακρος;* ὅτι ἑκατέρωθεν ἔχει μακρὰν καὶ διὰ μέσου βραχεῖαν.

8. *Διὰ τί ἐκλήθη ἀμφίβραχυς;* ὅτι ἑκατέρωθεν τῆς μακρᾶς ἔχει βραχεῖαν.

9. *Διὰ τί ἐκλήθη βακχεῖος;* ἐπειδὴ οἱ ὕμνοι τῶν διθυραμβοποιῶν πρὸς Διόνυσον ἐπὶ τὸ πλεῖστον ἐκ τούτου τοῦ μέτρου εἰσίν.

10. *Διὰ τί ἐκλήθη παλιμβάκχειος;* διὰ τὸ ἀνάπαλιν τοῦ βακχείου τρέχειν.

11. *Διὰ τί ἐκλήθη χορεῖος;* ὅτι ἐν χορείαις τοιοῦτον μέτρον ἐστίν.

3 Eustath. ad λ 277 p. 1684, 46 sqq.

1 *ἐν διπλασίονι* scripsi coll. Chis. p. 207, 3, *ἐνδιπλάσιος* codd. ‖ 5 *μετανίρης τῆς γαμετῆς P* ‖ 6 *παρεμύθησε P* ‖ 7 *μέτρω* et 8 om. *P* ‖ 10 *τῶν* om. *P* | *τῆς* Chis., *τοῦ* codd. ‖ 11 *τύπος* app. Mon., *τόπος* codd. ‖ 12 *διὰ τὸ P*, *ἀντὶ* (*ἀντὶς T*) *τοῦ ὁ πρὸς τὸ T* app. Mon. Chis. ‖ 13 *ἀντιστρέφεται T*, *ἀντιστρέφων* app. Mon. Chis. ‖ 15 *καὶ μέσον* app. Mon., *κ. τὴν μέσην* Chis. ‖ 20 *τοῦ* (om. Mon.) *τοιούτου μ.* app. Mon. Chis. ‖ 21 *διὰ*] *ὅτι οὐδ' εἷς T*, *ὁ* (*ὡς* Mon.) *πρὸς* app. Mon. Chis., *ὅτι ὅδε εἷς* Stadtmüller ‖ 22 *τρέχει T*, *τρέχων* app. Mon. Chis.

12. Διὰ τί ἐκλήθη μολοσσός; ἀπὸ Μολοσσοῦ, τοῦ υἱοῦ Πύρρου καὶ Ἀνδρομάχης· τὰς ᾠδὰς ⟨γὰρ⟩ λέγουσιν ἐν τοιούτῳ μέτρῳ ἐν τῷ ἱερῷ τῆς Δωδώνης περὶ τὴν Ἤπειρον πρὸς μνήμην Μολοσσοῦ· ἐκλήθη γὰρ ὕστερον Μολόσσεια.

Ἰστέον ὅτι τῶν τετρασυλλάβων μνείαν οἱ σχολιογράφοι ἑρμηνείας οὐκ ἐποίησαν.

6 σχολιογράφοι] cf. 331, 5 adn.

2 γὰρ add. app. Mon. Chis. || 4 ἐκλήθη γὰρ om. *P* || 5 μολύσσεια codd.

# APPENDIX RHETORICA

## I. E. SCHOL.[B] LIBRI V TERTIA RECENSIO RHETORUM CORPORI IN COD. PARIS. 1983 FOL. 3—4 INSERTA

## Cap. I.

### *Περὶ ποδῶν μετρικῶν.*

*Πούς ἐστι μετρικὸν σύστημα συλλαβῶν, ὁ μὲν ἁπλοῦς ἐκ δύο ἢ τριῶν, ὁ δὲ σύνθετος ἀπὸ τεσσάρων μέχρις ἕξ.*

*Πόδες εἰσὶν ἁπλοῖ μὲν δώδεκα, ὧν δισύλλαβοι μὲν τέσσαρες, τρισύλλαβοι δὲ ὀκτώ, τετρασύλλαβοι δὲ ἑκκαίδεκα.*

*οἱ δισύλλαβοι·*

1. *σπονδεῖος ἐκ δύο μακρῶν* = *τετράχρονος, οἷον ἥρως·*
2. *πυρρίχιος ἐκ δύο βραχειῶν* ◡◡ *δίχρονος, οἷον λόγος·*
3. *τροχαῖος ἐκ μακρᾶς* – *καὶ βραχείας* ◡ *τρίχρονος, οἷον Ζῆθος·*
4. *ἴαμβος ἐκ βραχείας* ◡ *καὶ μακρᾶς* – *τρίχρονος, οἷον Σόλων·*

*οἱ τρισύλλαβοι·*

1. *δάκτυλος ἐκ μακρᾶς* – *καὶ δύο βραχειῶν* ◡◡ *τετράχρονος, οἷον Ἥλιος·*
2. *ἀνάπαιστος ἐκ δύο βραχειῶν* ◡◡ *καὶ μακρᾶς* – *τετράχρονος οἷον Πολέμων·*

2 hanc totam append. ed. ex *B* (Paris. 1983, de quo cf. Stud. in Nov. annal. philol. 131 [1885] p. 753), nonnullis locis assumpto *K* (Ven.-Marc. 483 fol. 64—67; cf. A V 90. 166) | *K* in summo margine *ἐγράφη ἐκ παλαιοῦ τινος βιβλίου*; cf. app. Dion. p. 309, 20 ‖ 5 *μέχρις*] *ἢ* *B* ‖ 10 post σπονδεῖος add. B ᾱ et sic deinceps numeros pedum disyllaborum, trisyllabor. etc.

3. *ἀμφίμακρος ἐκ μακρᾶς – καὶ βραχείας ⏑ καὶ μακρᾶς – πεντάχρονος, οἷον Ἡγεμών·*

4. *ἀμφίβραχυς ἐκ βραχείας ⏑ καὶ μακρᾶς – καὶ βραχείας ⏑ τετράχρονος, οἷον Ὅμηρος·*

5. *βακχεῖος ἐκ βραχείας ⏑ καὶ δύο μακρῶν = πεντάχρονος, οἷον Νοήμων·*

6. *παλιμβάκχειος ἐκ δύο μακρῶν = καὶ βραχείας ⏑ πεντάχρονος, οἷον Ἥφαιστος·*

7. *χορεῖος ἐκ τριῶν βραχειῶν ⏑⏑⏑ τρίχρονος, οἷον Δόλιος·*

8. *μολοσσὸς ἐκ τριῶν μακρῶν ≡ ἑξάχρονος, οἷον Ἡρώδης.*

*οἱ τετρασύλλαβοι· ἰστέον δὲ ὅτι τούτοις οἱ μετρικοὶ οὐ χρῶνται, ἀλλ' οἱ καταλογάδην γράψαντες, Δημοσθένης, Γρηγόριος ὁ θεολόγος καὶ οἱ λοιποὶ ῥήτορες·*

1. *προκελευσματικὸς ἐκ τεσσάρων βραχειῶν ⏑ ⏑ ⏑ ⏑ τετράχρονος, οἷον φιλόσοφος·*

2. *παίων πρῶτος ἐκ μακρᾶς – καὶ τριῶν βραχειῶν ⏑⏑⏑ πεντάχρονος, οἷον Στησίχορος·*

3. *παίων δεύτερος ἐκ βραχείας ⏑ καὶ μακρᾶς – καὶ δύο βραχειῶν ⏑⏑ πεντάχρονος, οἷον Ὀνήσιμος·*

4. *παίων τρίτος ἐκ δύο βραχειῶν ⏑⏑ καὶ μακρᾶς – καὶ βραχείας ⏑ πεντάχρονος, οἷον Φιλόδημος·*

5. *παίων τέταρτος ἐκ τριῶν βραχειῶν ⏑⏑⏑ καὶ μακρᾶς – πεντάχρονος, οἷον Ἐπιγένης.*

6. *δισπόνδειος ἐκ τεσσάρων μακρῶν = = ὀκτάχρονος, οἷον Ἡρακλείδης·*

7. *διτρόχαιος ἐκ μακρᾶς – καὶ βραχείας ⏑ καὶ μακρᾶς – καὶ βραχείας ⏑ ἑξάχρονος, οἷον Παιδαγώρας·*

8. *διίαμβος ἐκ βραχείας ⏑ καὶ μακρᾶς – καὶ βραχείας ⏑ καὶ μακρᾶς – ἑξάχρονος, οἷον Ἀνακρέων.*

27 *διτροχαῖος B* ‖ 28 pro *Παιδαγώρας* prop. Hoersch. LdM 42 *Παιδαγωγός* quod est in cod. Laur. LVI 16

9. *χορίαμβος ἐκ μακρᾶς – καὶ δύο βραχειῶν ⏑⏑ καὶ μακρᾶς – ἑξάχρονος, οἷον Δημογέρων·*

10. *ἀντίσπαστος ἐκ βραχείας ⏑ καὶ δύο μακρῶν = καὶ βραχείας ⏑ ἑξάχρονος, οἷον Ἀρίσταρχος·*

11. *ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο μακρῶν = καὶ δύο βραχειῶν ⏑⏑ ἑξάχρονος, οἷον Δημηγόρος·*

12. *ἰωνικὸς ἀπ' ἐλάσσονος ἐκ δύο βραχειῶν ⏑⏑ καὶ δύο μακρῶν = ἑξάχρονος, οἷον Διομήδης·*

13. *ἐπίτριτος πρῶτος ἐκ βραχείας ⏑ καὶ τριῶν μακρῶν ≡ ἑπτάχρονος, οἷον Ἀριστείδης·*

14. *ἐπίτριτος δεύτερος ἐκ μακρᾶς – καὶ βραχείας ⏑ καὶ δύο μακρῶν = ἑπτάχρονος, οἷον Ἀρχιμήδης·*

15. *ἐπίτριτος τρίτος ἐκ δύο μακρῶν = καὶ βραχείας ⏑ καὶ μακρᾶς – ἑπτάχρονος, οἷον Δημοσθένης·*

16. *ἐπίτριτος τέταρτος ἐκ τριῶν μακρῶν ≡ καὶ βραχείας ⏑ ἑπτάχρονος, οἷον Καλλίστρατος.*

## Cap. II.

### *Περὶ τοῦ ἡρωϊκοῦ μέτρου.*

1. *Τὸ ἡρωϊκὸν μέτρον ἑξάμετρόν ἐστιν· ἓξ γὰρ χώρας ἔχει. τὰς μὲν οὖν πέντε συγκειμένας ἔκ τε δακτύλου καὶ σπονδείου· ἐνίοτε δὲ καὶ παλιμβάκχειον καὶ ἀμφίμακρον δέχεται, καθαροὺς μέντοι καὶ ἐν τάξει δακτύλου κειμένους· — καθαροὶ δέ εἰσιν, ὅταν ἀπαρτίζωνται εἰς μέρος λόγου καὶ τὴν ἐπιφερομένην συλλαβὴν ἔχωσιν ἀπὸ φωνήεντος ἀρχομένην· — οἷόν ἐστι τὸ*

*πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν* (α 2).

4 *Ἀρίσταρχος* schol. Pind. Ol. I p. 12, 10

1 *δύο* om. *B* ‖ 3 *ἀντίπαιστος* B ‖ 22 *δέχονται* B

ἀπήρτισται ·γὰρ εἰς μέρος λόγου τὸ πλάγχϑη καὶ ⟨ἡ ἑξῆς⟩ ἄρχεται ἀπὸ φωνήεντος τοῦ ε̄. ἀμφίμακρος δὲ ὡς τὸ

οὔ τί μοι αἰτίη ἐσσί, ϑεοί νύ μοι αἴτιοί εἰσιν (*Γ* 164).

εἰς γὰρ μέρος λόγου ἀπήρτισται ἡ μοι̅ συλλαβὴ καὶ ⟨ἡ⟩ ἑξῆς ἄρχεται ἀπὸ τῆς αι̅ διφϑόγγου. — Ἡ δὲ ἕκτη χώρα σπονδεῖον δέχεται, [ἐνίοτε δὲ] καὶ τροχαῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία [τοῦ ποδὸς] συλλαβή.

2. Ἡρωϊκὸν δέ ἐστιν, ᾧπερ Ὅμηρος ἐχρήσατο τὰς τῶν ἡρώων πράξεις διεξιών.

## Cap. III.

### Τούτου διαφοραὶ ἑπτά.

ᾱ. κατενόπλιον, ὅ ἐστι δύο δάκτυλοι καὶ σπονδεῖος (*A* 357)

ὡς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ.

β̄. περιοδικόν, ὅπερ ἐστὶ δάκτυλος καὶ σπονδεῖος (*A* 2)

οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔϑηκεν.

γ̄. Σαπφικόν, ὅ ἐστιν ἄρχον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον (*B* 1)

ἄλλοι μέν ῥα ϑεοί τε καὶ ἀνέρες ἱπποκορυσταί.

δ̄. βουκολικόν, ὅ ἐστι †τὸ μετὰ τρεῖς πόδας ἀπαρτίζον ⟨εἰς⟩ μέρος λόγου (*K* 475)

ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.

1—2 ἡ ἑξῆς inser. ex schol.[B] et app. Dion. ‖ 7 vv. ἐ. δ. et 9 τ. π. insulse addita om. schol.[B] app. Dion. ‖ 10 ὥ περ *K*, ὅπερ *B*, ἐπείπερ schol.[B] ‖ 14 litt. α. β. γ . . . ζ in *BK* scriptae post generum nomina ‖ 23 rectam huius generis formam in *cod. Par.* 2676 τὸ μὴ ἐν τῷ μετρεῖσϑαι λῆγον εἰς μ. λ. significav. *Hoersch.*; v. 351, 21

ε̄. ὑπόρρυθμον, ὅ ἐστι τὸ καθ' ἕκαστον πόδα ἀπαρτίζον ⟨εἰς⟩ μέρος λόγου (*Α* 214)

ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.

ς̄. τέλειον, ὅ ἐστι τὸ ἔχον ὅλα τὰ μέρη τοῦ λόγου (*Χ* 59)

πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον.

ζ̄. πολιτικόν, ὅ ἐστι τὸ ἄνευ πάθους ἢ τρόπου γενόμενον (*Λ* 680)

ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

## Cap. IV.

### *Εἴδη στίχων ἐννέα.*

ᾱ. ἰσόχρονον τὸ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ πρώτου μέχρι ἐσχάτου τοὺς αὐτοὺς ἔχον (*φ* 15)

τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν.

β̄. ἀπηρτισμένον τὸ τὴν δόξαν πᾶσαν ἔχον ἐν ἑαυτῷ (*Η* 1)

ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

γ̄. ἀκέφαλον τὸ ἀπὸ βραχείας ἀρχόμενον (*Ψ* 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

δ̄. λαγαρὸν τὸ κατὰ τὴν μέσην συμπλοκὴν τὴν σύνθεσιν μὴ σῶζον (*Ξ* 1)

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.

ε̄. μείουρον τὸ τὴν παρατέλευτον βραχεῖαν ἔχον (*Μ* 208)

Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

4 *τέλειον*] cf. *πολυμερία* ap. Eustath. ad *B* 824 p. 353, 43 sqq. (Grossm. p. 30) ‖ 11 Ps. Heph. § 3. 14 ‖ 19 *γ* — *ε* non sunt *εἴδη*, sed *πάθη*; itaque in schol.[B] in cap. *περὶ ἐπῶν χωλῶν*; sed cf. p. 327, 7 sqq.

21 *κατὰ B*, *μετὰ K* | *συμπλοκὴν* scripsi, coll. app. Dion., *συμφωνίαν BK*

ϛ̄. τραχὺ τὸ τὸν ῥυθμὸν τῶν φθόγγων ⟨ἐκ τραχυτέρων λέξεων⟩ συνιστῶν (Γ 363)

τριχθὰ δὲ καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.

ζ̄. μαλακοειδὲς τὸ μὴ βιαίως ἀλλ' ὁμαλῶς προσπίπτον ταῖς ἀκοαῖς (P 51)

αἵματι δ' οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι.

η̄. κακόφωνον τὸ πολλὰ φωνήεντα ἔχον (λ 128)

φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ.

θ̄. λογοειδὲς τὸ ⟨πεζότερον⟩ κατὰ σύνθεσιν (Λ 679)

ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

## Cap. V.

### Περὶ τοῦ ἰαμβικοῦ μέτρου.

Τὸ ἰαμβικὸν μέτρον ἔστι μὲν ἑξάμετρον καὶ αὐτό, διαιρεῖται δὲ εἰς δύο. καὶ τὸ μὲν αὐτοῦ καλεῖται κωμικόν τε καὶ τραγικόν, ᾧ καὶ τῶν παλαιῶν οἱ πολλοὶ κατεχρήσαντο. δέχεται δὲ τοῦτο ἐν μὲν τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ βάσει πόδας πέντε, δάκτυλον, σπονδεῖον, χορεῖον, ἀνάπαιστον καὶ τὸν ὁμώνυμον ἴαμβον, ἐν δὲ τῇ δευτέρᾳ καὶ τῇ τετάρτῃ τοὺς ἀπὸ βραχειῶν ἀρχομένους, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον· δεῖ γὰρ αὐτὴν πάντως εἶναι δισύλλαβον καὶ τὴν πρὸ τέλους ἔχειν βραχεῖαν.

Τὸ δὲ ἕτερον τοῦ ἰαμβικοῦ μέτρου μέρος καλεῖται καθαρόν τε καὶ τρίμετρον. τούτῳ δὲ ὀλίγοι τῶν ἀρχαίων ἐχρήσαντο. δέχεται δὲ [καὶ τοῦτο] ἐν μὲν τῇ

1—2 ἐ. τ. λ. inser. ex schol.$^{B}$, sed cf. app. Dion. 327, 17 ‖ 3 τε Hom. | διατριφθὲν κάππεσε K ‖ 4 ὁμαλῶς] μαλακῶς Ps. Heph. § 14 ‖ 6 δέ οἱ B, οἱ Hom. ‖ 9 π. addidi ex schol.$^{B}$ et app. Dion. ‖ 12 περὶ B, ἀρχὴ K ‖ 19—20 ἐν δὲ — ἀρχομένους om. $B^{1}K$, add. $B^{2}$ in mg.; schol.$^{B}$ et app. Dion. add. τουτέστιν ἀνάπαιστον, χορεῖον καὶ ἴαμβον ‖ 25 κ. τ. insulse addit., deest schol.$^{B}$ et app. Dion.

*πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ βάσει ἴαμβον ἢ σπονδεῖον, ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ ἴαμβον μόνον, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον.*

## Cap. VI.

### *Περὶ τῶν Ἀνακρεοντείων.*

1. *Τῶν Ἀνακρεοντείων ἐπιδέχονται οἱ οἶκοι μὲν ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ μίαν περιττὴν συλλαβήν, οἷον*

*ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον.*

*τὸ δὲ τούτων κουκούλλιον τοὺς ἀπὸ ἐλάττονος καὶ μείζονος, εἴτουν πυρρίχιον καὶ σπονδεῖον, οἷον*

*ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας.*

2. *Ἔστιν δ ὁ στίχος τοῦ Ἀνακρέοντος οὗτος· ἡ πρώτη χώρα ἐξ ἀναπαίστου, ἡ δευτέρα καὶ τρίτη ἐξ ἰάμβου, ἡ τετάρτη μονοσύλλαβος καὶ ἀδιάφορος·*

*ἀπὸ τῆς φίλης ἐρήμου.*

*τοῦ δὲ κουκουλλίου ἡ πρώτη καὶ τρίτη καὶ πέμπτη χώρα ἐκ πυρριχίου, ἡ δευτέρα καὶ τετάρτη ἐκ σπονδείου, ἡ ἕκτη ἐκ σπονδείου ἢ τροχαίου, οἷον*

*Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.*

1 ἢ] *καὶ* schol.[B] ‖ 2 *μόνον* *K*, *καὶ μόνον* *B* ‖ 3 et iambici explanationis extrema pars et capitulum de metro elegiaco hic interciderunt ‖ 5 *τῶν* om. *B* ‖ 11 *εἴτουν*] *τουτέστιν* app. Dion. ‖ 13 *οὕτως* *B* ‖ 18—19 vv. *σπονδείου ἢ ἕκτη ἐκ* om. *K* ‖ 19 ante *ἐκ* add. Ps. Heph. § 8[b] *καὶ αὐτή* ‖ in *B* sequuntur capitula *περὶ βαρβαρισμοῦ, περὶ σολοικισμοῦ, περὶ στιγμῆς*, quae omisit *K*, tum in *BK* Ps. Castoris excerpta rhetorica (ed. Studemund. Vratislav. 1888)

# MANTISSA

# I COMMENTARII DE HEXAMETRO.

## A. ΠΕΡΙ ΠΑΘΩΝ.

### 1. Athen. XIV 632 c. d.

*Ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρχαῖοι, δῆλον καὶ ἐξ Ὁμήρου· ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ [τοὺς] πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μειούρους. Ξενοφάνης δὲ καὶ Σόλων καὶ Θέογνις καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων ... καὶ σκοποῦσιν, ὅπως αὐτῶν μηδεὶς ⟨μήτε⟩ ἀκέφαλος ἔσται μήτε λαγαρὸς μήτε μείουρος.*

1. *Ἀκέφαλοι δέ εἰσιν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες*

*ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο* (Ψ 2),
*ἐπίτονος τετάνυστο βοὸς ἶφι κταμένοιο* (μ 423).

2. *Λαγαροὶ δὲ οἱ ἐν μέσῳ, οἷον*

*αἶψα δ' ἄρ' Αἰνείαν φίλον υἱὸν Ἀγχίσαο,*
*τῶν αὖθ' ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδες* (Β 731).

4 ad affectionum doctrinam cf. imprimis schol.[B] p. 286, 92. app. Dion. p. 318—28. Diom. GL I 498, 29. 500, 5. Mar. Vict. VI 67, 13. Choer. 226, 6. An. Ambr. A V 213—215. A V 174. 190. permulta insunt in schol. Homericis; schol. ad Χ 379 (Aristonic.); praeterea cf. Rauscher: de sch. Hom. ad rem metr. pertin. Diss. philol. Argentor. XI p. 102—106. Grossmann: de doctr. metr. reliquiis ab Eustathio servatis. D. i. Argentor. 1887 p. 36—46. L. Voltz: de Helia Monacho, Isaaco Monacho, Pseudo-Dracone. Diss. ph. Arg. XI p. 1—52. idem in Commentat. in honor. Guil. Studemund (Argentor. 1889) p. 77—89 ‖ 12 *ἀκέφαλος* Mar. Plot. VI 452, 20

16 apud Homerum est μ 423 *ἐπίτονος βέβλητο βοὸς ῥινοῖο τετευχώς*; clausula versus ab Ath. excitati consentit cum Γ 375 ‖ 18 hic versus apud Homerum non exstat | *φίλον υἱ*[illegible] *υἱὸν φίλον* cod.

3. *Μείουροι* δέ εἰσιν οἱ ἐπὶ τῆς ἐκβολῆς οἷον

Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν (*M* 208)
καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα (*Θ* 305)
τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ἦια (ι 212)

## 2. Ps. Hephaestio § $11^{b}$ (Diss. Argent. X 238. 289).

Πάθη δὲ αὐτοῦ τρία μὲν κατὰ τὸ μέγεθος, τρία δὲ κατ' ἔλλειψιν· κατὰ *μέγεθος* τό τε λεγόμενον μακροκέφαλον καὶ τὸ προκοίλιον καὶ τὸ μακροσκελές.

1. Καὶ *μακροκέφαλον* μέν, ὅταν πλεονάζῃ συλλαβὴ κατ' ἀρχὴν καὶ συναίρεσις γίνηται δύο συλλαβῶν εἰς μίαν, ὡς ἐν τῷ (*A* 15. 374)

χρυσέῳ ἀνὰ σκήπτρῳ.

2. *προκοίλιον*, ὅταν τὸ αὐτὸ τοῦτο κατὰ τὸ μέσον πάθῃ, ὡς ἐν τῷ (*Π* 21 alibi)

ὦ Ἀχιλεῦ, Πηλέως υἱέ.

3. *μακροσκελὲς* δέ, ὅταν συλλαβὴ κατὰ τὸ τέλος πλεονάζῃ, ὡς ἐν τῷ (γ 278)

ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ' ἄκρον Ἀθηνέων.

Τὰ δὲ *κατ' ἔλλειψιν*, ὡς τὸ λεγόμενον ἀκέφαλον τό τε λαγαρὸν καὶ τὸ μείουρον.

4. *ἀκέφαλον* μὲν τὸ ἐλλεῖπον χρόνῳ κατὰ τὴν ἀρχήν, ὡς ἐν τούτῳ (*Ψ* 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

1 miuros Ter. Maur. VI v. 1929 ‖ 2 ad hoc exempl. add. nonnulli commentarii ut An. Ambr. AV 243 et Tzetz. (praenomen deest) in cod. Vind. theol. graec. 287 fol. $17^{v}$ ἰδοὺ γὰρ ἡ ἕκτη χώρα μείουρος γέγονε παχνωθεῖσα καὶ συσταλεῖσα τῷ φόβῳ τοῦ ὄφεως· εἰώθασι γὰρ οἱ ποιηταὶ τοῖς πάθεσι καὶ τοῖς πράγμασι συμπαθῶς ἐκτείνειν καὶ συστέλλειν ὡς ἂν καὶ τὰ ἔπη συμπάσχῃ τοῖς πάθεσιν, quae verba Grossmann l. c. 39 (coll. Eustath. ad *M* 208 p. 900, 7 sqq.) ex scholiis Heph. fluxisse censet; cf. Dion. Hal. de c. v. XV p. 59, 15—61, 19

3 apud Homerum *Θ* 305 hic est καλὴ Καστιάνειρα δέμας εἰκυῖα θεῇσι ‖ 4 hic versus δολιχόουρος, non μείουρος est ‖ 6 ed. ex *P* (Par. 2008) et *R* (Vatic. 1405) | μέγεθος] exspectes πλεονασμὸν propter 9. 16 ‖ 7 μέγεθος] πλεονασμὸν *R* ‖ 19 τό τε om. *P*

5. *λαγαρὸν* δὲ τὸ ἐλλεῖπον χρόνῳ κατὰ τὸ μέσον, ὡς ἐν τῷ (κ 60)

βῆν εἰς Αἰόλου κλυτὰ δώματα.

τὸ γὰρ ο̄ οὐ δύναται μακρὰν ποιεῖν τὴν συλλαβήν, ἐπειδὴ μὴ ἀπήρτισται εἰς μέρος λόγου.

6. τὸ δὲ ἐλλεῖπον χρόνῳ κατὰ τὸ τέλος *μείουρον* λέγεται, ὡς ἐν τῷ (*M* 208)

Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

## 3. Ps. Hephaestio § 17 (Diss. Argent. X 246).

*Πάθη* τῶν στίχων εἰσὶ *τρία*, ἀκέφαλος, μεσόκλαστος, μείουρος.

1. *Ἀκέφαλοι* μὲν οὖν εἰσιν, ὅσοι ἀπὸ βραχείας ἄρχονται συλλαβῆς, ὡς οὗτος (*Ψ* 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο

καὶ (φ 25)

ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο·

τὸ γὰρ ἡρωικὸν μέτρον ἀεὶ ἀπὸ μακρᾶς βούλεται ἄρχεσθαι.

2. *Μεσόκλαστοι* δέ εἰσιν, ὅσοι κατὰ τὸ μέσον πάθος τι ἔχουσιν, ὡς οὗτος (κ 60)

βῆν εἰς Αἰόλου κλυτὰ δώματα·

ἐνταῦθα γὰρ ὁ δεύτερος πούς τροχαῖός ἐστιν.

3. *Μείουροι* μέν εἰσιν οἱ τὴν οὐράν, τουτέστι τὸ τέλος, μεμειωμένον (ὅπερ ἐστὶν ἐλλεῖπον) ἔχοντες, ὡς οὗτος (*M* 208)

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν·

ὁ γὰρ τελευταῖος πούς πυρρίχιός ἐστιν. — Οἱ δὴ μηδὲν τῶν παθῶν τούτων ἔχοντες στίχοι *ἀπαθεῖς* καλοῦνται.

## 4. Anonymus Parisinus (cod. Par. 2881 fol. 76).

*Παντὸς* δὲ μέτρου ἓξ πάθη εἰσίν, κατὰ μὲν *πλεονασμὸν* τρία καὶ κατ' *ἔλλειψιν* τρία. κατὰ μὲν πλεονασμόν εἰσι ταῦτα.

1. *προκέφαλον* τὸ πρὸ τῆς τοῦ στίχου κεφαλῆς ἔχον μίαν περισσὴν συλλαβήν, ὡς τὸ (*A* 193 alibi)

ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν

καὶ τὰ ὅμοια.

9 ed. ex cod. *P* (Paris. 2008), interdum adhibito *Q* (Matrit. 40) ‖ 13. 14 om. *Q* ‖ 16 βούλεται *Q*, om. *P* ‖ 19 pro βῆν εἰς Αἰ lac. in *P* ‖ 24 ἐπεὶ] ὅπως *Q* Homerus; ἐπεὶ schol.[B] alii; cf. AV 189 adn. 17 ‖ 25 *P* add. περὶ μὲν οὖν τομῶν καὶ παθῶν καὶ σχημάτων τῶν ἐν τοῖς στίχοις ἀρκείσθω ταῦτα, quae ad §§ 15—17 ed. Jacobsm. spectant ‖ 31 ὅρμαινε P

2. *προκοίλιον* τὸ κατὰ μέσον τοῦ στίχου ἔχον περισσὴν συλλαβήν, ὡς τὸ (*Α* 1)

μῆνιν ἄειδε θεὰ ⟨Πηληιάδεω Ἀχιλῆος⟩

καὶ τὸ (*Β* 544)

θώρηκας ῥήξειν δηίων ἀμφὶ σήθεσσιν

καὶ τὰ ὅμοια.

3. *δολιχόουρον* τὸ ⟨καὶ⟩ μακροσκελές, τὸ περὶ τέλος ἔχον περισσὴν συλλαβήν, ἢ ἁπλῶς ἢ ἐκ συνιζήσεως, ὡς τὸ (*Γ* 237)

Κάστορα θ' ἱππόδαμον ⟨καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα⟩

καὶ ⟨τὸ⟩ (*ι* 347)

Κύκλωψ τῆ πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

Τὰ δὲ κατ' ἔλλειψιν ταῦτα.

4. *ἀκέφαλον* τὸ ἐν ἀρχῇ στίχου λεῖπον συλλαβῇ, ἢ ἐκ κοινῆς συλλαβῆς ἢ ἁπλῶς, ὡς τὸ (*Α* 70)

ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα

καὶ τὸ (*Ψ* 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

5. *μεσόκλαστον* τὸ κατὰ μέσον ἐνδέον συλλαβῆς, ἢ κατὰ κοινήν, ὡς εἶπον, ἢ μάτην, ὡς τὸ (*κ* 60)

βῆν εἰς Αἰόλου κλυτὰ δώματα, τὰ δὲ κίχανον

καὶ τὸ (*Γ* 249)

ὥτρυνε δὲ γέροντα παριστομένη ἐπέεσσι.

6. *μείουρον* τὸ ὁμοίως τούτοις ἐν τῷ τελευταίῳ ποδὶ συλλαβῆς ἐνδέον, ὡς τὸ (*Μ* 208)

Τρῶες δ' ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν

καὶ τὰ ὅμοια.

---

## B. ΠΕΡΙ ΕΙΔΩΝ.

### Eustath. ad λ 128. 1676, 15 sqq.

Ἰστέον δὲ ὅτι ὁ ἐπικρίνας

1. *τραχὺν* εἶναι τῷ ῥυθμῷ στίχον τὸ (*Γ* 363)

τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός,

27 cf. Grossmann l. c. p. 45. — cf. Dion. Hal. de c. v. XV p. 60, 1 et XX p. 92, 10 sqq.; Voltz in Philol. 52 p. 385—94

5 ῥήξειν] ῥῆνάς τε *P* | στήθεσσιν] στηθέων *P* ‖ 11 φάγεν *P* ‖ 18 et 24 ἐνδέον] hoc melius quadraret, si πάθη κατ' ἔνδειαν appellarentur, ut fit in aliis huius generis commentariis ‖ 22 ὥτρυνεν Hom. ‖ 23 ἐν Hoersch., ὃν *P* ‖ 24 ἐνδέον Hoersch., ἐνδεῖν *P*

2. ἐκεῖνος λέγει *κακοφώνου* μὲν ῥυθμοῦ εἶναι τὸ (λ 128)

φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,

3. *μαλακοειδῆ* δὲ τὸν ὁμαλῶς ἀκοῇ προσπίπτοντα οἷον (P 51)

αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι,

4. *λογοειδῆ* δὲ τὸν καὶ *πολιτικόν*, ὃς ἄνευ πάθους, φησίν, ἢ τρόπου λέγεται, οἷον (Λ 680)

ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

---

## C. ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ.

### Anonymus Parisinus (cod. Paris. 2676 [J]).

*Διαφοραὶ στίχων εἰσὶν ἐννέα·*

1. *κατενόπλιον* τὸ ἔχον ἐν τῷ στίχῳ δύο δακτύλους καὶ σπονδεῖον ὡς ἐπὶ τούτου (Α 1)

μῆνιν ἄειδε, θεά, Πηληιάδεω Ἀχιλῆος.

2. *περιοδικὸν* τὸ ἔχον ἐν ὅλῳ τῷ στίχῳ ἕνα δάκτυλον καὶ ἕνα σπονδεῖον (Α 2)

οὐλομένην ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν.

3. *Σαπφικὸν* τὸ ἔχον ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει σπονδείους, τοὺς δὲ μέσους δακτύλους (Α 9)·

Λητοῦς καὶ Διὸς υἱός· ὃ γὰρ βασιλῆι χολωθείς.

4. *βουκολικὸν* τὸ μὴ ἐν τῷ μετρεῖσθαι λῆγον εἰς μέρος λόγου (Κ 475)

ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.

5. *ὑπόρρυθμον* δὲ τὸ λῆγον εἰς μέρος λόγου ἐν τῷ μετρεῖσθαι, ὡς ἐπὶ τοῦ παρόντος ἔστιν ἰδεῖν (Α 214)

ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.

6. *τέλειον* τὸ ἔχον ὅλα τὰ μέρη τοῦ λόγου (Χ 59)

πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε.

7. *πολιτικὸν* τὸ δημῶδες κατὰ τὴν φράσιν (Λ 680)

ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

8. *κλιμακωτόν*, ἐν ᾧ προϊὼν αὔξει τὰς συλλαβάς, οἷον (Γ 182)

ὦ μάκαρ' Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον.

10 Hoersch. Philol. 47, 1 sqq. || 31 fistulares Diom. I 499, 15—17, κλιμακηδὸν Eustath. ad Γ 182 p. 401, 33 (cf. Grossmann l. c. 53)

31 κλιμακωτὸν e. g. Ps. Heph. § 5, κλίμαξ I

9. *ἐμπερίβολον* τὸ ἔχον τινὰ τῶν δέκα κατηγοριῶν καὶ τῶν ἓξ περιστατικῶν ὡς τὸ (*A* 3)

πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄιδι προΐαψεν·

ἔχει γὰρ οὗτος ὁ στίχος ποσόν, ποιόν, ⟨οὐσίαν⟩ τόπον, χρόνον.

---

## D. ΠΕΡΙ ΤΟΜΩΝ.

### 1. Ps. Hephaestio § 15 (Diss. Argent. X 245).

*Περὶ τῶν ἐν τοῖς στίχοις τομῶν καὶ σχημάτων καὶ παθῶν.*

Τομαὶ τῶν στίχων εἰσὶ *τέσσαρες*, πενθημιμερής, ἑφθημιμερής, τρίτη τροχαϊκή, τετάρτη βουκολική.

1. *Πενθημιμερὴς* οὖν ἐστιν, ὅταν μετὰ τοὺς πρώτους δύο πόδας τοῦ στίχου συλλαβὴ ἀπαρτίζῃ εἰς μέρος λόγου ὡς ἐν τῷ (*A* 1)

μῆνιν ἄειδε, θεά.

2. *Ἑφθημιμερὴς* δέ ἐστιν, ὅταν μετὰ τοὺς πρώτους τρεῖς πόδας τοῦ στίχου συλλαβὴ ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ (*A* 3)

πολλὰς δ' ἰφθίμους ψυχάς.

3. *Τρίτη* δὲ *τροχαϊκή* ἐστιν, ὅταν ὁ τρίτος ποὺς τροχαῖος ὢν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ (*A* 4)

ἡρώων, αὐτοὺς δέ.

4. *Τετάρτη* δὲ *βουκολική* ἐστιν, ὅταν ὁ τέταρτος ποὺς δάκτυλος ὢν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ (*A* 11)

οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα.

βουκολικὴ δὲ κέκληται, παρ' ὅσον οἱ τὰ βουκολικὰ ποιήματα γράψαντες ταύτῃ κέχρηνται [τῇ φωνῇ].

7 app. Dion. p. 328, 15

4 *οὐσίαν* inser. Hoersch. coll. tract. Harl. (ed. Stud. i. l. Vratisl. 1887/8 p. 20, 5) ‖ 7 ed. ex *P* (Paris. 2008). — titulus spectat ad §§ 15—17 ‖ 14 *μ. ἄ. θ.* Jacobsmühlen, *πολλὰς δ' ἰφθίμους ψυχὰς* codd. ‖ 17 *π. δ' ἰ. ψ.* Jacobsmühlen, *μῆνιν ἄειδε θεά* codd. ‖ 23 *ἠτίμασεν* scripsi, *ἠτίμασ'* aut *ἠτίμησ'* codd. ‖ 25 *τ. φ.* delevi, *τῇ τομῇ* Jacobsmühlen

## 2. Ps. Heph. § 27.

Χαίρει δὲ μάλιστα τὸ αὐτὸ μέτρον τῷ συνδέσμῳ τῶν ποδῶν, ὅταν κατὰ πόδα μηδένα εἰς μέρος λόγου ἀπαρτίζῃ, ἀλλὰ συνδεδεμένοι πώς εἰσιν ἀλλήλοις, ὡς ἐν τῷ

Ἰλιόθεν <με> φέρων ἄνεμος Κικόνεσσι πέλασσε (ι 39).

παραιτεῖται δὲ τὴν κατὰ πόδα τομήν, ὡς ἐν τῷ

ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν (*Α* 214)·

καθ' ἕκαστον γὰρ πόδα καὶ μέρος λόγου ἀπήρτισται. παραιτεῖται δὲ καὶ τὴν δίχα τομήν, ὡς

ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων (*Θ* 78)·

ἀπήρτισε γὰρ εἰς μέρος λόγου κατὰ τὸν τρίτον πόδα. καὶ τὴν εἰς τριχῆ διαίρεσιν δέ, ὡς ἐν τῷ

ἥρως, μή μοι τοὔνεκ' ἀμύμονα νείκεε κούρην (η 303)·

ῥυθμικὰ γὰρ τὰ τοιαῦτα <μᾶλλον> ἢ μετρικά· τὴν δὲ κατὰ τὸν τέταρτον πόδα τομὴν οὐκ ἀποστρέφεται, ὅταν πλείω μέρη λόγου στίχῳ συνδέδεται. Τούτῳ τῷ μέτρῳ συμπίπτει καὶ τὰ βουκολικὰ καλούμενα, ἐὰν εἰς τέταρτον πόδα δακτυλικὸν ἀπαρτίζηται. παραιτεῖται δὲ καὶ πέμπτον εἶναι σπονδεῖον, ὅτι πᾶν μέτρον παραλήγεσθαι βούλεται τῷ οἰκείῳ ποδί, οὗ καὶ ἐπώνυμόν ἐστι, μάλιστα ὅταν ἀπαρτίζηται μέρος λόγου ἐν αὐτῷ, ὡς ἐν ἐκείνῳ

ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις (ξ 239)·

καὶ γὰρ τῇ ἀκοῇ αὐτόθεν προσπίπτει τὸ κεχηνὸς τοῦ ἔπους, εἰ καὶ σπονδεῖός ἐστιν, ἀλλ' ἧττον λυπεῖ, ὅταν τῷ ἑξῆς συνῆπται ποδί.

## 3. Ps. Heph. § 19.

Κακόμετρόν ἐστιν, ὃ κατὰ πόδα ἢ διποδίαν ἢ κατὰ περίοδον ἀπαρτίζει τοῖς μέρεσι τοῦ λόγου· τὸ γὰρ καθαρὸν ἡρωϊκὸν ἐπικόπτειν θέλει τὴν λέξιν ἐν τοῖς μέρεσι τῶν χωρῶν ἄνευ τῶν τομῶν. ἔστιν οὖν τὰ κατὰ πόδα κακόμετρα (*Α* 214)

ὕβριος εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν·

2 Mar. Vict. VI 71, 25. Eustath. ad *I* 122 p. 740, 1

3 κατὰ πόδα μηδένα scripsi, ἢ ἀπὸ μηδὲν codd., κατὰ μηδὲν cod. Saib. et Eustath., ubi κατὰ μηδένα (sc. πόδα) scribendum proposuit C. E. A. Schmidt (Beitr. z. Gesch. d. Gramm. p. 545 adn.); ποὺς μηδεὶς Stud. ‖ 14 μᾶλλον inser. Schmidt ‖ 16 στίχος codd. ‖ 24 ἐλύπει codd. ‖ 26 κακόμετροι εἰσὶν ὃ codd.

*κατὰ διποδίαν δὲ* (*B* 484 alibi)

*ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι·*

*κατὰ περίοδον* (*Θ* 78)

*ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων.*

*γίνεται δὲ* ⟨*καὶ*⟩ *κακόμετρα, ὅσα ἐν τῇ πέμπτῃ χώρᾳ μάλιστα σπονδεῖον ἔχει* (*ρ* 208)

*ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων* ⟨*ἦν*⟩ *ἄλσος.*

*τὸ δὲ ἄριστον ἡρῷόν ἐστιν οὕτως, ἐὰν ἔχῃ τὸν τρίτον δάκτυλον τεμνόμενον τῷ τροχαίῳ, οἷον* (*α* 1)

*ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον.*

5 *καὶ* addidi ‖ 8 *ἡρῷόν* scripsi, *ἡρώων* codd. | *δακτυλικὸν* codd.

# II DE METRO ET DE PEDIBUS.

§ 1.

*Πόσα παρέπεται τοῖς μέτροις;*

*Παρέπεται τοῖς μέτροις ἑπτά, κατὰ ποιὸν καὶ κατὰ ποσόν. καὶ κατὰ μὲν ποιότητα δ΄· γένος, εἶδος, σύνταξις, τομή· κατὰ δὲ ποσότητα τρία· μέγεθος, σχέσις, ἀπόθεσις. Καὶ γένος μέν ἐστιν ἡ ἐπιπλοκή, ὡς δακτυλικοῦ πρὸς ἀναπαιστικόν. Εἶδος δὲ ὅπερ ἕκαστον αὐτῶν τυγχάνει ὄν, οἷον τροχαϊκὸν ἢ ἀναπαιστικόν. Σύνταξις δὲ τὸ εἶναι ἕκαστον αὐτῶν ἁπλοῦν ἢ σύνθετον. ἁπλοῦν μὲν τὸ ἐξ ἑνὸς ποδός, ὅπερ ἐπὶ τῶν ποιημάτων ἥκιστα ἔστιν εὑρέσθαι, ἐπὶ μέντοι στίχου ὡς τὸ* (*Λ* 130)

*Ἀτρείδης· τὼ δ' αὖτ' ἐκ δίφρου γουναζέσθην·*

*σύνθετον δὲ τὸ ἐκ διαφόρων ποδῶν. Τομὴ δ' ἐστὶν εὐπρεπὴς ἀπαρτισμὸς λέξεων. Μέγεθος δὲ ὡς ὅταν τὸ μὲν ᾖ δίμετρον, ⟨τὸ δὲ τρίμετρον, τὸ δὲ τετράμετρον⟩. Σχέσις δὲ ὡς ὅταν τὰ μὲν ᾖ τεταγμένα, τὰ δ' ἄτακτα. Ἀπόθεσις δὲ ὡς ὅταν εἴπωμεν τὸ μὲν ἀκατάληκτον, τὸ δὲ καταληκτικόν.*

§ 2.

*Τῶν δὲ μετρικῶν οἱ μὲν ἀπὸ στοιχείου ἤρξαντο, οἱ δὲ ἀπὸ τοῦ μέτρου· ἀλλὰ τὸ μὲν γραμματικῆς ἴδιον, τὸ δὲ ἐντελεστέρας*

2 § 1 ex parte uberior est e. g. in An. Chis. § 10. Ps. Heph. § 45; cf. praeterea Choer. 221, 18 sqq. ‖ 18 § 2 = An. Chis. § 11; cf. Long. proll. p. 81, 12. 86, 14—87, 10. Choer. 184, 14 sqq. (cf. schol. in Dion. Thr. 165, 1 sqq.)

2 ed. ex *U* (Vat. 14, in quo haec capitula Choerobosci commentar. absolutum sequuntur) et *K* (Ven. Marc. 483, fol. 151 [§§ 1. 2] et 63; cf. AV 91. 97 sq. 188) et in extrema parte, ubi *K* deest, ex *S* (Saibant. Bodl. Auct. T IV 9; cf. MRh 36 p. 284 sqq., AV 89, GA 1887 p. 602) ‖ 8 *τυγχάνει* om. *U* | *ἢ U*, *καὶ K* ‖ 10 *ὅπερ*] *ὃ U* | *τῶν* om. *U* | *ἥκιστον* (om. *ἔστιν*) *U* ‖ 14 *τὸ*] *τὰ U* ‖ 14 *ᾖ* — 16 *ᾖ* om. *U*, item An. Chis. ‖ 15 *τὸ . . . τετραμ.* add. Stud. ‖ 16 *εἴη K* ‖ 20 *τοῦ* om. *K*

δεόμενον ἀκοῆς· διὸ ἄμφω ἐάσας ὁ Ἡφαιστίων ἐκ τοῦ περὶ συλλαβῆς ἤρξατο, ἀλλ' οὐδὲ ταύτης ὅρον δέδωκεν ὡς ἐπταισμένον· αἱ μονογράμματοι γὰρ οὐχ ὑπάγονται τῷ ὅρῳ τῆς συλλαβῆς, ὡς πολλάκις δέδεικται.

§ 3.

### Περὶ ποδῶν.

Τὸ μὲν ὄνομα τοῦ ποδός ἐστι ῥυθμικόν· ὥσπερ γὰρ ἐν εὐπρεπεῖ κινήσει ποδῶν βάσις γίνεται, ἐξ ἧς ὁ ῥυθμός, οὕτως ἐν ἄρσει καὶ θέσει, τουτέστιν ἐν μακρᾷ καὶ βραχείᾳ συλλαβῇ, ποὺς γίνεται, ἐξ οὗ βάσις, ὅ ἐστι διποδία, καὶ ἐκ τούτου μέτρον. — Ποὺς τοίνυν ἐστὶ ποιῶν καὶ ποσῶν σύνθεσις εἰς εὐπρεπὲς σχῆμα συλλαβῶν· ποιῶν μέν, ὅτι δεῖ τὰς μὲν εἶναι μακράς, τὰς δὲ βραχείας· ποσῶν δέ, ὅτι δεῖ δύο εἶναι ἢ πλείους· εἰς εὐπρεπὲς δὲ σχῆμα, ὡς ὅταν εἴπωμεν τὰς συλλαβὰς ἢ ὁμοίως ἐπισυντίθεσθαι ἀλλήλαις, ἢ τῆς μακρᾶς λυομένης εἰς δύο βραχείας. τινὲς δὲ οὕτως ὡρίσαντο· πούς ἐστι σύνταξις συλλαβῶν ἄρσιν ἢ θέσιν περιέχουσα. οἱ δὲ οὕτως· πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ δύο ἕως ἕξ, ἐν ᾗ γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος. — Ὕλη δὲ ποδῶν συλλαβὴ ἐν ποιότητι καὶ ποσότητι εὐπρεπεῖ κινουμένη.

### Περὶ παραυξήσεως τῶν ποδῶν.

Τῶν δὲ ποδῶν συλλαβικαὶ μέν εἰσι παραυξήσεις τέσσαρες· ἄρχονται μὲν ἀπὸ δισυλλάβου, τελευτῶσι δὲ εἰς ἑξασύλλαβον.

6 ad § 3 cf. Choer. 211,11—212,25. schol.[B] p. 294,7—18, app. Dion. p. 331,5 sqq. ‖ 10 schol.[A] 109,10 ‖ 11 An. Ambr. AV 231,30—232,6; in cod. Cantabrig. (Univ. Dd XI 70) ante pedum enumerationem haec sunt πόδες λέγονται, ἐφ' ὧν βαίνει τὰ ζῷα καὶ δι' ὧν βαδίζει· ἐοίκασι δὲ ἀπὸ τοῦ πέδου εἰληφέναι τὸ ὄνομα, ὥς φησιν ὁ Ἀριστοτέλης (π. ζῴων πορείας p. 706 a 32), ἀπὸ τούτου πόδες οἱ μετρικοί, ἐπεὶ αὐτῶν ἡ ἁρμονία βαίνει τὸν λόγον; cf. app. Dion. 331, 7 ‖ 22 τρεῖς παραυξήσεις schol.[A] 110, 5; cf. Mar. Vict. VI 43, 9—24. 48, 24—49, 21. Hoersch. LdM 65—68

2 ἔδωκεν *K* ‖ 3 αἱ — 4 δεδ. om. *K* ‖ 5 hoc caput in *K* in fol. 63 (AV 98. 91) ‖ 7 τὸ — 11 μέτρον om. *K* ‖ 10 ἐκ τούτου cod. Paris. 1270, τούτου *U*, ἐκ ταύτης prop. Stud. ‖ 11 τοίνυν om. *K* | post ποσῶν pon. *K* συλλαβῶν (12) ‖ 12 μακρὰς εἶναι *K* | 13 δὲ (sec. l.) om. *U* ‖ 16 τάξις *K*² ‖ 21 huc posui; in *U* post 357, 6; in *K* deest ‖ 22 ποδῶν] ποιῶν *K* ‖ 23 ἀρχόμεναι *U* | 23 et 357, 1 δισυλλάβων *K*

καὶ ἀπὸ μὲν δισυλλάβου, ὅτι, εἰ μὴ συντεθῶσιν αἱ συλλαβαί. εὐπρεπὲς οὐκ ἀπεργάζονται σχῆμα. εἰς δὲ ἑξασύλλαβον, ὅτι τῶν ποδῶν οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ σύνθετοι. εἰ οὖν τῶν ἁπλῶν τὸ μέγεθος ἄχρι τριῶν ἐστι συλλαβῶν, ἀναγκαίως ἔσται τῶν συνθέτων ἕως ἕξ. χρονικαὶ δὲ παραυξήσεις εἰσὶ δέκα· ἀπὸ γὰρ διχρόνου μέχρι δωδεκαχρόνου προΐασιν.

Τούτων οἱ μέν εἰσιν ἁπλοῖ, καὶ εἰσὶ δώδεκα· οἱ δὲ σύνθετοι, καὶ εἰσὶν ρβ′. 1. καὶ εἰσὶ δισύλλαβοι μὲν δ′, δικαίως. πᾶσα γὰρ μονὰς διφυὴς μετὰ μονάδος διφυοῦς τέσσαρα ποιεῖ σχήματα. ὡς οἱ κύαμοι τὸ ὄπισθεν ἔχοντες μέλαν, τὸ δὲ ἔμπροσθεν πυρρὸν τέσσαρα· τὸ γὰρ μέλαν μετὰ τοῦ μέλανος ἕν, τὸ δὲ πυρρὸν μετὰ τοῦ πυρροῦ ἕν, τὸ δὲ μέλαν μετὰ τοῦ πυρροῦ ἕν, τὸ δὲ πυρρὸν μετὰ τοῦ μέλανος ἕν. οὕτω καὶ ἡ συλλαβή, φησίν, ἡ ἔχουσα τὴν μακρὰν καὶ τὴν βραχεῖαν ἑτέρᾳ συμπλεκομένη συλλαβῇ ποιεῖ δ′ σχήματα. 2. τρισύλλαβοι δὲ ὀκτώ· εἰ ἡ μονὰς ἡ διφυὴς μετὰ ὁμοίας μιᾶς συντεθεῖσα ἐποίησε δ′ σχήματα, δικαίως μετὰ δύο συντεθεῖσα ποιεῖ ὀκτώ· ἑκατέρᾳ γὰρ αὐτῶν ἐπισυναπτομένη διπλοῦν ἀπεργάζεται· ἑκάστῳ γοῦν προσιοῦσα τῶν δισυλλάβων ποδῶν συλλαβὴ δύο πορίζει σχήματα, τὸν δίβραχυν ποιοῦσα τρίβραχυν ἢ δάκτυλον, τὸν δὲ σπονδεῖον μολοσσὸν ἢ βακχεῖον, τὸν δ' ἴαμβον ἀνάπαιστον ἢ ἀμφίμακρον, τὸν δὲ τροχαῖον ἀμφίβραχυν ἢ παλιμβάκχειον. 3. ὁμοίως δὲ καὶ οὗτοι προσλαμβάνοντες τὴν συλλαβὴν διπλοῦνται καὶ γίνονται τετρασύλλαβοι δεκαέξ. 4. ὁμοίως δὲ καὶ οὗτοι προσλαμβάνοντες τὴν συλλαβὴν γίνονται διπλούμενοι πεντασύλλαβοι τριακονταδύο, οἳ ὄνομα ἴδιον οὐκ ἔχουσιν, ἀλλ' ἀπὸ τῶν προειρημένων συντεθέντες καλοῦνται. τὰς δὲ διαιρέσεις διπλᾶς ποιοῦσιν· ἢ γὰρ δισύλλαβος μετὰ τρισυλλάβου, ἢ τρισύλλαβος μετὰ δισυλλά-

26 nomina pentasyllaborum et hexasyllaborum e. g. AV 232. 293—98. Diom. I 481

1 ὅτι] ὅτε *UK* ‖ 2 ἀπεργάζονται] ἀπαρτίζεται *K* | ὅτε *K* ‖ 7 τούτων] αὐτῶν δὲ τούτων *K* ‖ 7 et 8 (pr.) καὶ] οἱ *U* ‖ 10 ὄπισθεν — 11 πυρρὸν] ἔμπροσθεν ἔχοντες πυρρὸν τὸ δὲ ὄπισθεν μέλαν *K* ‖ 11 τέσσαρα] δύο *UK* 12 δὲ (pr.) om. *U* ‖ 12 τὸ — ἓν (pr.) om. *U* ‖ 13 δὲ om. *U* ‖ 14 φασιν *U* | ἡ om. *U* | τὴν μ. κ. τ. βρ.] μακρᾶς καὶ βραχείας *U* ‖ 16 ἐποίησε — 17 συντ. om. *U* ‖ 17 ἑτέρα *K* ‖ 18 συναπτομένη *U* ‖ 19 τὸν] τὸν γὰρ *U* ‖ 21 ἢ (pr.) om. *K* ‖ 22 τὸν δ. τ. ἀ. om. *U* ‖ 24 ὁμοίως — 25 διπλ. om. *U* ‖ 25—26 τριακ.] δεκαδύο *U* ‖ 27 συνθέτων *U* ‖ 28 δισύλλαβοι μ. τρισυλλάβων ἢ τρισύλλαβοι μ. δισυλλάβων *K*

βου. αὐτίκα γοῦν τοῦ

Ἥλιε θοαῖς ἵπποισι (Eur. Phoen. 3)

τὸν πρῶτον καὶ ἰαμβικῶς δυνάμεθα διαιρεῖν καὶ τροχαϊκῶς. 5. ὁμοίως δὲ καὶ οὗτοι οἱ πεντασύλλαβοι προσλαμβάνοντες συλλαβὴν διπλοῦνται καὶ γίνονται ἑξασύλλαβοι ἑξηκοντατέσσαρες. εἰσὶ δὲ οἱ πάντες δ΄, η΄, ις΄, λβ΄, ξδ΄ καὶ γίνονται ρκδ΄.

Ἔστι δὲ καὶ ἄλλη μέθοδος, οὕτως· ὁ ἀριθμὸς τῶν ἁπλῶν ποδῶν δώδεκα πολυπλασιαζόμενος ἐφ᾽ ἑαυτὸν ποιεῖ τὸν ἀριθμὸν τῶν ρμδ΄· δωδεκάκις γὰρ δώδεκα γίνονται ρμδ΄. πῶς οὖν λυθήσεται τὸ ζητούμενον; πῶς οἱ μὲν τοὺς συνθέτους ριβ΄ φασὶν οἱ δὲ ρμδ΄; φαμὲν ὅτι πρὸς μὲν τὴν πρώτην μέθοδον τῶν ποδῶν, τὴν γινομένην ἐκ τῆς προτάξεως τῆς διφυοῦς συλλαβῆς, μόνοι λβ΄ εἰσὶν οἱ πεντασύλλαβοι, ἐκ τῶν τετρασυλλάβων συλλαβῇ παραυξηθέντες· πρὸς δὲ τὴν δευτέραν μέθοδον, τὴν γινομένην ἐκ τῆς συνθέσεως τῶν ἁπλῶν, εἰσὶν οἱ πεντασύλλαβοι ξδ΄· ἢ γὰρ οἱ τέσσαρες δισύλλαβοι ἐπὶ τοὺς η΄ τρισυλλάβους πολυπλασιαζόμενοι ποιοῦσι λβ΄ (τετράκις η΄ γίνονται λβ΄) ἢ οἱ η΄ τρισύλλαβοι ἐπὶ τοὺς δ΄ δισυλλάβους πολυπλασιαζόμενοι ποιοῦσιν ἄλλους λβ΄ (ὀκτάκις γὰρ τέσσαρες γίνονται λβ΄)· καὶ γίνονται δὶς λβ΄ ξδ΄. αὐτίκα γοῦν τοῦ

Ἥλιε θοαῖς ἵπποισι (Eur. Phoen. 3)

τὴν πρώτην διποδίαν καὶ ἰαμβικῶς καὶ τροχαϊκῶς δυνάμεθα διελεῖν, ⟨ὡς⟩ εἴπαμεν, ὅτι οἱ πεντασύλλαβοι διπλῆν ἔχουσι τὴν διαίρεσιν, καὶ συμβαίνει αὐτοὺς εἶναι ξδ΄. Εἰσὶν οὖν τετρασύλλαβοι ις΄, πεντασύλλαβοι λβ΄, ὁμοίως ἑξασύλλαβοι ξδ΄, οἳ γίνονται ριβ΄. — ἀλλ᾽ εἴποι τις· πῶς οὖν καὶ οἱ ἑξασύλλαβοι οὐχ ὑφίστανται τὰς β΄ διαιρέσεις εἰς τρισυλλάβους δύο καὶ δισυλλάβους γ΄, ἢ εἰς δισύλλαβον καὶ τετρασύλλαβον; ἀλλ᾽ οὐκ ἔστι ποὺς τρισύνθετος, ὅτι μηδὲ συζυγία τρίπους. πάλιν δὲ τετρασύλλαβος, ἅπαξ ὢν σύνθετος, ἑτέραν ἐπισύνθεσιν οὐκ ἠδύνατο ποιῆσαι.

1 τοῦ] τὸ K ‖ 3 καὶ (pr.) om. K | δυνάμενος U ‖ 5 post γίνονται add. U λβ ‖ 6 καὶ γίνονται] γίνονται δὲ U ‖ 8 ποδῶν om. U | δώδεκα] δεκάκις K ‖ 9 τῶν fort. del. | γίνονται om. U ‖ 10 K om. πῶς, tum pergit οἱ μ. γὰρ τ. σύμπαντας ριβ φ. εἶναι | συνθέτους Stud. (sed addito ex K σύμπαντας), συν in fine lineolae U ‖ 11 φαμὲν scripsi, φασὶ μὲν U, om. K ‖ 15 in εἰσὶν οἱ πεν exit cod. K fol. 63v, proxima folia interierunt ‖ 18 τοὺς S, om. U ‖ 26 τις ⟨ἂν⟩ Stud. ‖ 27 ὑφίστανται S, ὑφέρονται U, ὑποφέρονται Stud. ‖ 29 πάλιν — 30 ποιῆσαι S, om. U

# III EPITOME HEPHAESTIONEA.

1. Τὸ *ἰαμβικὸν* μέτρον κατὰ μὲν τὰς περιττὰς χώρας, ἤγουν πρώτην, ⟨τρίτην⟩ καὶ πέμπτην, δέχεται ἴαμβον, τρίβραχυν, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον· κατὰ δὲ τὰς ἀρτίους, τουτέστι δευτέραν, τετάρτην καὶ ἕκτην, ἴαμβον, τρίβραχυν καὶ ἀνάπαιστον.

2. Τὸ *τροχαϊκὸν* μέτρον κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον, τρίβραχυν καὶ δάκτυλον· κατὰ δὲ τὰς ἀρτίους τούτους τε καὶ σπονδεῖον καὶ ἀνάπαιστον.

3. Τὸ *δακτυλικὸν* μέτρον δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν πλὴν τῆς τελευταίας· ἐπὶ ταύτης δέ, εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει ἢ ⟨διὰ⟩ τὴν ἀδιάφορον κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ᾽ αὐτοῦ μεμειωμένα ἤγουν συλλαβῇ — καὶ καταληκτικὸν εἰς δισύλλαβον καλεῖται — ἤγουν δύο συλλαβαῖς — καὶ καλεῖται καταληκτικὸν εἰς συλλαβήν. ἐπίσημον δὲ τὸ ἑξάμετρον καταληκτικὸν εἰς δισύλλαβον τὸ λεγόμενον ἔπος, ὡς (*A* 1)

μῆνιν ἄειδε ⟨θεὰ Πηληϊάδεω Ἀχιλῆος).

Τὸ *Αἰολικὸν* τὸν μὲν πρῶτον ἔχει πόδα ἕνα τῶν δισυλλάβων ἀδιάφορον, ἢ σπονδεῖον ἢ ἴαμβον ἢ τροχαῖον ἢ πυρρίχιον· τοὺς δ᾽ ἐν μέσῳ δακτύλους πάντας· τὸν δὲ τελευταῖον δάκτυλον ἢ κρητικὸν διὰ τὸ ἀδιάφορον τῆς συλλαβῆς, εἰ ἔστιν ἀκατάληκτον, εἰ δὲ καταληκτικὸν εἴη, ἔστω καὶ τὰ ἐκ τούτου μεμειωμένα εἰς δισύλλαβον καὶ συλλαβήν. καταληκτικὸν γὰρ ἔπος Αἰολικὸν τοῦτο (Alc. 46)·

κέλομαί τινα τὸν χαρίεντα Μένωνα καλέσσαι.

4. Τὸ *ἀναπαιστικὸν* κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον, ἀνάπαιστον, σπανίως δὲ καὶ προκελευσματικόν, παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ δάκτυλον. εἰσὶ δὲ αὐτοῦ τὰ εἴδη ἓξ κατὰ

2 ed. ex *P* i. e. Paris. 2881 fol. 141 (cf. Hoersch. GG A 607) ‖ 19 τὸν] τὸ *P* ‖ 29 τὰ εἴδη] immo ἀποθέσεις

3. *Μείουροι* δέ εἰσιν οἱ ἐπὶ τῆς ἐκβολῆς οἷον
Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν (*M* 208)
καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα (Θ 305)
τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ἦια (ι 212)

## 2. Ps. Hephaestio § 11[b] (Diss. Argent. X 238. 289).

Πάθη δὲ αὐτοῦ τρία μὲν κατὰ τὸ μέγεθος, τρία δὲ κατ' ἔλλειψιν· κατὰ *μέγεθος* τό τε λεγόμενον μακροκέφαλον καὶ τὸ προκοίλιον καὶ τὸ μακροσκελές.

1. Καὶ *μακροκέφαλον* μέν, ὅταν πλεονάζῃ συλλαβὴ κατ' ἀρχὴν καὶ συναίρεσις γίνηται δύο συλλαβῶν εἰς μίαν, ὡς ἐν τῷ (*A* 15. 374)
χρυσέῳ ἀνὰ σκήπτρῳ.

2. *προκοίλιον*, ὅταν τὸ αὐτὸ τοῦτο κατὰ τὸ μέσον πάθῃ, ὡς ἐν τῷ (*Π* 21 alibi)
ὦ Ἀχιλεῦ, Πηλέως υἱέ.

3. *μακροσκελὲς* δέ, ὅταν συλλαβὴ κατὰ τὸ τέλος πλεονάζῃ, ὡς ἐν τῷ (γ 278)
ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ' ἄκρον Ἀθηνέων.

Τὰ δὲ κατ' *ἔλλειψιν*, ὡς τὸ λεγόμενον ἀκέφαλον τό τε λαγαρὸν καὶ τὸ μείουρον.

4. *ἀκέφαλον* μὲν τὸ ἐλλεῖπον χρόνῳ κατὰ τὴν ἀρχήν, ὡς ἐν τούτῳ (*Ψ* 2)
ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

1 miuros Ter. Maur. VI v. 1929 || 2 ad hoc exempl. add. nonnulli commentarii ut An. Ambr. AV 243 et Tzetz. (praenomen deest) in cod. Vind. theol. graec. 287 fol. 17[v] ἰδοὺ γὰρ ἡ ἕκτη χώρα μείουρος γέγονε παχνωθεῖσα καὶ συσταλεῖσα τῷ φόβῳ τοῦ ὄφεως· εἰώθασι γὰρ οἱ ποιηταὶ τοῖς πάθεσι καὶ τοῖς πράγμασι συμπαθῶς ἐκτείνειν καὶ συστέλλειν ὡς ἂν καὶ τὰ ἔπη συμπάσχῃ τοῖς πάθεσιν, quae verba Grossmann l. c. 39 (coll. Eustath. ad *M* 208 p. 900, 7 sqq.) ex scholiis Heph. fluxisse censet; cf. Dion. Hal. de c. v. XV p. 59, 15—61, 19

3 apud Homerum *Θ* 305 hic est καλὴ Καστιάνειρα δέμας εἰκυῖα θεῇσι || 4 hic versus δολιχόουρος, non μείουρος est || 6 ed. ex *P* (Par. 2008) et *R* (Vatic. 1405) | μέγεθος] exspectes πλεονασμὸν propter 9. 16 || 7 μέγεθος] πλεονασμὸν R || 19 τό τε om. *P*

5. *λαγαρὸν* δὲ τὸ ἐλλεῖπον χρόνῳ κατὰ τὸ μέσον, ὡς ἐν τῷ (κ 60)

βῆν εἰς Αἰόλου κλυτὰ δώματα.

τὸ γὰρ ο̄ οὐ δύναται μακρὰν ποιεῖν τὴν συλλαβήν, ἐπειδὴ μὴ ἀπήρτισται εἰς μέρος λόγου.

6. τὸ δὲ ἐλλεῖπον χρόνῳ κατὰ τὸ τέλος *μείουρον* λέγεται, ὡς ἐν τῷ (Μ 208)

Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

## 3. Ps. Hephaestio § 17 (Diss. Argent. X 246).

Πάθη τῶν στίχων εἰσὶ *τρία*, ἀκέφαλος, μεσόκλαστος, μείουρος.

1. *Ἀκέφαλοι* μὲν οὖν εἰσιν, ὅσοι ἀπὸ βραχείας ἄρχονται συλλαβῆς, ὡς οὗτος (Ψ 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο

καὶ (φ 25)

ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο·

τὸ γὰρ ἡρωικὸν μέτρον ἀεὶ ἀπὸ μακρᾶς βούλεται ἄρχεσθαι.

2. *Μεσόκλαστοι* δέ εἰσιν, ὅσοι κατὰ τὸ μέσον πάθος τι ἔχουσιν, ὡς οὗτος (κ 60)

βῆν εἰς Αἰόλου κλυτὰ δώματα·

ἐνταῦθα γὰρ ὁ δεύτερος ποὺς τροχαῖός ἐστιν.

3. *Μείουροι* μέν εἰσιν οἱ τὴν οὐράν, τουτέστι τὸ τέλος, μεμειωμένον (ὅπερ ἐστὶν ἐλλεῖπον) ἔχοντες, ὡς οὗτος (Μ 208)

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν·

ὁ γὰρ τελευταῖος ποὺς πυρρίχιός ἐστιν. — Οἱ δὴ μηδὲν τῶν παθῶν τούτων ἔχοντες στίχοι *ἀπαθεῖς* καλοῦνται.

## 4. Anonymus Parisinus (cod. Par. 2881 fol. 76).

Παντὸς δὲ μέτρου ἓξ πάθη εἰσίν, κατὰ μὲν *πλεονασμὸν* τρία καὶ κατ' *ἔλλειψιν* τρία. κατὰ μὲν πλεονασμόν εἰσι ταῦτα.

1. *προκέφαλον* τὸ πρὸ τῆς τοῦ στίχου κεφαλῆς ἔχον μίαν περισσὴν συλλαβήν, ὡς τὸ (Α 193 alibi)

ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν

καὶ τὰ ὅμοια.

9 ed. ex cod. *P* (Paris. 2008), interdum adhibito *Q* (Matrit. 40) ‖ 13. 14 om. *Q* ‖ 16 βούλεται *Q*, om. *P* ‖ 19 pro βῆν εἰς Αἰ lac. in *P* ‖ 24 ἐπεὶ] ὅπως *Q* Homerus; ἐπεὶ schol.[B] alii; cf. A V 189 adn. 17 ‖ 25 *P* add. περὶ μὲν οὖν τομῶν καὶ παθῶν καὶ σχημάτων τῶν ἐν τοῖς στίχοις ἀρκείσθω ταῦτα, quae ad §§ 15—17 ed. Jacobsm. spectant ‖ 31 ὅρμαινε P

2. *προκοίλιον* τὸ κατὰ μέσον τοῦ στίχου ἔχον περισσὴν συλλαβήν, ὡς τὸ (*Α* 1)

μῆνιν ἄειδε θεὰ ⟨Πηληιάδεω Ἀχιλῆος⟩

καὶ τὸ (*Β* 544)

θώρηκας ῥήξειν δηίων ἀμφὶ σήθεσσιν

καὶ τὰ ὅμοια.

3. *δολιχόουρον* τὸ ⟨καὶ⟩ μακροσκελές, τὸ περὶ τέλος ἔχον περισσὴν συλλαβήν, ἢ ἁπλῶς ἢ ἐκ συνιζήσεως, ὡς τὸ (*Γ* 237)

Κάστορα θ' ἱππόδαμον ⟨καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα⟩

καὶ ⟨τὸ⟩ (ι 347)

Κύκλωψ τῆ πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

Τὰ δὲ κατ' ἔλλειψιν ταῦτα.

4. *ἀκέφαλον* τὸ ἐν ἀρχῇ στίχου λεῖπον συλλαβῇ, ἢ ἐκ κοινῆς συλλαβῆς ἢ ἁπλῶς, ὡς τὸ (*Α* 70)

ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα

καὶ τὸ (*Ψ* 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

5. *μεσόκλαστον* τὸ κατὰ μέσον ἐνδέον συλλαβῆς, ἢ κατὰ κοινήν, ὡς εἶπον, ἢ μάτην, ὡς τὸ (κ 60)

βῆν εἰς Αἰόλου κλυτὰ δώματα, τὰ δὲ κίχανον

καὶ τὸ (*Γ* 249)

ὤτρυνε δὲ γέροντα παρισταμένη ἐπέεσσι.

6. *μείουρον* τὸ ὁμοίως τούτοις ἐν τῷ τελευταίῳ ποδὶ συλλαβῆς ἐνδέον, ὡς τὸ (*Μ* 208)

Τρῶες δ' ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν

καὶ τὰ ὅμοια.

---

## Β. ΠΕΡΙ ΕΙΔΩΝ.

### Eustath. ad λ 128. 1676, 15 sqq.

Ἰστέον δὲ ὅτι ὁ ἐπικρίνας

1. *τραχὺν* εἶναι τῷ ῥυθμῷ στίχον τὸ (*Γ* 363)

τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός,

27 cf. Grossmann l. c. p. 45. — cf. Dion. Hal. de c. v. XV p. 60, 1 et XX p. 92, 10 sqq.; Voltz in Philol. 52 p. 385—94

5 ῥήξειν] ῥῆνάς τε *P* | στήθεσσιν] στηθέων *P* ‖ 11 φάγεν *P* ‖ 18 et 24 ἐνδέον] hoc melius quadraret, si πάθη κατ' ἔνδειαν appellarentur, ut fit in aliis huius generis commentariis ‖ 22 ὤτρυνεν *Hom.* ‖ 23 ἐν Hoersch., ὃν P ‖ 24 ἐνδέον Hoersch., ἐνδεῖν *P*

2. *ἐκεῖνος λέγει κακοφώνου μὲν ῥυθμοῦ εἶναι τὸ* (λ 128)
*φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,*

3. *μαλακοειδῆ δὲ τὸν ὁμαλῶς ἀκοῇ προσπίπτοντα οἷον* (P 51)
*αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι,*

4. *λογοειδῆ δὲ τὸν καὶ πολιτικόν, ὃς ἄνευ πάθους, φησίν, ἢ τρόπου λέγεται, οἷον* (Λ 680)
*ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.*

---

## C. ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ.

### Anonymus Parisinus (cod. Paris. 2676 [J]).

*Διαφοραὶ στίχων εἰσὶν ἐννέα·*

1. *κατενόπλιον τὸ ἔχον ἐν τῷ στίχῳ δύο δακτύλους καὶ σπονδεῖον ὡς ἐπὶ τούτου* (Α 1)
*μῆνιν ἄειδε, θεά, Πηληιάδεω Ἀχιλῆος.*

2. *περιοδικὸν τὸ ἔχον ἐν ὅλῳ τῷ στίχῳ ἕνα δάκτυλον καὶ ἕνα σπονδεῖον* (Α 2)
*οὐλομένην ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν.*

3. *Σαπφικὸν τὸ ἔχον ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει σπονδείους, τοὺς δὲ μέσους δακτύλους* (Α 9)·
*Λητοῦς καὶ Διὸς υἱός· ὃ γὰρ βασιλῆι χολωθείς.*

4. *βουκολικὸν τὸ μὴ ἐν τῷ μετρεῖσθαι λῆγον εἰς μέρος λόγου* (Κ 475)
*ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.*

5. *ὑπόρρυθμον δὲ τὸ λῆγον εἰς μέρος λόγου ἐν τῷ μετρεῖσθαι, ὡς ἐπὶ τοῦ παρόντος ἔστιν ἰδεῖν* (Α 214)
*ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.*

6. *τέλειον τὸ ἔχον ὅλα τὰ μέρη τοῦ λόγου* (Χ 59)
*πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε.*

7. *πολιτικὸν τὸ δημῶδες κατὰ τὴν φράσιν* (Λ 680)
*ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.*

8. *κλιμακωτόν, ἐν ᾧ προϊὼν αὔξει τὰς συλλαβάς, οἷον* (Γ 182)
*ὦ μάκαρ' Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον.*

10 Hoersch. Philol. 47, 1 sqq. || 31 fistulares Diom. I 499, 15—17, *κλιμακηδὸν* Eustath. ad Γ 182 p. 401, 33 (cf. Grossmann l. c. 53)

31 *κλιμακωτὸν* e. g. Ps. Heph. § 5, *κλίμαξ* I

9. *ἐμπερίβολον* τὸ ἔχον τινὰ τῶν δέκα κατηγοριῶν καὶ τῶν ἓξ περιστατικῶν ὡς τὸ (*A* 3)

πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄιδι προΐαψεν·

ἔχει γὰρ οὗτος ὁ στίχος ποσόν, ποιόν, ⟨οὐσίαν⟩ τόπον, χρόνον.

---

## D. ΠΕΡΙ ΤΟΜΩΝ.

### 1. Ps. Hephaestio § 15 (Diss. Argent. X 245).

*Περὶ τῶν ἐν τοῖς στίχοις τομῶν καὶ σχημάτων καὶ παθῶν.*

*Τομαὶ* τῶν στίχων εἰσὶ *τέσσαρες*, πενθημιμερής, ἑφθημιμερής, τρίτη τροχαϊκή, τετάρτη βουκολική.

1. *Πενθημιμερὴς* οὖν ἐστιν, ὅταν μετὰ τοὺς πρώτους δύο πόδας τοῦ στίχου συλλαβὴ ἀπαρτίζῃ εἰς μέρος λόγου ὡς ἐν τῷ (*A* 1)

μῆνιν ἄειδε, θεά.

2. *Ἑφθημιμερὴς* δέ ἐστιν, ὅταν μετὰ τοὺς πρώτους τρεῖς πόδας τοῦ στίχου συλλαβὴ ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ (*A* 3)

πολλὰς δ' ἰφθίμους ψυχάς.

3. *Τρίτη* δὲ *τροχαϊκή* ἐστιν, ὅταν ὁ τρίτος ποὺς τροχαῖος ὢν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ (*A* 4)

ἡρώων, αὐτοὺς δέ.

4. *Τετάρτη* δὲ *βουκολική* ἐστιν, ὅταν ὁ τέταρτος ποὺς δάκτυλος ὢν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ (*A* 11)

οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα.

βουκολικὴ δὲ κέκληται, παρ' ὅσον οἱ τὰ βουκολικὰ ποιήματα γράψαντες ταύτῃ κέχρηνται [τῇ φωνῇ].

7 app. Dion. p. 328, 15

4 *οὐσίαν* inser. Hoersch. coll. tract. Harl. (ed. Stud. i. l. Vratisl. 1887/8 p. 20, 5) || 7 ed. ex *P* (Paris. 2008). — titulus spectat ad §§ 15—17 || 14 *μ. ἄ. θ.* Jacobsmühlen, *πολλὰς δ' ἰφθίμους ψυχὰς* codd. || 17 *π. δ' ἰ. ψ.* Jacobsmühlen, *μῆνιν ἄειδε θεά* codd. || 23 *ἠτίμασεν* scripsi, *ἠτίμασ'* aut *ἠτίμησ'* codd. | 25 *τ. φ.* delevi, *τῇ τομῇ* Jacobsmühlen

## 2. Ps. Heph. § 27.

*Χαίρει δὲ μάλιστα τὸ αὐτὸ μέτρον τῷ συνδέσμῳ τῶν ποδῶν, ὅταν κατὰ πόδα μηδένα εἰς μέρος λόγου ἀπαρτίζῃ, ἀλλὰ συνδεδεμένοι πῶς εἰσιν ἀλλήλοις, ὡς ἐν τῷ*

*Ἰλιόθεν ⟨με⟩ φέρων ἄνεμος Κικόνεσσι πέλασσε* (ι 39).

*παραιτεῖται δὲ τὴν κατὰ πόδα τομήν, ὡς ἐν τῷ*

*ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν* (*A* 214)·

*καθ' ἕκαστον γὰρ πόδα καὶ μέρος λόγου ἀπήρτισται.*

*παραιτεῖται δὲ καὶ τὴν δίχα τομήν, ὡς*

*ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων* (*Θ* 78)·

*ἀπήρτισε γὰρ εἰς μέρος λόγου κατὰ τὸν τρίτον πόδα.*

*καὶ τὴν εἰς τριχῆ διαίρεσιν δέ, ὡς ἐν τῷ*

*ἥρως, μή μοι τοὔνεκ' ἀμύμονα νείκεε κούρην* (*η* 303)·

*ῥυθμικὰ γὰρ τὰ τοιαῦτα ⟨μᾶλλον⟩ ἢ μετρικά·*

*τὴν δὲ κατὰ τὸν τέταρτον πόδα τομὴν οὐκ ἀποστρέφεται, ὅταν πλείω μέρη λόγου στίχῳ συνδέδεται. Τούτῳ τῷ μέτρῳ συμπίπτει καὶ τὰ βουκολικὰ καλούμενα, ἐὰν εἰς τέταρτον πόδα δακτυλικὸν ἀπαρτίζηται. παραιτεῖται δὲ καὶ πέμπτον εἶναι σπονδεῖον, ὅτι πᾶν μέτρον παραλήγεσθαι βούλεται τῷ οἰκείῳ ποδί, οὗ καὶ ἐπώνυμόν ἐστι, μάλιστα ὅταν ἀπαρτίζηται μέρος λόγου ἐν αὐτῷ, ὡς ἐν ἐκείνῳ*

*ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις* (*ξ* 239)·

*καὶ γὰρ τῇ ἀκοῇ αὐτόθεν προσπίπτει τὸ κεχηνὸς τοῦ ἔπους, εἰ καὶ σπονδεῖός ἐστιν, ἀλλ' ἧττον λυπεῖ, ὅταν τῷ ἑξῆς συνῆπται ποδί.*

## 3. Ps. Heph. § 19.

*Κακόμετρόν ἐστιν, ὃ κατὰ πόδα ἢ διποδίαν ἢ κατὰ περίοδον ἀπαρτίζει τοῖς μέρεσι τοῦ λόγου· τὸ γὰρ καθαρὸν ἡρωϊκὸν ἐπικόπτειν θέλει τὴν λέξιν ἐν τοῖς μέρεσι τῶν χωρῶν ἄνευ τῶν τομῶν. ἔστιν οὖν τὰ κατὰ πόδα κακόμετρα* (*A* 214)

*ὕβριος εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν·*

2 Mar. Vict. VI 71, 25. Eustath. ad *I* 122 p. 740, 1

3 *κατὰ πόδα μηδένα* scripsi, *ἢ ἀπὸ μηδὲν* codd., *κατὰ μηδὲν* cod. Saib. et Eustath., ubi *κατὰ μηδένα* (sc. *πόδα*) scribendum proposuit C. E. A. Schmidt (Beitr. z. Gesch. d. Gramm. p. 545 adn.); *ποὺς μηδεὶς* Stud. ‖ 14 *μᾶλλον* inser. Schmidt ‖ 16 *στίχος* codd. ‖ 24 *ἐλύπει* codd. ‖ 26 *κακόμετροι εἰσὶν ὁ* codd.

κατὰ διποδίαν δὲ (*B* 484 alibi)

ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι·

κατὰ περίοδον (Θ 78)

ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων.

γίνεται δὲ ⟨καὶ⟩ κακόμετρα, ὅσα ἐν τῇ πέμπτῃ χώρᾳ μάλιστα σπονδεῖον ἔχει (ρ 208)

ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ⟨ἦν⟩ ἄλσος.

τὸ δὲ ἄριστον ἡρῷόν ἐστιν οὕτως, ἐὰν ἔχῃ τὸν τρίτον δάκτυλον τεμνόμενον τῷ τροχαίῳ, οἷον (α 1)

ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον.

5 καὶ addidi ‖ 8 ἡρῷόν scripsi, ἡρώων codd. | δακτυλικὸν codd.

# II DE METRO ET DE PEDIBUS.

§ 1.

*Πόσα παρέπεταί τοῖς μέτροις;*

Παρέπεται τοῖς μέτροις ἑπτά, κατὰ ποιὸν καὶ κατὰ ποσόν. καὶ κατὰ μὲν ποιότητα δ'· γένος, εἶδος, σύνταξις, τομή· κατὰ δὲ ποσότητα τρία· μέγεθος, σχέσις, ἀπόθεσις. Καὶ γένος μέν ἐστιν ἡ ἐπιπλοκή, ὡς δακτυλικοῦ πρὸς ἀναπαιστικόν. Εἶδος δὲ ὅπερ ἕκαστον αὐτῶν τυγχάνει ὄν, οἷον τροχαϊκὸν ἢ ἀναπαιστικόν. Σύνταξις δὲ τὸ εἶναι ἕκαστον αὐτῶν ἁπλοῦν ἢ σύνθετον. ἁπλοῦν μὲν τὸ ἐξ ἑνὸς ποδός, ὅπερ ἐπὶ τῶν ποιημάτων ἥκιστα ἔστιν εὑρέσθαι, ἐπὶ μέντοι στίχου ὡς τὸ (*Α* 130)

Ἀτρείδης· τὼ δ' αὖτ' ἐκ δίφρου γουναζέσθην·

σύνθετον δὲ τὸ ἐκ διαφόρων ποδῶν. Τομὴ δ' ἐστὶν εὐπρεπὴς ἀπαρτισμὸς λέξεων. Μέγεθος δὲ ὡς ὅταν τὸ μὲν ᾖ δίμετρον, ⟨τὸ δὲ τρίμετρον, τὸ δὲ τετράμετρον⟩. Σχέσις δὲ ὡς ὅταν τὰ μὲν ᾖ τεταγμένα, τὰ δ' ἄτακτα. Ἀπόθεσις δὲ ὡς ὅταν εἴπωμεν τὸ μὲν ἀκατάληκτον, τὸ δὲ καταληκτικόν.

§ 2.

Τῶν δὲ μετρικῶν οἱ μὲν ἀπὸ στοιχείου ἤρξαντο, οἱ δὲ ἀπὸ τοῦ μέτρου· ἀλλὰ τὸ μὲν γραμματικῆς ἴδιον, τὸ δὲ ἐντελεστέρας

2 § 1 ex parte uberior est e. g. in An. Chis. § 10. Ps. Heph. § 45; cf. praeterea Choer. 221, 18 sqq. ‖ 18 § 2 = An. Chis. § 11; cf. Long. proll. p. 81, 12. 86, 14—87, 10. Choer. 184, 14 sqq. (cf. schol. in Dion. Thr. 165, 1 sqq.)

2 ed. ex *U* (Vat. 14, in quo haec capitula Choerobosci commentar. absolutum sequuntur) et *K* (Ven. Marc. 483, fol. 151 [§§ 1. 2] et 63; cf. AV 91. 97 sq. 188) et in extrema parte, ubi *K* deest, ex *S* (Saibant. Bodl. Auct. T IV 9; cf. MRh 36 p. 284 sqq., AV 89, GA 1887 p. 602) ‖ 8 *τυγχάνει* om. *U* | ἢ *U*, *καὶ* *K* ‖ 10 ὅπερ] ὃ *U* | τῶν om. *U* | ἥκιστον (om. ἔστιν) *U* ‖ 14 τὸ] τὰ *U* ‖ 14 ᾖ — 16 ᾖ om. *U*, item An. Chis. ‖ 15 τὸ . . . τετραμ. add. Stud. ‖ 16 εἴη *K* ‖ 20 τοῦ om. *K*

*δεόμενον ἀκοῆς· διὸ ἄμφω ἐάσας ὁ Ἡφαιστίων ἐκ τοῦ περὶ συλλαβῆς ἤρξατο, ἀλλ' οὐδὲ ταύτης ὅρον δέδωκεν ὡς ἐπταισμένον· αἱ μονογράμματοι γὰρ οὐχ ὑπάγονται τῷ ὅρῳ τῆς συλλαβῆς, ὡς πολλάκις δέδεικται.*

§ 3.

*Περὶ ποδῶν.*

*Τὸ μὲν ὄνομα τοῦ ποδός ἐστι ῥυθμικόν· ὥσπερ γὰρ ἐν εὐπρεπεῖ κινήσει ποδῶν βάσις γίνεται, ἐξ ἧς ὁ ῥυθμός, οὕτως ἐν ἄρσει καὶ θέσει, τουτέστιν ἐν μακρᾷ καὶ βραχείᾳ συλλαβῇ, ποὺς γίνεται, ἐξ οὗ βάσις, ὅ ἐστι διποδία, καὶ ἐκ τούτου μέτρον. — Ποὺς τοίνυν ἐστὶ ποιῶν καὶ ποσῶν σύνθεσις εἰς εὐπρεπὲς σχῆμα συλλαβῶν· ποιῶν μέν, ὅτι δεῖ τὰς μὲν εἶναι μακράς, τὰς δὲ βραχείας· ποσῶν δέ, ὅτι δεῖ δύο εἶναι ἢ πλείους· εἰς εὐπρεπὲς δὲ σχῆμα, ὡς ὅταν εἴπωμεν τὰς συλλαβὰς ἢ ὁμοίας ἐπισυντίθεσθαι ἀλλήλαις, ἢ τῆς μακρᾶς λυομένης εἰς δύο βραχείας. τινὲς δὲ οὕτως ὡρίσαντο· πούς ἐστι σύνταξις συλλαβῶν ἄρσιν ἢ θέσιν περιέχουσα. οἱ δὲ οὕτως· πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ δύο ἕως ἕξ, ἐν ᾗ γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος. — Ὕλη δὲ ποδῶν συλλαβὴ ἐν ποιότητι καὶ ποσότητι εὐπρεπεῖ κινουμένη.*

*Περὶ παραυξήσεως τῶν ποδῶν.*

*Τῶν δὲ ποδῶν συλλαβικαὶ μέν εἰσι παραυξήσεις τέσσαρες· ἄρχονται μὲν ἀπὸ δισυλλάβου, τελευτῶσι δὲ εἰς ἑξασύλλαβον.*

6 ad § 3 cf. Choer. 211, 11—212, 25. schol.[B] p. 294, 7—18, app. Dion. p. 331, 5 sqq. ‖ 10 schol.[A] 109, 10 ‖ 11 An. Ambr. AV 231, 30—232, 6; in cod. Cantabrig. (Univ. Dd XI 70) ante pedum enumerationem haec sunt *πόδες λέγονται, ἐφ' ὧν βαίνει τὰ ζῷα καὶ δι' ὧν βαδίζει· ἐοίκασι δὲ ἀπὸ τοῦ πέδου εἰληφέναι τὸ ὄνομα, ὥς φησιν ὁ Ἀριστοτέλης* (*π. ζῴων πορείας* p. 706 a 32), *ἀπὸ τούτου πόδες οἱ μετρικοί, ἐπεὶ αὐτῶν ἡ ἁρμονία βαίνει τὸν λόγον*; cf. app. Dion. 331, 7 ‖ 22 *τρεῖς παραυξήσεις* schol.[A] 110, 5; cf. Mar. Vict. VI 43, 9—24. 48, 24—49, 21. Hoersch. LdM 65—68

2 *ἔδωκεν* *K* ‖ 3 *αἱ* — 4 *δεδ.* om. *K* ‖ 5 hoc caput in *K* in fol. 63 (AV 98. 91) ‖ 7 *τὸ* — 11 *μέτρον* om. *K* ‖ 10 *ἐκ τούτου* cod. Paris. 1270, *τούτου* *U*, *ἐκ ταύτης* prop. Stud. ‖ 11 *τοίνυν* om. *K* | post *ποσῶν* pon. *K* *συλλαβῶν* (12) ‖ 12 *μακρὰς εἶναι* *K* 13 *δὲ* (sec. l.) om. *U* ‖ 16 *τάξις* $K^2$ ‖ 21 huc posui; in *U* post *357, 6*; in *K* deest ‖ 22 ποδῶν] ποιῶν K ‖ 23 *ἀρχόμεναι* *U* ‖ 23 et 357, 1 *δισυλλάβων* K

*καὶ ἀπὸ μὲν δισυλλάβου, ὅτι, εἰ μὴ συντεθῶσιν αἱ συλλαβαί, εὐπρεπὲς οὐκ ἀπεργάζονται σχῆμα. εἰς δὲ ἑξασύλλαβον, ὅτι τῶν ποδῶν οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ σύνθετοι. εἰ οὖν τῶν ἁπλῶν τὸ μέγεθος ἄχρι τριῶν ἐστι συλλαβῶν, ἀναγκαίως ἔσται τῶν συνθέτων ἕως ἕξ. χρονικαὶ δὲ παραυξήσεις εἰσὶ δέκα· ἀπὸ γὰρ διχρόνου μέχρι δωδεκαχρόνου προΐασιν.*

*Τούτων οἱ μέν εἰσιν ἁπλοῖ, καὶ εἰσὶ δώδεκα· οἱ δὲ σύνθετοι, καὶ εἰσὶν ριβʹ.* 1. *καὶ εἰσὶ δισύλλαβοι μὲν δʹ, δικαίως. πᾶσα γὰρ μονὰς διφυὴς μετὰ μονάδος διφυοῦς τέσσαρα ποιεῖ σχήματα. ὡς οἱ κύαμοι τὸ ὄπισθεν ἔχοντες μέλαν, τὸ δὲ ἔμπροσθεν πυρρὸν τέσσαρα· τὸ γὰρ μέλαν μετὰ τοῦ μέλανος ἕν, τὸ δὲ πυρρὸν μετὰ τοῦ πυρροῦ ἕν, τὸ δὲ μέλαν μετὰ τοῦ πυρροῦ ἕν, τὸ δὲ πυρρὸν μετὰ τοῦ μέλανος ἕν. οὕτω καὶ ἡ συλλαβή, φησίν, ἡ ἔχουσα τὴν μακρὰν καὶ τὴν βραχεῖαν ἑτέρᾳ συμπλεκομένη συλλαβῇ ποιεῖ δʹ σχήματα.* 2. *τρισύλλαβοι δὲ ὀκτώ· εἰ ἡ μονὰς ἡ διφυὴς μετὰ ὁμοίας μιᾶς συντεθεῖσα ἐποίησε δʹ σχήματα, δικαίως μετὰ δύο συντεθεῖσα ποιεῖ ὀκτώ· ἑκατέρᾳ γὰρ αὐτῶν ἐπισυναπτομένη διπλοῦν ἀπεργάζεται· ἑκάστῳ γοῦν προσιοῦσα τῶν δισυλλάβων ποδῶν συλλαβὴ δύο πορίζει σχήματα, τὸν δίβραχυν ποιοῦσα τρίβραχυν ἢ δάκτυλον, τὸν δὲ σπονδεῖον μολοσσὸν ἢ βακχεῖον, τὸν δʼ ἴαμβον ἀνάπαιστον ἢ ἀμφίμακρον, τὸν δὲ τροχαῖον ἀμφίβραχυν ἢ παλιμβάκχειον.* 3. *ὁμοίως δὲ καὶ οὗτοι προσλαμβάνοντες τὴν συλλαβὴν διπλοῦνται καὶ γίνονται τετρασύλλαβοι δεκαέξ.* 4. *ὁμοίως δὲ καὶ οὗτοι προσλαμβάνοντες τὴν συλλαβὴν γίνονται διπλούμενοι πεντασύλλαβοι τριακονταδύο, οἳ ὄνομα ἴδιον οὐκ ἔχουσιν, ἀλλʼ ἀπὸ τῶν προειρημένων συντεθέντες καλοῦνται. τὰς δὲ διαιρέσεις διπλᾶς ποιοῦσιν· ἢ γὰρ δισύλλαβος μετὰ τρισυλλάβου, ἢ τρισύλλαβος μετὰ δισυλλά-*

26 nomina pentasyllaborum et hexasyllaborum e. g. AV 232. 293—98. Diom. I 481

1 *ὅτι*] *ὅτε* *UK* ‖ 2 *ἀπεργάζονται*] *ἀπαρτίζεται* *K* | *ὅτε* *K* ‖ 7 *τούτων*] *αὐτῶν δὲ τούτων* *K* ‖ 7 et 8 (pr.) *καὶ*] *οἱ* *U* ‖ 10 *ὄπισθεν* — 11 *πυρρὸν*] *ἔμπροσθεν ἔχοντες πυρρὸν τὸ δὲ ὄπισθεν μέλαν* *K* ‖ 11 *τέσσαρα*] *δύο* *UK* 12 *δὲ* (pr.) om. *U* ‖ 12 *τὸ* — *ἓν* (pr.) om. *U* ‖ 13 *δὲ* om. *U* ‖ 14 *φασιν* *U* | *ἡ* om. *U* | *τὴν μ. κ. τ. βρ.*] *μακρᾶς καὶ βραχείας* *U* ‖ 16 *ἐποίησε* — 17 *συντ.* om. *U* ‖ 17 *ἑτέρα* *K* ‖ 18 *συναπτομένη* *U* ‖ 19 *τὸν*] *τὸν γὰρ* *U* ‖ 21 *ἢ* (pr.) om. *K* ‖ 22 *τὸν δ. τ. ἀ.* om. *U* ‖ 24 *ὁμοίως* — 25 *διπλ.* om. *U* ‖ 25—26 *τριακ.*] *δεκαδύο* *U* ‖ 27 *συνθέτων* *U* ‖ 28 *δισύλλαβοι μ. τρισυλλάβων ἢ τρισύλλαβοι μ. δισυλλάβων* K

βου. αὐτίκα γοῦν τοῦ

Ἦλιε θοαῖς ἵπποισι (Eur. Phoen. 3)

τὸν πρῶτον καὶ ἰαμβικῶς δυνάμεθα διαιρεῖν καὶ τροχαϊκῶς. 5. ὁμοίως δὲ καὶ οὗτοι οἱ πεντασύλλαβοι προσλαμβάνοντες συλλαβὴν διπλοῦνται καὶ γίνονται ἑξασύλλαβοι ἑξηκοντατέσσαρες· εἰσὶ δὲ οἱ πάντες δ', η', ις', λβ', ξδ' καὶ γίνονται ρκδ'.

Ἔστι δὲ καὶ ἄλλη μέθοδος, οὕτως· ὁ ἀριθμὸς τῶν ἁπλῶν ποδῶν δώδεκα πολυπλασιαζόμενος ἐφ' ἑαυτὸν ποιεῖ τὸν ἀριθμὸν τῶν ρμδ'· δωδεκάκις γὰρ δώδεκα γίνονται ρμδ'. πῶς οὖν λυθήσεται τὸ ζητούμενον; πῶς οἱ μὲν τοὺς συνθέτους ριβ' φασὶν οἱ δὲ ρμδ'; φαμὲν ὅτι πρὸς μὲν τὴν πρώτην μέθοδον τῶν ποδῶν, τὴν γινομένην ἐκ τῆς προτάξεως τῆς διφυοῦς συλλαβῆς, μόνοι λβ' εἰσὶν οἱ πεντασύλλαβοι, ἐκ τῶν τετρασυλλάβων συλλαβῇ παραυξηθέντες· πρὸς δὲ τὴν δευτέραν μέθοδον, τὴν γινομένην ἐκ τῆς συνθέσεως τῶν ἁπλῶν, εἰσὶν οἱ πεντασύλλαβοι ξδ'· ἢ γὰρ οἱ τέσσαρες δισύλλαβοι ἐπὶ τοὺς η' τρισυλλάβους πολυπλασιαζόμενοι ποιοῦσι λβ' (τετράκις η' γίνονται λβ') ἢ οἱ η' τρισύλλαβοι ἐπὶ τοὺς δ' δισυλλάβους πολυπλασιαζόμενοι ποιοῦσιν ἄλλους λβ' (ὀκτάκις γὰρ τέσσαρες γίνονται λβ')· καὶ γίνονται δὶς λβ' ξδ'. αὐτίκα γοῦν τοῦ

Ἦλιε θοαῖς ἵπποισι (Eur. Phoen. 3)

τὴν πρώτην διποδίαν καὶ ἰαμβικῶς καὶ τροχαϊκῶς δυνάμεθα διελεῖν, ⟨ὡς⟩ εἴπαμεν, ὅτι οἱ πεντασύλλαβοι διπλῆν ἔχουσι τὴν διαίρεσιν, καὶ συμβαίνει αὐτοὺς εἶναι ξδ'. Εἰσὶν οὖν τετρασύλλαβοι ις', πεντασύλλαβοι λβ', ὁμοίως ἑξασύλλαβοι ξδ', οἳ γίνονται ριβ'. — ἀλλ' εἴποι τις· πῶς οὖν καὶ οἱ ἑξασύλλαβοι οὐχ ὑφίστανται τὰς β' διαιρέσεις εἰς τρισυλλάβους δύο καὶ δισυλλάβους γ', ἢ εἰς δισύλλαβον καὶ τετρασύλλαβον; ἀλλ' οὐκ ἔστι ποὺς τρισύνθετος, ὅτι μηδὲ συζυγία τρίπους. πάλιν δὲ τετρασύλλαβος, ἅπαξ ὢν σύνθετος, ἑτέραν ἐπισύνθεσιν οὐκ ἠδύνατο ποιῆσαι.

1 τοῦ] τὸ *K* || 3 καὶ (pr.) om. *K* | δυνάμενος *U* || 5 post γίνονται add. *U* λβ || 6 καὶ γίνονται] γίνονται δὲ *U* || 8 ποδῶν om. *U* | δώδεκα] δεκάκις *K* || 9 τῶν fort. del. | γίνονται om. *U* || 10 *K* om. πῶς, tum pergit οἱ μ. γὰρ τ. σύμπαντας ριβ φ. εἶναι | συνθέτους Stud. (sed addito ex *K* σύμπαντας), συν in fine lineolae *U* || 11 φαμὲν scripsi, φασὶ μὲν *U*, om. *K* || 15 in εἰσὶν οἱ πεν exit cod. *K* fol. 63ᵛ, proxima folia interierunt || 18 τοὺς *S*, om. *U* || 26 τις ⟨ἂν⟩ Stud. || 27 ὑφίστανται *S*, ὑφέρονται *U*, ὑποφέρονται Stud. || 29 πάλιν — 30 ποιῆσαι *S*, om. *U*

# III EPITOME HEPHAESTIONEA.

1. Τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὰς περιττὰς χώρας, ἤγουν πρώτην, ⟨τρίτην⟩ καὶ πέμπτην, δέχεται ἴαμβον, τρίβραχυν, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον· κατὰ δὲ τὰς ἀρτίους, τουτέστι δευτέραν, τετάρτην καὶ ἕκτην, ἴαμβον, τρίβραχυν καὶ ἀνάπαιστον.

2. Τὸ τροχαϊκὸν μέτρον κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον, τρίβραχυν καὶ δάκτυλον· κατὰ δὲ τὰς ἀρτίους τούτους τε καὶ σπονδεῖον καὶ ἀνάπαιστον.

3. Τὸ δακτυλικὸν μέτρον δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν πλὴν τῆς τελευταίας· ἐπὶ ταύτης δέ, εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει ἢ ⟨διὰ⟩ τὴν ἀδιάφορον κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ' αὐτοῦ μεμειωμένα ἤγουν συλλαβῇ — καὶ καταληκτικὸν εἰς δισύλλαβον καλεῖται — ἤγουν δύο συλλαβαῖς — καὶ καλεῖται καταληκτικὸν εἰς συλλαβήν. ἐπίσημον δὲ τὸ ἑξάμετρον καταληκτικὸν εἰς δισύλλαβον τὸ λεγόμενον ἔπος, ὡς (*A* 1)

μῆνιν ἄειδε ⟨θεὰ Πηληϊάδεω Ἀχιλῆος⟩.

Τὸ Αἰολικὸν τὸν μὲν πρῶτον ἔχει πόδα ἕνα τῶν δισυλλάβων ἀδιάφορον, ἢ σπονδεῖον ἢ ἴαμβον ἢ τροχαῖον ἢ πυρρίχιον· τοὺς δ' ἐν μέσῳ δακτύλους πάντας· τὸν δὲ τελευταῖον δάκτυλον ἢ κρητικὸν διὰ τὸ ἀδιάφορον τῆς συλλαβῆς, εἰ ἔστιν ἀκατάληκτον, εἰ δὲ καταληκτικὸν εἴη, ἔστω καὶ τὰ ἐκ τούτου μεμειωμένα εἰς δισύλλαβον καὶ συλλαβήν. καταληκτικὸν γὰρ ἔπος Αἰολικὸν τοῦτο (Alc. 46)·

κέλομαί τινα τὸν χαρίεντα Μένωνα καλέσσαι.

4. Τὸ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον, ἀνάπαιστον, σπανίως δὲ καὶ προκελευσματικόν, παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ δάκτυλον. εἰσὶ δὲ αὐτοῦ τὰ εἴδη ἓξ κατὰ

2 ed. ex *P* i. e. Paris. 2881 fol. 141 (cf. Hoersch. GG A 607) || 19 τὸν] τὸ *P* || 29 τὰ εἴδη] immo ἀποθέσεις

συζυγίαν διαιρουμένου· ὑπερκατάληκτον εἰς δισύλλαβον, ὑπερκατάληκτον εἰς συλλαβήν, ἀκατάληκτον, καταληκτικὸν εἰς δισύλλαβον, καταληκτικὸν εἰς συλλαβήν, βραχυκατάληκτον. ἐπίσημον δὲ ἐν αὐτῷ τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν τὸ καλούμενον Ἀριστοφάνειον — ἐκεῖνος γὰρ ἐχρῆτο αὐτῷ ἐπὶ πολύ — οἷον (Aristoph. Nub. 962)

ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο.

5. Τὸ χοριαμβικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς· ὡς ἐπίπαν δέ, ὅτε καταληκτικόν ἐστιν, εἰς κατάληξιν περαιοῦται ἰαμβικήν, ⟨ἤγουν⟩ ἢ εἰς ἀμφίβραχυν ὡς (Aristoph. fr. 10)

οὐκ ἐτὸς ὦ γυναῖκες·

ἢ εἰς βακχεῖον διὰ τὸ ἀδιάφορον, ὡς (Anacr. 31)

δακρυόεσσάν τ' ἐφίλησεν αἰχμάν·

ἢ εἰς δάκτυλον ἢ εἰς κρητικὸν διὰ τὸ ἀδιάφορον τῆς τελευταίας ὡς (fr. lyr. ad. 70)

οὐδὲ λεόντων σθένος οὐδὲ τροφαί.

Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι· ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη κατὰ Λογγῖνον, μᾶλλον γὰρ τροχιαμβικὸν οὕτως καλεῖσθαι ὤφειλεν· οἷον τὸ (Anacr. 24)

ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις.

6. Τὸ ἀντισπαστικὸν τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τὰ τέσσαρα σχήματα τὰ δισύλλαβα, τὰς δ' ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς, τὴν δὲ τελευταίαν, ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν. ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς, οὐ μόνην τὴν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα, ἀλλὰ καὶ ⟨τὴν⟩ ταῖς ἰαμβικαῖς ἑπομένην. ἔστι δὲ ὅτε καὶ λύεται ὁ πρότερος πους εἰς τρίβραχυν. καὶ ὅρα τὸ δίμετρον ἀντισπαστικόν τοῦτο δὲ (fr. lyr. ad. 79)

κάπρος γ' ἡνίχ' ὁ μαινόλης.

7. Τὸ δὲ παιωνικὸν εἴδη ἔχει τρία, τό τε κρητικὸν καὶ τὸ βακχειακὸν καὶ τὸ παλιμβακχειακόν, ἅτινα καὶ δέχονται λύσεις εἰς τοὺς καλουμένους παίωνας. ἐπιτηδεύουσι δὲ ἔνιοι τῶν ποιητῶν τοὺς πρώτους παίωνας παραλαμβάνειν πλὴν τῆς τελευ-

10 ἢ ἰαμβικὴν *P* ‖ 11 ante ἢ est in *P* ὡς οὐδὲ λεόντων σθένος οὐδὲ τροφαί, quod transpos. Hoersch. ‖ 26 ἀκατάληκτος *P* ‖ 27 μόνον Hoersch. ‖ 31 γ' om. Heph.

ταίας χώρας, εἰς ἣν τὸν κρητικὸν παραλαμβάνουσι· καὶ οὕτω τὸ πολυθρύλλητον τετράμετρον προστιθέασιν (Aristoph. fr. 110)

ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική.

8. *Ἀκατάληκτα* καλεῖται μέτρα, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει, οἷον ἐπὶ δακτυλικοῦ (Alcm. 45)

Μῶσ' ἄγε Καλλιόπα θύγατερ Διός.

*Καταληκτικὰ* δὲ ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα, οἷον ἐπὶ ἰαμβικοῦ (Sapph. 103)

χαίροις ἁ νύμφα, χαιρέτω δ' ὁ γαμβρός.

ἐὰν δὲ τρισύλλαβος ᾖ ὁ ποὺς ὁ συνιστῶν τὸ μέτρον, δύναται καὶ παρὰ δύο συλλαβὰς εἶναι τὸ καταληκτικόν, οἷον ἐπὶ δακτυλικοῦ (Archil. 104, 2)

ἐν δὲ Βατουσιάδης.

ἐνταῦθα γὰρ ἡ δης συλλαβὴ ἀντὶ δακτύλου κεῖται τρισυλλάβου. Ἐπὶ δὲ τῶν τοιούτων τὸ μὲν παρὰ συλλαβὴν καλεῖται καταληκτικὸν εἰς δισύλλαβον, τὸ δὲ παρὰ δύο συλλαβὰς καλεῖται καταληκτικὸν εἰς συλλαβήν. — *Βραχυκατάληκτα* δὲ καλεῖται, ὅσα ἐκ διποδίας ἐπὶ τέλους ὅλῳ ποδὶ μεμείωται, οἷον ἐπὶ ἰαμβικοῦ (fr. lyr. ad. 45)

ἄγ' αὖτ' ἐς οἶκον τὸν Καλησίππω.

ἐνταῦθα γὰρ ὁ σιππω πους ἀντὶ ὅλης ἰαμβικῆς κεῖται διποδίας, ἵν' ᾖ τρίμετρον. — *Ὑπερκατάληκτα* δέ, ὅσα πρὸς τῷ τελείῳ προσλαμβάνουσι μέρος ποδός, οἷον ἐπὶ ἰαμβικοῦ

βλύζει τὸ ῥεῖθρον εὐμενὲς τὸ τῶν χαρίτων.

δύναται δὲ καὶ δισυλλάβῳ περιττεύειν, ὁπόταν ἑκάτερος τῶν ἐν τῇ συζυγίᾳ ποδῶν τρισύλλαβος ᾖ, οἷον ἐπ' ἀναπαιστικοῦ (Telesilla 1)

οὐδ' Ἄρτεμις, ὦ κόραι·

τοῦτο γὰρ πρὸς τῇ ὁλοκλήρῳ συζυγίᾳ δισύλλαβον ἔσχε τὸ τελευταῖον.

9. Τὸ *ἰωνικὸν* μέτρον διττόν ἐστι, τὸ μὲν ἀπὸ μείζονος, τὸ δ' ἀπ' ἐλάσσονος· συντίθεται οὖν καὶ καθ' αὑτὸ ἄμικτον, συντίθεται δὲ καὶ ⟨ἐπίμικτον⟩ πρὸς τὰς τροχαϊκὰς συζυγίας, ὡς συμβαίνειν ἀποτελεῖσθαι ἐκ τούτων παίωνας πρῶτον καὶ τρίτον, ἐπιτρίτους δεύτερον καὶ τέταρτον· εἰ μὲν γὰρ ἀπὸ μείζονος εἴη

1 τὸν] τὸ *P* ‖ 2 προστιθέασι] συντιθέασι Heph. ‖ 3 αὐτοφυὴς *P* ‖ 16 δισυλλαβίαν *P* ‖ 18 ἰαμβίῳ *P* ‖ 22 ἵν' ᾖ τρίμετρον om. Heph. ‖ 24 versum Byzantinum esse cens. Wilam. ‖ 25 ἑκάτερον *D* ‖ 26 τρισύλλαβον *D* ‖ 28 οὐδ'] ἄδ' Heph.

καὶ ἡ πρώτη χώρα τὸν τροχαῖον δέχεται, ποιεῖ τὸν ⟨πρῶτον⟩ παίωνα – ⏑ ⏑ ⏑, κατὰ δὲ τὴν δευτέραν χώραν κειμένου τοῦ τροχαίου γίνεται ὁ τέταρτος ἐπίτριτος ⏓⏓⏒⏑· εἰ δὲ ἀπ' ἐλάσσονος εἴη καὶ ἡ πρώτη χώρα τὸν τροχαῖον δέχεται ποιεῖ τὸν δεύτερον ἐπίτριτον ⏒⏑⏓⏓, τρυχαίου δὲ κατὰ τὴν δευτέραν χώραν κειμένου ἀποτελεῖται ὁ τρίτος παίων ⏑⏑⏓⏓. ἔστιν ὅτε ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον, τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν. ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐν τούτοις, ἀλλ' ἐν τοῖς ἀπὸ μείζονος ἰωνικοῖς ἐπὶ τῶν ἀρτίων χωρῶν, ἐν δὲ τοῖς ἀπ' ἐλάσσονος ἐπὶ τῶν περιττῶν. — ἰωνικὸν ἀπὸ μείζονος – – ⏑ ⏑, ἀπ' ἐλάσσονος ⏑ ⏑ – –.

10. *Δέχεται τὸ Πινδαρικὸν ἐπιχοριαμβικὸν κατὰ τὴν πρώτην χώραν ἀντίσπαστον, κατὰ τὴν δευτέραν χορίαμβον, κατὰ τὴν τρίτην ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, ὡς εἶναι τὸ ὅλον ἑνδεκασύλλαβον, οἷον* (Pind. fr. 116)

ὁ Μουσαγέτας με καλεῖ χορεῦσαι.

τὸ δὲ Σαπφικὸν κατὰ πάντα τὸ αὐτό ἐστι, πλὴν κατὰ τὴν πρώτην χώραν δέχεται ἀντὶ ἀντισπάστου συζυγίαν τροχαϊκὴν ἢ ἑξάσημον – ⏑ – ⏑ ἢ ἑπτάσημον οὕτως – ⏑ – –, ὥστε τὸ παρὸν βέλτιον εἶναι Σαπφικὸν ἢ Πινδαρικόν.

12 cf. 44, 13 ‖ in fine add. *P* οὐ λείπ' ἐνταῦθ' ὥς μοι δοκεῖν

# IV TRICHAE LIBELLUS DE NOVEM METRIS.

W) ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ

## ΤΡΙΧΑ

### ΣΥΝΟΨΙΣ ΤΩΝ ΕΝΝΕΑ ΜΕΤΡΩΝ.

*α'. ἰαμβικόν.*

*Μέτρων σύνοψις ὕμνος ἁγνῇ παρθένῳ.*
*Ἡ τῶν ἀμίκτων ἐντόκῳ μίξις κόρῃ,*
*Ἡ μὴ φθαρεῖσα καὶ τεκοῦσα παρθένος,*
*Ἄνανδρε μῆτερ, βάτε, λαβὶς πυρφόρε,*

*τὸ χωλόν.*

*Κλίμαξ Ἰακώβ, Ἀαρὼν θεία ῥάβδε·*

*β'. τροχαϊκόν.*

*Βασίλεια καλλίπαι, θεοῖο νύμφα μοι ἁγνά,*
*Ἃ χοροῖς εὐαγέεσσιν ἀγγέλων οὐρανίων*
*Ἀμερίων τληπόνων καινῶς ἐνήλασας φυλάν,*

*τὸ χωλόν.*

*Ἐξ ἰλύος αἰθέριον ἀμβιβάσασ' εἰς ὕψος·*

*γ'. δακτυλικόν.*

*Ἃ τὸν παντογόνου αἰωνοτόκου βασιλῆος*
*Υἱέα παμμεδέοντα, λόγον κόσμου γενετῆρα,*
*Ἐκ καθαρῶν λαγόνων τέκες, ἁγνὰ φυλαχθεῖσα,*

3 ed. ex *K* (Ven. Marc. 483; AV 166) et *P* (Paris. 2881; GGA 607), perpaucis locis assumpto *L* (Laurent., olim Abbat. Flor., conv. nr. 8; de quo cf. AV 91—93) ‖ 14 καλλίπαις *KP*, sed infra p. 372, 31. 38. 373, 9 καλλίπαι

*αἰολικόν.*

*Ἐκ σέθεν μέν, ἄνασσα, δανεισάμενον πάχος ὕλας*
*Ἶσον μοί τε φανέντα, ἀμαρτάδος ἔκτοθι λυγρῆς,*
*Ὃ δ' ἔην, μείναντα θεόν, μέγαν ἄμβροτον ἐσθλόν.*

*λογαοιδικόν.*

*Ἀνίδεον θεότητα λόγοις ἀφάτοισιν ἄμμιν*
*Μίξει ἀφύρτῳ κεράσαντα φύσει βροτείᾳ*
*Καὶ θεὸν ἀμερίοισι βροτοῖσι ὁμὸν φανέντα·*

*δ'. ἀναπαιστικόν.*

*Σὺ μάκαιρα κύδιμε ἀριστοτόκεια κόρα κεδνά,*
*Ἐμέθεν μελέων,' ἐμέθεν κραδίης ἰθύνουσ' ὁρμάν,*
*Ἵνα λῷον ἄγοις κατὰ σόν με θέλημα ὁδηγεῦσα·*

*αἰολικὸν ἀναπαιστικόν.*

*Νόες γὰρ ἀδρανέες ἄμμιν ἀνάλκιδες ἀπροτίοπτοι*
*ἀβληχροί,*

*λογαοιδικόν.*

*Μόρον οὐ νοέοντες ἐφιστάμενον κατάντην,* (254)

*ε'. χοριαμβικόν.*

*Σεῖο δ' ἄνευ μηδὲ πνοᾶς μέτρον ἔχει ζωά μευ·*
*Ἀλλά γε καὶ ἠρεμόωντ' ἀτρεμέη βιοτᾷ*
*Καί τε καθυπνεῦντά με διαμπερέως φρουρέοις,*

*μικτόν.*

*Ἠπιόωσα προσπόλῳ*
*Εὐδιόωσα πόντον,*

*ς'. ἀντισπαστικόν.*

*Ὁδῷ δ' εἰν ἀβάτῳ καὶ παρ' ἐρήμαισιν ἀρούραις*
*Πολεῦντος, πότνιά, μευ παρομάρτευ ἐπίκουρος,*
*Ἐν ὄρφναις μὲν ἀφεγγέσσι φαείνοισα κελεύθους,*

*μικτόν.*

*Λύοισα δνοφερὰν κνέφαος ὁρμάν.*

2 *λυγρᾶς P* ‖ 4 *ὃδ' ἔην KP* ‖ 8 *βροτόσωμον KP*, infra p. 380, 25 *βροτοῖσι*; corr. Jung ‖ 11 *ἰθύνοοις K*, sed in cap. IV etiam *K ἰθύνουσ'*; *ἰθύνοις* Jung ‖ 13 *αἰολικόν* om. *K* ‖ 15 *ἀμβληχροί P* ‖ 23 *προσβολὴν* vel *προσβολὰς* Jung ‖ 23 et 24 in *KP* unum versum efficiunt ‖ 24 *πόντον P*, *πόντου K*; infra in cap. V *πόντον* et *πόντους* ‖ 28 *ἀφεγγέσι K* ‖ 30 *λύουσα P* *ὀργὰν* corr. in ὁρμὰν *P*, corr. in ὁρμὴν K

*Ἰστέον δέ, ὅτι ὡς ἐπὶ τοῦ ἰαμβικοῦ καὶ τοῦ τροχαϊκοῦ, οὕτως καὶ ἐπὶ τοῦ δακτυλικοῦ καὶ ἁπλῶς ἐπὶ πάντων διμέτρων ἢ τριμέτρων, καταληκτικῶν ἢ ἀκαταλήκτων καὶ τῶν λοιπῶν, παντὸς μέτρου ἡ τελευταία συλλαβὴ ἀδιάφορός ἐστι, μακρὰ ἢ βραχεῖα λαμβανομένη ἀπεριέργως. διὰ τοῦτο καὶ τὸ δακτυλικὸν ἑξάμετρον, εἰ μὲν ἀκατάληκτόν ἐστι, δάκτυλον ἢ ἀμφίμακρον τὸν τελευταῖον δέχεται πόδα, ὡς τὸ* (ι 347)

*Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.*

0) *τοῦ γὰρ κρέα τὸ ᾱ μακρὸν ἐκ κράσεως. Εἰ δὲ καταληκτικόν, εἰ μὲν εἰς δισύλλαβον, πάλιν ἢ σπονδεῖον ἢ τροχαῖον, διὰ τὸ ἀδιάφορον ἔχειν τὴν ἐπὶ τέλους, ὡς τὸ* (Hes. op. 548 sq.)

*ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος*
*ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις.*

*τὸ μὲν γὰρ πρότερον ἔπος εἰς τροχαῖον, τὸ δὲ δεύτερον εἰς σπονδεῖον ἀπαρτίζει. εἰ δὲ καταληκτικόν ἐστιν εἰς συλλαβήν, ἡ συλλαβὴ πάλιν αὕτη μακρά ἐστιν ἢ βραχεῖα διὰ τὸ ἀδιάφορον. — Καὶ περὶ μὲν τοῦ κοινοῦ δακτυλικοῦ τοσαῦτα.*

*Περὶ Αἰολικοῦ. Τὸ δὲ καθόλου δακτυλικὸν διαιρεῖται εἰς τρία, εἴς τε τὸ κοινὸν δακτυλικόν, περὶ οὗ ἐν τοῖς ἀνωτέρω διελαμβάνομεν, καὶ εἰς τὸ αἰολικὸν καὶ τὸ καλούμενον λογαοιδικόν. Αἰολικὸν μὲν οὖν ἐστιν, ὅπερ κατὰ τὴν ἀρχὴν ἀντὶ τοῦ πρώτου ποδὸς δέχεται ἕνα τῶν δισυλλάβων, οἷον σπονδεῖον ἢ τροχαῖον ἢ ἴαμβον ἢ πυρρίχιον, τοὺς δὲ ἐφεξῆς πάντας ἀδιαφόρως σπονδείους ἢ δακτύλους, ὡς καὶ τὸ κοινὸν δακτυλικόν, καὶ τὴν ἐπὶ τέλει κατακλεῖδα ὁμοίως σπονδεῖον ἢ τροχαῖον. Αἰολικὸν δὲ ὠνομάσθη διὰ τὸ τοὺς Αἰολεῖς αὐτῷ κατακόρως χρήσασθαι. ὅρα δὲ πῶς ἐπὶ τῶν τριῶν στίχων τῶν ἐκτεθέντων ἐπιτετηδευμένως ὁ μὲν πρῶτος τροχαῖον ἔχει τὸν πρῶτον πόδα, ὁ δὲ δεύτερος σπονδεῖον ἢ ἴαμβον, ὁ δὲ τρίτος πυρρίχιον, ἵνα τῆς*
1) *κατὰ τοὺς τέσσαρας δισυλλάβους τροπῆς τοῦ Αἰολικοῦ ἐντεῦθεν*

(lib. V) p. 287, 8, app. Dion. p. 328, 12, Ps. Heph. 85, 19. *ἀκατάληκτος* dicitur a Max. Plan. RhG V 494, 15; cf. schol Herodiani ad *O* 187 (Herod. II 93) et Rauscher (De schol. Homer. Diss. Arg. XI) p. 43 ‖ 8 schol.[B] (lib. III) 273, 23. schol. in Hermog. RhG VII 985, 21—986, 8. Diom. GL I 495, 18 ‖ 24 *σπονδείους* male add. schol.[B] (lib. III) 273, 28; cf. Heph. 22, 21

11 *τὴν*] *τὸν PK* ‖ 13 *πυροφόρος* Hes., *πυρφόρος PK* ‖ 25 post *ὁμοίως* inser. *δάκτυλον ἢ* Jung; cf. schol.[B] 274, 1—3

χαῖος τὸ καλούμενον τροχαϊκὸν μέτρον· πυρριχιακὸν δὲ ἢ σπονδειακὸν μέτρον οὐχ εὕρηται.

Προτέτακται μέντοι τῶν ἄλλων τὸ μέτρον τὸ ἰαμβικόν, οὐχ ὅτι τῶν λοιπῶν τιμιώτερον, οὐδ' ὅτι πρότερον, ὥς ἔνιοί φασιν, εὕρηται, ἀλλ' ὅτι πάντων ἐλαχιστότερον. καὶ γὰρ ἐκ δισυλλάβων σύγκειται ποδῶν ὡς ἐπὶ τὸ πολὺ κυρίως τὸ ἰαμβικόν, τὰ δ' ἄλλα ἐκ τρισυλλάβων, οἷον τό τε δακτυλικὸν καὶ τὸ ἀναπαιστικόν, ἢ καὶ τετρασυλλάβων ὡς τὰ ἰωνικά· περὶ ὧν προϊόντες ἐροῦμεν. ἐπεὶ οὖν ἀπὸ τῶν ἐλαχιστοτέρων καὶ βραχυτέρων ἔθος ἐστὶ προβαίνειν, διὰ τοῦτο τὸ ἰαμβικὸν μέτρον τῶν ἄλλων προτέτακται. εἰ δέ τις ἡμῖν ἀποροίη, ὅτι καὶ τὸ τροχαϊκὸν ἴσον αὐτῷ ἐστι καὶ κατὰ τὰς συλλαβάς (καὶ ἄμφω γὰρ δισύλλαβα) καὶ κατὰ τοὺς χρόνους, ὅτι καὶ ἀμφότερα τρίχρονα, ἐροῦμεν, ὅτι κατ' ἀρχὰς βραχύτερος ὢν πάλιν ὁ ἴαμβος τοῦ τροχαίου προτέτακται, ἀπὸ δὲ τούτου καὶ τὸ ἰαμβικὸν τοῦ τροχαϊκοῦ. ὁ μὲν γὰρ ἴαμβος ἀπὸ βραχείας ἄρχεται οἷον ἔρως, ὁ δ' ἀπὸ μακρᾶς ὁ τροχαῖος οἷον δοῦλος.

Δέχεται δὲ τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὴν τῶν παλαιῶν ἄδειαν καὶ συνήθειαν ἐν μὲν ταῖς περιτταῖς χώραις, τουτέστι τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ τοὺς πέντε τούτους πόδας ⏑ – ἴαμβον, ⏑⏑⏑ χορεῖον, – – σπονδεῖον, – ⏑⏑ δάκτυλον, ⏑⏑ – ἀνάπαιστον. Ἔστι δὲ ἴαμβος μέν, ὡς ἔφαμεν, ὁ ἐκ βραχείας καὶ μακρᾶς συγκείμενος οἷον ἔχω. ὃς εἴτε ἀπὸ Ἰάμβης γραὸς οὕτως ὠνομάσθη, ἐξ ἧς καὶ τὸ μέτρον εὑρεθῆναί φασιν, ἅτε δὴ πρώτως αὐτᾷ χρησαμένης αὐτομάτως, εἴτε παρὰ τὸ ἰὸν βάζειν, εἴτε ἀπὸ τοῦ Ἰάμβην τινὰ κόρην λοιδορηθεῖσαν τούτῳ τῷ μέτρῳ καταλῦσαι τὸν βίον, εἴτε ἀλλοθενοῦν, οὕτως ἐχέτω καὶ ὀνομαζέσθω. Ὁ μὲν οὖν ἴαμβος, ὅπερ ἔλεγον, ἐκ βραχείας συντέθειται καὶ μακρᾶς, ὁ δὲ χορεῖος ἐκ τριῶν βραχειῶν, οἷον λάβετε, φέρετε. χορεῖος δὲ ὠνόμασται, ὅτι πρὸς τὰ ἐν τοῖς χοροῖς μέλη πολλάκις παραλαμβάνεται τοῖς τε τραγικοῖς καὶ τοῖς ἰαμβικοῖς. Ο δὲ σπονδεῖος ἐκ δύο μακρῶν οἷον ἥρως. λέγεται δὲ οὕτως διὰ τὸ ἐν ταῖς ἱερουργίαις μάλιστα καὶ σπονδαῖς τοῖς παλαιοῖς

3 schol.[A] 115, 18 ‖ 5—6 δισυλλάβους ... πόδας schol.[B] (lib. V) p. 282, 12 ‖ 18 Heph. 15, 17 ‖ 25 αὐτομάτως χρησαμένη Choer. 214, 11 ‖ 30 τὰ χορικὰ μέλη Choer. 217, 6 ‖ 32 ἥρως app. Dion. 307, 10 ‖ 33 ἱερουργίας Choer. 213, 20

11 ἡμῶν *L* ‖ 12 καὶ (pr.) del. Westph. ‖ 18 δὲ] δὴ *K* *supra lin.* ‖ 19 τῇ om. *P* ‖ 25 αὐτῆς P

*παρειλῆφθαι. Ὁ δάκτυλος δὲ ἐκ μακρᾶς καὶ δύο βραχειῶν οἷον σύλλογε, λάμβανε· ὃν οἱ μὲν ἀπὸ τῆς ἐν ταῖς χορδαῖς γινομένης τῶν δακτύλων κινήσεως οὕτως ὀνομασθῆναί φασιν, οἱ δὲ ἀπὸ μεταφορᾶς τῶν ἡμετέρων δακτύλων, οἳ τὸ μὲν πρῶτον ἀπὸ τοῦ καρποῦ ὀστοῦν ἐκτεταμενώτερον καὶ μακρότερον ἔχουσι, τὰ δὲ ἐφεξῆς δύο βραχύτερα καὶ συνεσταλμενώτερα. Ὁ δὲ ἀνάπαιστος, ὅν τινες καὶ ἀντιδάκτυλον καλοῦσι διὰ τὸ ἐναντίως ἔχειν τῷ δακτύλῳ, ἐκ δύο βραχειῶν καὶ μακρᾶς σύγκειται οἷον λεγεών.*

7) *Αἱ μὲν οὖν περιτταὶ χῶραι τοῦ ἰαμβικοῦ μέτρου, ὡς ἐλέγομεν, τούτους δέχονται τοὺς πέντε πόδας· αἱ δ' ἄρτιοι, οἷον ἡ δευτέρα καὶ ἡ τετάρτη, ἐκ τῶν εἰρημένων πέντε ποδῶν τοὺς ἀπὸ βραχείας ἀρχομένους μόνους δέχονται, ἴαμβόν φημι τὸν ὁμωνυμοῦντα τῷ μέτρῳ καὶ χορεῖον, παρὰ δὲ τοῖς κωμικοῖς καὶ ἀνάπαιστον· ἡ δὲ ἕκτη ἴαμβον ἢ πυρρίχιον, ὅς ἐστιν ἐκ δύο βραχειῶν, οἷον λόγος. Πυρρίχιος δὲ ἐκλήθη διὰ τὸ ἐφηρμόσθαι μάλιστα τῇ συντόμῳ κινήσει τῆς ὀρχήσεως, ἣν πυρρίχην καλοῦσι, σύντομον ὄντα καὶ αὐτὸν καὶ βραχύτατον ἢ διὰ τὸ ἔχειν βραχύτατον τὸν χρόνον τῶν λοιπῶν δισυλλάβων ποδῶν· μόνος γὰρ οὗτος δίχρονός ἐστι. δέχεται δὲ τὸν πυρρίχιον ἐπὶ τέλει τὸ ἰαμβικὸν μέτρον διὰ τὸ ἀδιάφορον εἶναι παντὸς μέτρου τὴν τελευταίαν συλλαβήν, τουτέστι μακρὰν ἢ βραχεῖαν. καὶ σημείωσαι τοῦτο ἐπὶ πάντων.*

*Τούτοις πᾶσι τοῖς ποσὶ οἱ παλαιοὶ κέχρηνται ἰαμβοποιοί. καὶ λάμβανε παραδείγματα ἔκ τε τῶν Εὐριπίδου καὶ Αἰσχύλου καὶ Ἀριστοφάνους δραμάτων καὶ τῶν λοιπῶν τραγικῶν τε καὶ κωμικῶν. Ἡμεῖς δὲ ἐν μὲν ταῖς περιτταῖς χώραις ἴαμβον καὶ σπονδεῖον, ἐν δὲ ταῖς ἀρτίοις ἴαμβον μόνον δεχόμεθα, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον. Καὶ δέχου τὰ παραδείγματα ἐκ τῶν προκειμένων ἰάμβων.*

*Ἔστι δὲ τοῦ ἰαμβικοῦ μέτρου περιφανέστατον μὲν τὸ ἀκατάληκτον τρίμετρον· τρίμετρον δὲ λέγεται τὸ ἓξ ἔχον ἁπλοῦς πόδας ἰαμβικὸν οἷά εἰσι τὰ προκείμενα. καλεῖται δὲ τρίμετρα*

2 *ἀπὸ τ. ἐν τ. χ. γ. τ. δ. κ.* Choer. 215, 10 ‖ 4 schol.[B] (lib. V) p. 301, 1 ‖ 7 *ἀντιδάκτυλον* Choer.[K] 215, 15 ‖ 16 *λόγος* app. Dion. p. 307, 11 ‖ 27—29 cf. tract. in cod. Ven. Marc. 483 (K) A V p. 197, 17—20 ‖ 31 schol.[B] (lib. III) p. 266, 5—13

1 *μακρᾶς* Jung, *μακροῦ* codd. ‖ 18 aut *ἢ* 〈*ἀπὸ τοῦ προέχειν τῶν ἄλλων ποδῶν*〉 *διὰ* (coll. p. 382, 16) aut *ἢ* del. Jung

διὰ τὸ κατὰ διποδίαν βαίνεσθαι καὶ μετρεῖσθαι τὰ ἐκ δισυλλάβων ποδῶν συγκείμενα μέτρα, οἷόν ἐστι τοῦτό τε καὶ τὸ τροχαϊκόν. τὸ μὲν οὖν περιφανὲς ἰαμβικὸν ὡς ἐλέγομεν τοῦτό ἐστι τὸ ἀκατάληκτον τρίμετρον· ὃ καὶ νῦν διὰ τὸ σύνηθες καὶ ἐπισημότατον εἶναι παραδείγματος χάριν ἐκτέθειται.

Ὑφίσταται δὲ ἐκ τούτου τοῦ μέτρου κατὰ ἀφαίρεσιν καὶ πρόσθεσιν μονόμετρα καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα· προσέτι καταληκτικά τε καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ ὑπερκατάληκτα. καὶ σκόπει μοι τὸ λεγόμενον, ὡς ἐκ τῶν παραδειγμάτων σαφέστατον γένηται.

Μονόμετρον μὲν οὖν ἐστιν ἰαμβικὸν βραχυκατάληκτον, τὸ ἐξ ἑνὸς μόνου ποδὸς ἁπλοῦ συγκείμενον οἷον τὸ

φεῦ φεῦ·

ἢ εἰ δεῖ καὶ ταῦτα ἐκ τῶν προκειμένων λαμβάνειν οἷον τὸ

κόρη.

βραχυκατάληκτον δὲ καλεῖται διότι λείπεται ὁλοκλήρῳ ποδὶ πρὸς τὸ ἀκατάληκτον μονόμετρον ἀπαρτίσαι. ὅσα γὰρ κατὰ διποδίαν μετρούμενα τέλειον ἁπλοῦν ἕνα λείπεται πόδα, βραχυκατάληκτα γίνεται. — Μονόμετρον δὲ καταληκτικὸν τὸ ἐξ ἑνὸς ἡμίσεος ἁπλοῦ ποδὸς συγκείμενον οἷον τὸ

ἄνανδρε.

εἰς συλλαβὴν γὰρ ἐνταῦθα τῆς δευτέρας χώρας τὸ μονόμετρον καταλήγει, ἤτοι πόδα ἔχει ἁπλοῦν καὶ συλλαβήν· τὰ δὲ μιᾷ συλλαβῇ λειπόμενα πρὸς τὸ διποδίαν ὁλόκληρον ἀποτελέσαι καταληκτικὰ καλεῖται. — Μονόμετρον δέ ἐστιν ἀκατάληκτον τὸ ἐκ δυοῖν ἁπλῶν συντεθειμένον ποδῶν· κατὰ γὰρ διποδίαν ὡς ἔφαμεν τὸ ἰαμβικὸν βαίνεται μέτρον, ὡς Ἡφαιστίων φησίν. ὅσα δὲ τέλειον τὸν τελευταῖον ἔχουσι πόδα καὶ μήτε περιττεύοντα μήτε λειπόμενον οἷον τὸ

μῖξις κόρη,

6 schol.[B] (lib. III) 266, 15 ‖ 11—370, 6 cf. schol.[B] (lib. III) 267, 1—268, 26 ‖ 17 Choer. 224, 1 ‖ 22 schol.[B] 267, 9 ‖ 27 Ἡφαιστίων] immo schol.[B] 266, 14; cf. schol.[A] 117, 21 | ὅσα ἔχουσι τέλειον κτλ. Choer. 220, 16

6 ἀφαίρεσιν scripsi coll. schol.[B] p. 266, 16, ὑφαίρεσιν *PK* | 18 τελείῳ ἁπλῷ ἑνὶ λ. ποδὶ Jung ‖ 26 συντεθειμένων *K* ‖ 27 δὲ] δή *PK*

*ἀκατάληκτά εἰσιν ἁπλῶς. — Ὑπερκατάληκτον δὲ μονόμετρον τὸ τὸν τέλειον καὶ μηδέν τι λειπόμενον πόδα ὑπερβαῖνον μιᾷ συλλαβῇ οἷον τὸ*

*ἢ τῶν ἀμίκτων.*

*μονόμετρα μὲν οὖν ταῦτα.*

*Δίμετρον δέ, βραχυκατάληκτον μὲν πάλιν, οἷον τὸ*

*τεκοῦσα παρθένος·*

*ὅλῳ γὰρ ποδὶ μεμείωται ἐπὶ τέλους πρὸς τὸ δίμετρον ἀκατάληκτον ἀπαρτίσαι. — Καταληκτικὸν δέ, ὡς τὸ*

*ἄνανδρε μῆτερ βάτε·*

*μιᾷ γὰρ συλλαβῇ λείπεται εἰς τὸ διποδίαν ὁλόκληρον ἀποτελέσαι. ἰστέον δέ, ὅτι τοῦτο τὸ καταληκτικὸν δίμετρον καὶ ἡμίαμβον παρ' ἡμῖν ὀνομάζεται· ἐπίσημον δέ ἐστι καὶ τοῖς παλαιοῖς Ἀνακρεόντειον λέγεται, ὡς πολλῷ αὐτῷ κεχρημένου τοῦ Ἀνακρέοντος. — Ἀκατάληκτον δέ, ὡς τὸ*

*ἢ τῶν ἀμίκτων ἐντόκῳ·*

*ὁλοκλήρους γὰρ ἔχει τὰς δύο διποδίας καὶ οὐδαμῶς καταλήγει. καὶ τοῦτο δὲ ἐπισημειοῦνται οἱ παλαιοὶ καὶ Ἀνακρεόντειον ὀνομάζουσιν. — Ὑπερκατάληκτον δὲ τοῦτο*

*ἢ μὴ φθαρεῖσα καὶ τεκοῦσα·*

*πρὸς γὰρ ταῖς δυσὶ διποδίαις πλεονάζει μιᾷ συλλαβῇ. καὶ δίμετρα μὲν ταῦτα.*

*Τρίμετρα δέ, βραχυκατάληκτον μὲν τόδε*

*ἢ τῶν ἀμίκτων ἐντόκῳ μίξις·*

*ὁλοκλήρῳ γὰρ λείπεται ποδὶ πρὸς τὸ τὴν τριμετρίαν ἀποπληρῶσαι. — Καταληκτικὸν δὲ ὡς τὸ*

*ἄνανδρε μῆτερ βάτε λαβὶς θεία·*

*μιᾷ γὰρ συλλαβῇ λείπεται πρὸς τὸ τρίμετρον ἐκτελέσαι. — Τρίμετρον ἀκατάληκτον ἕκαστον τῶν προκειμένων τεττάρων ἰαμβείων ἐστί. Καὶ ἡμεῖς μὲν περαιτέρω τοῦ ἀκαταλήκτου τριμέτρου οὐ προβαίνομεν. — Εἰσὶ δὲ καὶ τρίμετρα ὑπερκατάληκτα, ἃ μιᾷ συλλαβῇ τῶν ἐκκειμένων περιττεύουσι.*

*Καὶ ἔτι τετράμετρα βραχυκατάληκτά τε καὶ καταληκτικὰ καὶ ἀκατάληκτα καὶ ὑπερκατάληκτα, ὡς οἱ παλαιοί φασι μετρι-*

11 schol.[B] 267, 21 ‖ 12 *ἡμιάμβεια* in inepto tract. An. Chis. § 12, II[a]; *ἡμιεπές* saepius dicitur ut Mar. Vict. VI 73, 10. 119, 4 ‖ 14 *Ἀνακρεόντειον* Heph. 16, 16 ‖ 21 schol.[B] 267, 24

*17 corrupt.* videtur ‖ 30 *περαιτέρως* P ‖ 32 ἐγκειμένων P

*κοί. καὶ εὕροις ἂν χρωμένους τούτοις τούς τε κωμικοὺς καὶ τοὺς τραγικούς.*

*Τοῖς μέντοι πενταμέτροις καὶ οἱ παλαιοὶ αὐτοὶ σπανιώτερον κέχρηνται· ταύτῃ τοι καὶ περιττόν μοι δοκεῖ περὶ τούτων τι λέγειν, ἄλλως τε κἀκ τῶν ἤδη ῥηθέντων καὶ αὐτῶν δηλωθέντων.*

*Ἔστι δέ τι καὶ τὸ χωλὸν καλούμενον ἰαμβικὸν, ὃ τρίμετρον μέν ἐστι καὶ αὐτό, διαφέρει δὲ τοῦ παρ' ἡμῖν ὀρθοτάτου, παρ' ὅσον τὸ μὲν ὀρθὸν τὴν τελευταίαν βάσιν ἰάμβῳ ἢ πυρριχίῳ, ὡς εἴπομεν, ἀπαρτίζει, τὸ δὲ χωλὸν σπονδείῳ ἢ τροχαίῳ. ὅ τινες μὲν Ἀνανίου φασὶν εὕρημα, τινὲς δὲ Ἱππώνακτος. τῇ γὰρ ἄνωθεν ῥηθείσῃ ἐντυχών, φασί, γραΐ, ἥτις Ἰάμβη ἐκαλεῖτο, ἔρια ἐν τῇ θαλάσσῃ πλυνούσῃ, τῇ σκάφῃ τε πλησιάσας ἤκουσε παρ' αὐτῆς*

*ἄνθρωπ' ἄπελθε, τὴν σκάφην ἀνατρέψεις·*

*τὸν δὲ ἀκούσαντα τοῦτο ἐκ τούτου τὸν χωλὸν ἐπιτηδεύσασθαι ἴαμβον. Παράδειγμα τοῦ μὲν τροχαίῳ ἀπαρτίζοντος τὴν ἕκτην χώραν χωλοῦ ὁ ἀνωτέρω τεθεὶς χωλὸς ἴαμβος, τοῦ δὲ σπονδείῳ τὸ ἐπὶ τῷ Ἱππώνακτι γεγραμμένον παρὰ τοῦ Θεοκρίτου* (Anth. Pal. 13, 3) *ἐπίγραμμα· ἐκ χωλῶν γάρ ἐστιν ἰάμβων·*

*ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.*
*εἰ μὲν πονηρός, μὴ προσέρχου τῷ τύμβῳ·*
*εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,*

*καὶ τὰ ἑξῆς. Τοσαῦτα περὶ τοῦ ἰαμβικοῦ.*

## Cap. II.

## *β'. Περὶ τροχαϊκοῦ.*

*Εὔλογος δὲ ἡ τάξις μετὰ τὸ ἰαμβικὸν μέτρον τὸ τροχαϊκὸν τετάχθαι, ὅτι τε, ὡς ἔφαμεν, μετὰ ἴαμβον δισύλλαβος ποὺς μόνος ὁ τροχαῖος μέτρον ἀποτελεῖ καὶ ὅτι ἀντιπαθὴς καὶ οἷον ὑπεναντίος τῷ ἰάμβῳ ὁ τροχαῖος, ὅτι ὁ μὲν ἐκ βραχείας συντέθειται καὶ μακρᾶς ὁ ἴαμβος, ὁ δὲ τροχαῖος ἔμπαλιν ἐκ μακρᾶς καὶ βραχείας. ταύτῃ καὶ εἰ ἀφέλῃς ἐκ τοῦ ἰαμβικοῦ τριμέτρου καθα-*

10 Heph. 17, 2 ‖ 11 Choer. 214, 13 ‖ 28 *ἀντιπαθής*] schol.[A] 121, 19. Choer. 230, 6; cf. praeterea schol.[B] (lib. II) 258, sed epiplocen Tr. non nominat

10 *σπονδείῳ* corr. ex *ἰάμβῳ* P ‖ 16 *παραδείγματα* *P* ‖ 17 Trichae error. ‖ 31 *εἰ*] *ἐὰν* Jung

τοῦτο καὶ ἰθυφαλλικὸν ὀνομάζεται διὰ τὸ ἐπὶ . . . . . . οὗ χάριν καὶ ὁ ἰθύφαλλος παραλαμβάνεται. ἔστι δὲ ἐκ τριῶν τροχαίων. — Καταληκτικὸν δὲ

ἀμερίων τληπόνων.

καὶ τοῦτο ἐπισημότατόν ἐστι καὶ Εὐριπίδειον λέγεται. — Ἀκατάληκτον δὲ

ἐξ ἰλύος αἰθέριον.

δίμετρον δὲ ὑπερκατάληκτον μὲν

καλλίπαι θεοῖο νύμφα μοι.

Τρίμετρα δὲ πάλιν, βραχυκατάληκτον μὲν

βασίλεια καλλίπαι θεοῖο.

καταληκτικὸν δὲ

ἃ χοροῖς εὐαγέεσσιν ἀγγέλων.

τοῦτο δὲ τὸ καταληκτικὸν τρίμετρον, ὃ δὴ καὶ Ἀρχιλόχειον λέγεται, ὡς Ἀρχιλόχου τοῦ ποιητοῦ κατακόρως αὐτῷ χρησαμένου, ἀκέφαλος καλεῖται ἴαμβος, ὅτι, ἐὰν κατὰ τὴν ἀρχὴν μία συλλαβὴ αὐτῷ προστεθῇ, ἴαμβος γενήσεται τρίμετρος ἀκατάληκτος. — Καὶ καταληκτικὸν μὲν τροχαϊκὸν τὸ ῥηθέν, ἀκατάληκτον δὲ τρίμετρον

ἐξ ἰλύος αἰθέριον ἀμβιβάσασ'.

ὑπερκατάληκτον δὲ

(65) βασίλεια καλλίπαι θεοῖο νύμφα μοι.

καὶ τρίμετρα μὲν ταῦτα.

Τετράμετρα δέ, βραχυκατάληκτον μὲν

ἀμερίων τληπόνων καινῶς ἐνήλασάς με.

τετράμετρα δὲ καταληκτικὰ τροχαϊκά, ἃ καὶ ἐπισημότατα ἔφαμεν εἶναι, τὰ προεκτεθέντα τροχαϊκά. — Καὶ ἡμεῖς μὲν μέχρι τούτων ἔστημεν· εἰσὶ δέ, ὡς ἔφαμεν, καὶ ἀκατάληκτα τετράμετρα τὰ συλλαβῇ μιᾷ τῶν προκειμένων περιττεύοντα. ταῦτα δὲ καὶ Ἀνακρέων ἐπιτηδεύει, ἐπίσημα καὶ αὐτὰ ὄντα. — Εἰσὶ δὲ καὶ ὑπερκατάληκτα τετράμετρα, ἃ δυσὶ συλλαβαῖς πλεονάζει τῶν ἐκκειμένων ἐπῶν.

Οὐ μὴν ἀλλὰ καὶ τῷ καταληκτικῷ πενταμέτρῳ, καίπερ

16 ἀκέφαλον ἴαμβον schol.[B] (lib. III) 269, 25 et HN apud Heph. 18, 12

1 post ἐπὶ in *PK* ἀμ; cf. schol.[A] p. 124, 2 ἰθυφαλλικόν, ἐπειδὴ τῷ ῥυθμῷ τούτῳ ἐκέχρηντο ἐν τῇ πομπῇ τοῦ ἰθυφάλλου; ἐπι⟨λαμβάνεσθαι ἐν ταῖς ἑορταῖς τοῦ Ἰάκχου⟩ tempt. Jung ‖ 9 μοι νύμφα *PK* ‖ 26 cf. schol.[A] 120, 3

οὕτως ἐνταῦθα τὸν δάκτυλον ἐν ταῖς περιτταῖς, ὡς ἀπὸ μακρᾶς ἀρχόμενον καὶ τέως κατὰ τοῦτο οἰκειούμενον τῷ τροχαίῳ. Πλὴν ὥσπερ ἐκεῖ τοὺς ἄλλους μὲν πόδας παρὰ τοῖς νεωτέροις ἔφαμεν παρεᾶσθαι, μόνον δὲ τὸν ἴαμβον ἐν ταῖς ἀρτίαις, καὶ τὸν σπονδεῖον ἢ τὸν ἴαμβον ἐν ταῖς περιτταῖς χώραις παραλαμβάνεσθαι, ἐν δὲ τῇ τελευταίᾳ καὶ τὸν πυρρίχιον, οὕτω κἀνταῦθα ἐν μὲν ταῖς περιτταῖς τὸν τροχαῖον μόνον, ἐν δὲ ταῖς ἀρτίαις τὸν τροχαῖον ἢ τὸν σπονδεῖον δεχόμεθα.

Τοιαῦτα καὶ τὰ προκείμενα μέτρα· καθόλου γὰρ τὸ ἐν ἑκάστῳ μέτρῳ τοῖς ὁμωνύμοις πλεονάζον ποσὶν ἐπαινετόν, οἷον ἐν ἰαμβικῷ μὲν μέτρῳ ἰάμβοις, ἐν δὲ τροχαϊκῷ τροχαίοις, ἐν δὲ δακτυλικῷ δακτύλοις, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· τὸ δὲ καὶ διόλου τοῖς ὁμωνύμοις μόνοις χρῆσθαι πολλῷ ἀξιεπαινετώτερον· καθαρὸν γὰρ τότε τὸ μέτρον λέγεται.

Εἰσὶ δὲ τὰ προκείμενα μέτρα τροχαϊκὰ τετράμετρα καταληκτικά· βαίνονται γὰρ καὶ ταῦτα κατὰ διποδίαν, διὰ τὸ ἐκ δισυλλάβων ὡς τὰ πολλὰ συγκεῖσθαι ποδῶν. ὥσπερ δὲ ἐν τοῖς ἰαμβικοῖς ἐπισημότατον καὶ περιφανέστατόν ἐστι τὸ ἀκατάληκτον τρίμετρον, οὕτως ἐν τοῖς τροχαϊκοῖς τὸ καταληκτικὸν τετράμετρον. κέχρηται γὰρ αὐτῷ καὶ Εὐριπίδης ἔν τε πολλοῖς τῶν αὐτοῦ δραμάτων καὶ ἔτι καθαρώτερον ἐν Ὀρέστῃ. ἐπιτηδείως τοῦτο πολλαχοῦ καὶ Σοφοκλῆς καὶ Ἀριστοφάνης καὶ διάφοροι ἕτεροι. διὰ γοῦν τὸ ἐπισημότατον εἶναι καὶ νῦν ἡμῖν χάριν παραδείγματος εἴληπται.

Εἰσὶ δὲ καὶ ἐν τούτῳ τῷ μέτρῳ μονόμετρά τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα, καταληκτικὰ καὶ ἀκατάληκτα, βραχυκατάληκτα καὶ ὑπερκατάληκτα.

Μονόμετρον μὲν οὖν τροχαϊκὸν βραχυκατάληκτον ὡς τοῦτο
ὕψος.
καταληκτικὸν δὲ
καλλίπαι.
ἀκατάληκτον μονόμετρον
βασίλεια.
ὑπερκατάληκτον
τληπόνων καινῶν.
καὶ μονόμετρα μὲν ταῦτα.

Δίμετρα δέ, βραχυκατάληκτον μὲν τὸ
καλλίπαι θεοῖο.

11 δὲ] δὲ τῷ P | ἐν δὲ] καὶ ἐν K ‖ 28 μὲν om. K | βραχυκατάληκτον τροχαικὸν K ‖ 35 καινῶς 363, 16

τοῦτο καὶ ἰθυφαλλικὸν ὀνομάζεται διὰ τὸ ἐπὶ . . . . . . οὗ χάριν καὶ ὁ ἰθύφαλλος παραλαμβάνεται. ἔστι δὲ ἐκ τριῶν τροχαίων. — Καταληκτικὸν δὲ

ἀμερίων τληπόνων.

καὶ τοῦτο ἐπισημότατόν ἐστι καὶ Εὐριπίδειον λέγεται. — Ἀκατάληκτον δὲ

ἐξ ἰλύος αἰθέριον.

δίμετρον δὲ ὑπερκατάληκτον μὲν

καλλίπαι θεοῖο νύμφα μοι.

Τρίμετρα δὲ πάλιν, βραχυκατάληκτον μὲν

βασίλεια καλλίπαι θεοῖο.

καταληκτικὸν δὲ

ἃ χοροῖς εὐαγέεσσιν ἀγγέλων.

τοῦτο δὲ τὸ καταληκτικὸν τρίμετρον, ὃ δὴ καὶ Ἀρχιλόχειον λέγεται, ὡς Ἀρχιλόχου τοῦ ποιητοῦ κατακόρως αὐτῷ χρησαμένου, ἀκέφαλος καλεῖται ἴαμβος, ὅτι, ἐὰν κατὰ τὴν ἀρχὴν μία συλλαβὴ αὐτῷ προστεθῇ, ἴαμβος γενήσεται τρίμετρος ἀκατάληκτος. — Καὶ καταληκτικὸν μὲν τροχαϊκὸν τὸ ῥηθέν, ἀκατάληκτον δὲ τρίμετρον

ἐξ ἰλύος αἰθέριον ἀμβιβάσασ'.

ὑπερκατάληκτον δὲ

βασίλεια καλλίπαι θεοῖο νύμφα μοι.

καὶ τρίμετρα μὲν ταῦτα.

Τετράμετρα δέ, βραχυκατάληκτον μὲν

ἀμερίων τληπόνων καινῶς ἐνήλασάς με.

τετράμετρα δὲ καταληκτικὰ τροχαϊκά, ἃ καὶ ἐπισημότατα ἔφαμεν εἶναι, τὰ προεκτεθέντα τροχαϊκά. — Καὶ ἡμεῖς μὲν μέχρι τούτων ἔστημεν· εἰσὶ δέ, ὡς ἔφαμεν, καὶ ἀκατάληκτα τετράμετρα τὰ συλλαβῇ μιᾷ τῶν προκειμένων περιττεύοντα. ταῦτα δὲ καὶ Ἀνακρέων ἐπιτηδεύει, ἐπίσημα καὶ αὐτὰ ὄντα. — Εἰσὶ δὲ καὶ ὑπερκατάληκτα τετράμετρα, ἃ δυσὶ συλλαβαῖς πλεονάζει τῶν ἐκκειμένων ἐπῶν.

Οὐ μὴν ἀλλὰ καὶ τῷ καταληκτικῷ πενταμέτρῳ, καίπερ

16 ἀκέφαλον ἴαμβον schol.[B] (lib. III) 269, 25 et HN apud Heph. 18, 12

1 post ἐπὶ in *PK* ἀμ; cf. schol.[A] p. 124, 2 ἰθυφαλλικόν, ἐπειδὴ τῷ ῥυθμῷ τούτῳ ἐκέχρηντο ἐν τῇ πομπῇ τοῦ ἰθυφάλλου· ἐπι⟨λαμβάνεσθαι ἐν ταῖς ἑορταῖς τοῦ Ἰάκχου⟩ tempt. Jung ‖ 9 μοι νύμφα *PK* ‖ 26 cf. schol.[A] 120, 3

ὑπερμέτρῳ ὄντι, πολλοὶ χρώμενοι εὕρηνται· καὶ Καλλίμαχος μᾶλλον· διὸ καὶ Καλλιμάχειον λέγεται. ἔστι δὲ τοιοῦτον οἷον τὸ

ἃ χοροῖς εὐαγέεσσιν ἀγγέλων οὐρανίων ἐνήλασας.

Ἐπισημότατόν ἐστι παρὰ ταῦτα καὶ τὸ **χωλὸν** τετράμετρον καταληκτικόν, ὃ χωλὸν καλεῖται διὰ τὸ τὴν ἑβδόμην χώραν, περιττὴν οὖσαν καὶ δεχομένην τροχαῖον ἢ χορεῖον ὡς ἔφαμεν, ἀπαρτίζειν σπονδείῳ, ὥσπερ καὶ τὸ χωλὸν ἰαμβικόν, διὰ τὸ σπονδεῖον ἢ τροχαῖον ἐν τῇ τελευταίᾳ δέχεσθαι βάσει. τούτου τοῦ τετραμέτρου καταληκτικοῦ χωλιαμβικοῦ παράδειγμα ὁ προκείμενος χωλὸς τροχαῖος ὁ

ἐξ ἰλύος αἰθέριον ἀμβιβάσασ᾽ εἰς ὕψος.

## Cap. III.

### γ΄. Περὶ δακτυλικοῦ.

Διαλαβόντες περὶ τῶν ἐκ δισυλλάβων ποδῶν ἀποτελουμένων μέτρων, τοῦ ἰαμβικοῦ δηλαδὴ καὶ τοῦ τροχαϊκοῦ, ἐπὶ τὰ τελεώτερα χωροῦντες ἐφεξῆς καὶ περὶ τῶν ἐκ τρισυλλάβων ποδῶν συγκειμένων μέτρων διαληψόμεθα. εἰσὶ δὲ καὶ ταῦτα δύο τὰ καθολικά, τό τε δακτυλικόν, τὸ καὶ ἡρῷον καλούμενον, καὶ τὸ ἀναπαιστικόν. Προτάττεται μέντοι τοῦ ἀναπαιστικοῦ τὸ δακτυλικὸν διὰ τὸ ἐνδοξότερόν τε εἶναι καὶ γνωριμώτερον καὶ προσέτι τῶν μέτρων τῶν λοιπῶν ἀρχαιότερον· πρότερον γὰρ παρὰ τοῦ πυθικοῦ τρίποδος εὕρηται. — Καλεῖται δέ, ὡς ἔφαμεν, καὶ ἡρωϊκὸν ἢ διὰ τὸ εἶναι τῶν λοιπῶν, ὡς εἴπομεν, προγενέστερον, καθὸ καὶ ἥρωας τοὺς παλαιοὺς ἐκείνους ἀνθρώπους λέγομεν, ἢ παρ᾽ ὅσον τὰ τῶν ἡρώων ἔργα διὰ τοῦ τοιούτου μέτρου Ὅμηρος καὶ οἱ λοιποὶ τῶν ποιητῶν διεξήεσαν. ὀνομάζεται δὲ καὶ πυθικὸν καὶ ἔπος καὶ ἑξάμετρον, ὡς εἶναι τὰς πάσας αὐτοῦ ὀνομασίας πέντε. Δέχεται δὲ τὸ δακτυλικὸν μέτρον κατὰ πάσας τὰς χώρας ἀδιαφόρως τὸν ὁμώνυμον αὐτοῦ δάκτυλον καὶ τὸν σπονδεῖον, ἐν δὲ τῇ τελευταίᾳ, ὅτε καταληκτικόν ἐστιν εἰς δισύλλαβον, τροχαῖον ἢ σπονδεῖον. — Βαίνεται δέ, τουτέστι ποδίζεται καὶ μετρεῖται, τὸ δακτυλικὸν μέτρον κατὰ μονοποδίαν, διότι ἐκ τρισυλλάβων μάλιστα καὶ κυριωτέρως ἥρμοσται ποδῶν· ἔφαμεν δέ,

2 Καλλιμάχειον schol.[A] 123, 20; τὸ τοῦ Καλλιμάχου Heph. 19, 1

6 χορεῖον Jung coll. schol.[B] 271, 19, σπονδεῖον *PK* ‖ 19 προτέταται *P* ‖ 29 αὐτῶ *K* ‖ 33 ἔφαμεν cf. 368, 1

*ὡς μόνα τὰ ἐκ δισυλλάβων ποδῶν συγκείμενα μέτρα κατὰ διποδίαν μετρεῖται. — Αὔξεται δὲ μέχρι ποδῶν ἕξ.*

*Καὶ ἔστιν ἐν αὐτῷ περιφανέστατον καὶ ἐπισημότατον τὸ ἑξάμετρον δακτυλικὸν καταληκτικὸν εἰς δισύλλαβον, οἷά εἰσι τά τε Ὁμήρου καὶ Ἡσιόδου καὶ τῶν λοιπῶν ποιητῶν, καὶ δὴ καὶ τὰ προκείμενα μέτρα. — Ὑφίστησι δὲ τὸ δακτυλικὸν μέτρον κατὰ ἀφαίρεσιν ⟨καὶ πρόσθεσιν⟩ μόνα δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα καὶ ἑξάμετρα, καταληκτικὰ εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτα. ὑπερκατάληκτα γὰρ ἢ βραχυκατάληκτα μέτρα οὐκ ἔχει ὅλως τὸ παρὸν μέτρον, καθὰ τὸ ἰαμβικὸν καὶ τροχαϊκόν· ἐπεὶ μηδὲ ἐγχωρεῖ ὅλως. τὸ γὰρ δίμετρον φέρε εἰπεῖν ὑπερκατάληκτον οἷον τὸ*

*ὦ τὸν παντογόνου,*

*ἐπειδὴ κατὰ μονοποδίαν μετρεῖται τὸ μέτρον, τίνος χάριν μὴ τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν ὀνομασθήσεται; ὁμοίως δὲ καὶ τὸ*

*υἱέα παμμεδέοντα,*

*εἴ τις ἠξίου λέγειν βραχυκατάληκτον τρίμετρον, τί μᾶλλον μὴ τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον ἐροῦμεν αὐτό; καὶ ἐπὶ τῶν ἑξῆς ὡσαύτως.*

*Οὐ μὴν ἀλλ' οὐδὲ μονόμετρα ὅλως ἔχει τὸ προκείμενον μέτρον· συνέμπτωσις γὰρ ἂν ἐγίνετο τῷ δακτυλικῷ πρὸς τὰ ἰαμβικὰ καὶ τροχαϊκά. οἷον τὸ μονόμετρον δακτυλικόν, φέρε εἰπεῖν, εἰ μὲν σπονδεῖος ἦν, ἐδόκει καὶ ἰαμβικόν, εἰ δὲ δάκτυλος, ὠνομάζετ' ἂν καὶ τροχαϊκὸν καταληκτικόν. ὥστε μόναι αἱ τῶν ῥηθέντων καταλήξεις εἰσί.*

*Καὶ δὴ δίμετρον μὲν καταληκτικὸν εἰς δισύλλαβον, ὡς τοῦτο*

*παμμεδέοντα.*

*καταληκτικὸν γὰρ εἰς συλλαβὴν δίμετρον οὐκ ἐγχωρεῖ γενέσθαι διὰ τὴν αἰτίαν, ἣν λέγομεν, ἵνα μὴ τῷ τροχαϊκῷ καὶ ἰαμβικῷ τὸ δακτυλικὸν συνεμπέσοι. ἀκατάληκτον δέ, ὡς τοῦτο*

*ἐκ καθαρῶν τέκες.*

*Τρίμετρα δὲ καταληκτικὰ μὲν εἰς συλλαβὴν*

*ὦ τὸν παντογόνου.*

*τοῦτο δὲ ἐπισημότατον καὶ πενθημιμερὲς Ἀρχιλόχειον λέγεται,*

7 *ἀφαίρεσιν καὶ πρόσθεσιν* scripsi, *ὑφαίρεσιν* *PK* ‖ 29 *παμμεδέοντος* *PK* ‖ 30 *δίμετρον*] *τρίμετρον* *P* ‖ 31 *τῷ* om. P ‖ 32 *συνεμπέσῃ* Jung ‖ 36 *καὶ π. καὶ Ἀρχιλ.* schol.[B] 272, 20

ὅτι ἐκ δύο ἥμισυ σύγκειται ποδῶν, οἳ τοῦ πέντε εἰσὶν ἥμισυ. — Καταληκτικὸν δὲ εἰς δισύλλαβον τὸ

νιέα παμμεδέοντα.

ἀκατάληκτον δὲ τοῦτο

ἐκ καθαρῶν λαγόνων τέκες.

Τετράμετρον δὲ καταληκτικὸν μὲν εἰς συλλαβὴν

νιέα παμμεδέοντα λόγον.

καὶ τοῦτο ἐπισημότατόν ἐστιν ἑφθημιμερὲς καλούμενον, ὅτι ἐκ τριῶν ἥμισυ ποδῶν σύγκειται, οἳ εἰσιν ἥμισυ τοῦ ἑπτά· ὡς καὶ τὸ πενθημιμερές, παρόσον ἐκ δύο ἥμισυ. τοῦτο δὲ τὸ ἑφθημιμερὲς Ἀλκμανικὸν καλεῖται, ὅτι πολλαχοῦ κατακόρως Ἀλκμὰν τούτῳ κέχρηται. τετράμετρον οὖν καταληκτικὸν εἰς συλλαβὴν ἐστι τὸ ῥηθὲν ἑφθημιμερές. — Εἰς δὲ δισύλλαβον καταληκτικὸν τετράμετρον τοῦτο

ἐκ καθαρῶν λαγόνων τέκες ἁγνά.

καὶ τοῦτο ἐπισημότατόν ἐστι καὶ Ἀρχιλόχειον ὀνομάζεται. — Ἀκατάληκτον δὲ τετράμετρον

νιέα παμμεδέοντα λόγον τέκες.

ἔνδοξόν ἐστι καὶ τοῦτο Ἀρχιλόχῳ καὶ Ἀλκμᾶνι πολλαχοῦ κεχρημένον. τετράμετρα μὲν οὖν ταῦτα.

Πεντάμετρα δέ, καταληκτικὸν μὲν πάλιν εἰς συλλαβήν, ὡς τὸ

ἃ τὸν παντογόνου αἰωνοτόκου·

εἰς δὲ δισύλλαβον

νιέα παμμεδέοντα λόγον κόσμοιο.

τοῦτο δὲ καὶ Σιμμίειον καλεῖται, ὡς τοῦ Ῥοδίου Σιμμίου πολλαχῶς αὐτῷ χρησαμένου. — Ἀκατάληκτον πεντάμετρον ὡς τόδε

ἐκ καθαρῶν λαγόνων τέκες ἁγνὰ παρθένε.

Ἑξάμετρον δέ, εἰς συλλαβὴν μὲν καταλῆγον τὸ

ἃ τὸν παντογόνου αἰωνοτόκοιο λόγον.

Ἑξάμετρα δὲ καταληκτικὰ εἰς δισύλλαβον τὰ προκείμενα τρία ἔπη. Ἀκατάληκτον δὲ ἑξάμετρον ὡς τὸ

νιέα παμμεδέοντα λόγον κόσμου γενετῆρά γε.

καὶ παρ' Ὁμήρῳ (Γ 237) τὸ

Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.

καὶ περαιτέρω τούτων οὐχ εὕρηταί τις προβαίνων.

34 hoc exempl. non est in schol.[B] lib. III, sed versus ut δολιχόουρος vel synizesi sanatus non raro affertur velut schol.[B]

1 αἳ *PK* ‖ 9 αἳ *PK* ‖ 12 τοῦτο *P* ‖ 19—20 κεχρημένοις Jung

τοῦτο δὲ τὸ ἀκατάληκτον πεντάμετρον καὶ Σαπφικὸν τεσσαρεσκαιδεκασύλλαβον ὀνομάζεται διὰ τὸ τὴν Σαπφὼ ὁλόκληρα ᾄσματα γράψαι τούτῳ τῷ μέτρῳ.

Καὶ ἑξάμετρα μέν εἰσι, καταληκτικὰ μὲν εἰς συλλαβὴν ὡς τὸ

ἴσον μοί τε φανέντα ἁμαρτάδος ἔκτοθι γάρ.

Εἰς δὲ δισύλλαβον καταληκτικὸν ἕκαστος τῶν ἐκτεθέντων τριῶν στίχων· ἃ καὶ διὰ τὸ ἀξιοζηλωτότατα εἶναι τοιαῦθ' ἡμῖν παρελήφθησαν εἰς παράδειγμα. τὸ περαιτέρω δὲ τούτων προβαίνειν οὔτε τοὺς παλαιοὺς εὕρομεν ποιουμένους καὶ ἡμῖν, οἶμαι, περιττόν, ἱκανῶν ὄντων τῶν ἤδη ῥηθέντων. — Τοσαῦτα καὶ περὶ τοῦ δακτυλικοῦ. Αἰολικοῦ.

Περὶ λογαοιδικοῦ. Τὸ δὲ λοιπὸν εἶδος τοῦ δακτυλικοῦ τὸ καλούμενον λογαοιδικὸν δακτυλικόν, ἀντιπαθὲς καὶ οἷον ὑπεναντίον ἐστὶ τῷ Αἰολικῷ. τὸ μὲν γὰρ καταρχὰς ἕνα
3) τῶν δισυλλάβων ἐδέχετο, τοῦτο δὲ κατὰ τὸ τέλος, πλὴν οὐκ ἀδιαφόρως τὸν τυχόντα, ὡς ἐκεῖνο, ἀλλ' ὡρισμένως διποδίαν τροχαϊκήν· ἐν δὲ τῇ ἀρχῇ δακτύλους δύο ἢ τρεῖς ἢ τέσσαρας. Ὀνομάζεται δὲ τὸ τοιοῦτον μέτρον λογαοιδικόν, ὅτι ἐκ δακτύλων σύγκειται καὶ τροχαίων. ἔστι δὲ ὁ μὲν δάκτυλος ἀοιδοῖς καὶ ποιηταῖς προσφορώτατος, ὁ δὲ τροχαῖος λογογράφοις. διὰ τοῦτο καὶ Ἑρμογένης ἐν ταῖς Ἰδέαις περὶ καθαρότητος διδάσκων λέγει καθαρὰν εἶναι συνθήκην τὴν λογοειδῆ, λογοειδῆ λέγων τὴν ἐξ ἰάμβων καὶ τροχαίων συντεθειμένην. οἱ γὰρ πεζοὶ λόγοι ἐκ τοιούτων ὡς τὰ πολλὰ ποδῶν αὐτομάτως σύγκεινται.

Ἔστι μὲν ἐπισημότατα ἐν τούτῳ τῷ μέτρῳ, ὡς καὶ Ἡφαιστίων φησί, τά τε τρίμετρα ἀκατάληκτα, τὰ πρὸς δυσὶ ποσὶ δακτυλικοῖς μίαν ἔχοντα τροχαϊκὴν διποδίαν, ἃ καὶ Ἀλκαϊκὰ καλεῖται, ὡς τοῦ Ἀλκαίου κατακόρως αὐτοῖς χρησαμένου, οἷόν ἐστι τὸ

καὶ θεὸν ἀμερίοις βροτοῖσι·

καὶ προσέτι τὰ τετράμετρα ἀκατάληκτα, τὰ πρὸς τρισὶ δακτυλικοῖς ποσὶ μίαν ἔχοντα τροχαϊκὴν διποδίαν, ἃ καὶ Πραξίλλεια

22 Hermog. in RhG II 279, 21 (Speng.) ‖ 28 Heph. 24, 3

1—2 *τεσσαρεσκαιδέκατον P* ‖ 21 *ἀοιδοῖς* Jung, *ἀοιδαῖς PK* ‖ 24 *λέγων*] *λεγ* cum ligatura incerta *P*

λέγεται, ἅτε τῆς ποιητρίας Πραξίλλης ἐν πολλῷ χρησαμένης τῷ τοιούτῳ μέτρῳ, οἷόν ἐστι τὸ

ἀνίδεον θεότητα λόγοισιν ἄμμιν.

Ἡμεῖς μέντοι, διὰ τὸ μακρότερον εἶναι τὸ πεντάμετρον, ἄλλως τε καὶ περιέχειν καὶ τὰ τρίμετρα καὶ τὰ τετράμετρα, ἐπετηδευσάμεθά τε αὐτὸ καὶ εἰς παράδειγμα προτεθείκαμεν· εἰσὶ γὰρ τὰ προκείμενα τρία ἔπη λογαοιδικὰ πεντάμετρα ἀκατάληκτα, ἐκ (274) τεσσάρων δακτύλων ἢ σπονδείων καὶ μιᾶς τροχαϊκῆς διποδίας. — Ταῦτα δὲ ἐπειδὴ μὴ κατὰ μονοποδίαν ἐπὶ τῷ τέλει μετρεῖται, ὡς ἔφαμεν, διὰ τὸ δέχεσθαι τοὺς τροχαίους δισυλλάβους ὄντας, ἀπόθεσιν μὲν ἤτοι κατάληξιν καταληκτικὴν εἰς δισύλλαβον οὐχ ἕξει, ὡς οὐδὲ τὰ τροχαϊκὰ ἢ ἰαμβικά· ἕξει δὲ ἀκατάληκτον μόνην καὶ ὑπερκατάληκτον.

Οὐ μὴν ἀλλ' οὐδὲ μονόμετρον ὅλως ἕξει διὰ τὰς αἰτίας, ἃς εἴπομεν ἐν τῷ περὶ τοῦ δακτυλικοῦ· οὐδὲ δίμετρον βραχυκατάληκτον ἢ καταληκτικόν, ἵνα μὴ πάλιν τῷ δακτυλικῷ συνεμπέσῃ. ἀκατάληκτον οὖν δίμετρόν ἐστι τόδε

ἀνίδεον φανέντα·

ὑπερκατάληκτον δὲ τὸ τούτου μιᾷ συλλαβῇ πλεονάζον ὡς τὸ

ἀνίδεον φανέντα γε.

Τρίμετρον δὲ βραχυκατάληκτον μὲν οὐκ ἔσται, ἵνα μὴ πάλιν τῷ δακτυλικῷ συνεμπέσῃ, οὐδὲ καταληκτικὸν διὰ τὸ αὐτὸ τοῦτο, μόνον δὲ ἀκατάληκτον καὶ ὑπερκατάληκτον. Καὶ ἀκατάληκτον μὲν τοῦτο

καὶ θεὸν ἀμερίοις βροτοῖσι.

τοῦτο δὲ καὶ Ἀλκαϊκόν, ὡς ἔφαμεν, λέγεται. Ὑπερκατάληκτον δὲ τὸ τούτου μιᾷ συλλαβῇ πλεονάζον ὡς τὸ

καὶ θεὸν ἀμερίοις βροτοῖσί γε.

Καὶ τετράμετρα καὶ πεντάμετρα ὡσαύτως μόνα ἀκατάληκτα καὶ ὑπερκατάληκτα ἔσονται διὰ τὰς αἰτίας, ἃς εἴπομεν πολλάκις. καὶ τετράμετρον μὲν ἀκατάληκτον, ὃ καὶ Πραξίλλειον, ὡς ἔφαμεν (379, 34) ὀνομάζεται, τὸ

ἀνίδεον θεότητα λόγοισι θείοις. (27

Ὑπερκατάληκτον δὲ τὸ τούτου συλλαβῇ μιᾷ πλεονεκτοῦν. Πεντά-

9 duo quae antecedunt genera desumpsit ex Heph. et schol.[B]; iam suum sequitur ordinem

1 ποιητρείας *P* ‖ 5 τε et τὰ (pr.) om. *P* ‖ 21 τρίμετρα *K* ‖ 22 συνεμπέσοι *K*

μετρα δὲ ἀκατάληκτα τὰ προκείμενα τρία ἔπη. Ὑπερκατάληκτα δὲ τὰ ἐφ' ἑκάστῳ τούτων καὶ μίαν συλλαβὴν ἔχοντα ἐπέκεινα. — Καὶ περὶ μὲν τοῦ λογαοιδικοῦ τοσαῦτα.

## Cap. IV.

### δ'. Περὶ ἀναπαιστικοῦ.

Μετὰ τὸ περὶ τοῦ δακτυλικοῦ, τοῦ τε κυρίως καὶ τῶν εἰδῶν τούτου, διαλαβεῖν εὔλογον ἂν εἴη καὶ περὶ τοῦ ἀναπαιστικοῦ μέτρου διδάξαι. ὡς γὰρ ὁ τροχαῖος καὶ τὸ ἐκ τούτου μέτρον ἀντιπαθὲς ἦν τῷ ἰάμβῳ ἐν πᾶσιν, ὡς ἔφαμεν, οὕτω καὶ ὁ ἀνάπαιστος, ὅν τινες ὡς εἴπομεν καὶ ἀντιδάκτυλον καλοῦσι, τῷ δακτύλῳ. πάλιν γὰρ κἀνταῦθα μιᾶς συλλαβῆς προστεθείσης ἢ ἀφαιρεθείσης τοῦ δακτυλικοῦ στίχου γίνεται ἀναπαιστικὸς καὶ ἔμπαλιν οἷον

καὶ σὺ μάκαιρα.

Τὸ τοίνυν ἀναπαιστικὸν μέτρον καθολικὸν καὶ γενικόν ἐστι, καθὰ καὶ τὸ δακτυλικόν. καὶ τὸ μὲν αὐτοῦ ἐστι τὸ καθαρὸν ἀναπαιστικόν, ὅπερ κατὰ πᾶσαν χώραν ⏑⏑– ἀνάπαιστον δέχεται καὶ –– σπονδεῖον, σπανίως δὲ καὶ ⏑⏑⏑⏑ προκελευσματικόν, ὅς ἐστιν ἐκ τεσσάρων βραχειῶν, καὶ –⏑⏑ δάκτυλον· τὸ δὲ Αἰολικὸν ἀναπαιστικόν, ὅπερ ἴαμβον δέχεται ἕνα ἐν τῇ ἀρχῇ, τοὺς δὲ
6) λοιποὺς ὁμοίως τῷ κυρίως ἀναπαιστικῷ· τὸ δ' ἄλλο λογαοιδικόν ἐστιν ἀναπαιστικόν, ὅπερ ἐπὶ τέλει οὐ τροχαϊκὴν διποδίαν, ἀλλ' ἴαμβον ἕνα δέχεται καὶ μίαν συλλαβὴν μακρὰν ὡς ἐπὶ πολὺ ἢ βραχεῖαν, ὡς εἶναι τὸν τελευταῖον πόδα ἢ ⏑–⏑ ἀμφίβραχυν, ἐὰν βραχεῖά ἐστιν ἡ τελευταία συλλαβή, ἢ ⏑–– βακχεῖον, ἐὰν μακρά, ὃ δὴ καὶ ὡς ἐπὶ τὸ πλεῖστον ὡς ἔφαμεν γίνεται. ἔστι γὰρ ὁ μὲν ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, οἷον 'ἔγωγε', ὁ δὲ βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν. Ὡς δὲ ὁ δάκτυλος οἰκειοῦται τῷ τροχαίῳ ὡς ἀπὸ μακρᾶς ἀρχομένῳ καὶ λήγοντι εἰς βραχεῖαν καθὰ καὶ αὐτὸς ὁ δάκτυλος, οὕτω καὶ ὁ ἀνάπαιστος οἰκεῖός ἐστι τῷ ἰάμβῳ, ὡς ἀπὸ βραχείας ἀρχομένῳ ὁμοίως αὐτῷ. διὰ τοῦτο τὸ μὲν δακτυλικὸν λογαοιδικὸν ἐπὶ τέλει τροχαϊκὴν ἐδέχετο διποδίαν, τὸ δὲ ἀναπαιστικὸν λογαοιδι-

19 et cod. H ap. Heph. 24, 15 et schol.[B] 275, 18 male hic add. ἴαμβον

2 καὶ del. Jung ‖ 14 fort. initio add. ⟨'σὺ μάκαιρα' καὶ⟩

λέγεται, ἅτε τῆς ποιητρίας Πραξίλλης ἐν πολλῷ χρησαμένης τῷ τοιούτῳ μέτρῳ, οἷόν ἐστι τὸ

ἀνίδεον θεότητα λόγοισιν ἅμμιν.

Ἡμεῖς μέντοι, διὰ τὸ μακρότερον εἶναι τὸ πεντάμετρον, ἄλλως τε καὶ περιέχειν καὶ τὰ τρίμετρα καὶ τὰ τετράμετρα, ἐπετηδευσάμεθά τε αὐτὸ καὶ εἰς παράδειγμα προτεθείκαμεν· εἰσὶ γὰρ τὰ προκείμενα τρία ἔπη λογαοιδικὰ πεντάμετρα ἀκατάληκτα, ἐκ τεσσάρων δακτύλων ἢ σπονδείων καὶ μιᾶς τροχαϊκῆς διποδίας. — Ταῦτα δὲ ἐπειδὴ μὴ κατὰ μονοποδίαν ἐπὶ τῷ τέλει μετρεῖται, ὡς ἔφαμεν, διὰ τὸ δέχεσθαι τοὺς τροχαίους δισυλλάβους ὄντας, ἀπόθεσιν μὲν ἤτοι κατάληξιν καταληκτικὴν εἰς δισύλλαβον οὐχ ἕξει, ὡς οὐδὲ τὰ τροχαϊκὰ ἢ ἰαμβικά· ἕξει δὲ ἀκατάληκτον μόνην καὶ ὑπερκατάληκτον.

Οὐ μὴν ἀλλ' οὐδὲ μονόμετρον ὅλως ἕξει διὰ τὰς αἰτίας, ἃς εἴπομεν ἐν τῷ περὶ τοῦ δακτυλικοῦ· οὐδὲ δίμετρον βραχυκατάληκτον ἢ καταληκτικόν, ἵνα μὴ πάλιν τῷ δακτυλικῷ συνεμπέσῃ. ἀκατάληκτον οὖν δίμετρόν ἐστι τόδε

ἀνίδεον φανέντα·

ὑπερκατάληκτον δὲ τὸ τούτου μιᾷ συλλαβῇ πλεονάζον ὡς τὸ

ἀνίδεον φανέντα γε.

Τρίμετρον δὲ βραχυκατάληκτον μὲν οὐκ ἔσται, ἵνα μὴ πάλιν τῷ δακτυλικῷ συνεμπέσῃ, οὐδὲ καταληκτικὸν διὰ τὸ αὐτὸ τοῦτο, μόνον δὲ ἀκατάληκτον καὶ ὑπερκατάληκτον. Καὶ ἀκατάληκτον μὲν τοῦτο

καὶ θεὸν ἀμερίοις βροτοῖσι.

τοῦτο δὲ καὶ Ἀλκαϊκόν, ὡς ἔφαμεν, λέγεται. Ὑπερκατάληκτον δὲ τὸ τούτου μιᾷ συλλαβῇ πλεονάζον ὡς τὸ

καὶ θεὸν ἀμερίοις βροτοῖσί γε.

Καὶ τετράμετρα καὶ πεντάμετρα ὡσαύτως μόνα ἀκατάληκτα καὶ ὑπερκατάληκτα ἔσονται διὰ τὰς αἰτίας, ἃς εἴπομεν πολλάκις. καὶ τετράμετρον μὲν ἀκατάληκτον, ὃ καὶ Πραξίλλειον, ὡς ἔφαμεν (379, 34) ὀνομάζεται, τὸ

ἀνίδεον θεότητα λόγοισι θείοις. 93

Ὑπερκατάληκτον δὲ τὸ τούτου συλλαβῇ μιᾷ πλεονεκτοῦν. Πεντά-

9 duo quae antecedunt genera desumpsit ex Heph. et schol.[B]; iam suum sequitur ordinem

1 ποιητρείας *P* || 5 τε et τὰ (pr.) om. *P* || 21 τρίμετρα *K* || 22 συνεμπέσοι *K*

μετρα δὲ ἀκατάληκτα τὰ προκείμενα τρία ἔπη. Ὑπερκατάληκτα δὲ τὰ ἐφ' ἑκάστῳ τούτων καὶ μίαν συλλαβὴν ἔχοντα ἐπέκεινα. — Καὶ περὶ μὲν τοῦ λογαοιδικοῦ τοσαῦτα.

## Cap. IV.

### δ'. Περὶ ἀναπαιστικοῦ.

Μετὰ τὸ περὶ τοῦ δακτυλικοῦ, τοῦ τε κυρίως καὶ τῶν εἰδῶν τούτου, διαλαβεῖν εὔλογον ἂν εἴη καὶ περὶ τοῦ ἀναπαιστικοῦ μέτρου διδάξαι. ὡς γὰρ ὁ τροχαῖος καὶ τὸ ἐκ τούτου μέτρον ἀντιπαθὲς ἦν τῷ ἰάμβῳ ἐν πᾶσιν, ὡς ἔφαμεν, οὕτω καὶ ὁ ἀνάπαιστος, ὅν τινες ὡς εἴπομεν καὶ ἀντιδάκτυλον καλοῦσι, τῷ δακτύλῳ. πάλιν γὰρ κἀνταῦθα μιᾶς συλλαβῆς προστεθείσης ἢ ἀφαιρεθείσης τοῦ δακτυλικοῦ στίχου γίνεται ἀναπαιστικὸς καὶ ἔμπαλιν οἷον

καὶ σὺ μάκαιρα.

Τὸ τοίνυν ἀναπαιστικὸν μέτρον καθολικὸν καὶ γενικόν ἐστι, καθὰ καὶ τὸ δακτυλικόν. καὶ τὸ μὲν αὐτοῦ ἐστι τὸ καθαρὸν ἀναπαιστικόν, ὅπερ κατὰ πᾶσαν χώραν ∪∪– ἀνάπαιστον δέχεται καὶ –– σπονδεῖον, σπανίως δὲ καὶ ∪∪∪∪ προκελευσματικόν, ὅς ἐστιν ἐκ τεσσάρων βραχειῶν, καὶ –∪∪ δάκτυλον· τὸ δὲ Αἰολικὸν ἀναπαιστικόν, ὅπερ ἴαμβον δέχεται ἕνα ἐν τῇ ἀρχῇ, τοὺς δὲ
6) λοιποὺς ὁμοίως τῷ κυρίως ἀναπαιστικῷ· τὸ δ' ἄλλο λογαοιδικόν ἐστιν ἀναπαιστικόν, ὅπερ ἐπὶ τέλει οὐ τροχαϊκὴν διποδίαν, ἀλλ' ἴαμβον ἕνα δέχεται καὶ μίαν συλλαβὴν μακρὰν ὡς ἐπὶ πολὺ ἢ βραχεῖαν, ὡς εἶναι τὸν τελευταῖον πόδα ἢ ∪–∪ ἀμφίβραχυν, ἐὰν βραχεῖά ἐστιν ἡ τελευταία συλλαβή, ἢ ∪–– βακχεῖον, ἐὰν μακρά, ὃ δὴ καὶ ὡς ἐπὶ τὸ πλεῖστον ὡς ἔφαμεν γίνεται. ἔστι γὰρ ὁ μὲν ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, οἷον 'ἔγωγε', ὁ δὲ βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν. Ὡς δὲ ὁ δάκτυλος οἰκειοῦται τῷ τροχαίῳ ὡς ἀπὸ μακρᾶς ἀρχομένῳ καὶ λήγοντι εἰς βραχεῖαν καθὰ καὶ αὐτὸς ὁ δάκτυλος, οὕτω καὶ ὁ ἀνάπαιστος οἰκεῖός ἐστι τῷ ἰάμβῳ, ὡς ἀπὸ βραχείας ἀρχομένῳ ὁμοίως αὐτῷ. διὰ τοῦτο τὸ μὲν δακτυλικὸν λογαοιδικὸν ἐπὶ τέλει τροχαϊκὴν ἐδέχετο διποδίαν, τὸ δὲ ἀναπαιστικὸν λογαοιδι-

19 et cod. H ap. Heph. 24, 15 et schol.[B] 275, 18 male hic add. ἴαμβον

2 καὶ del. Jung ‖ 14 fort. initio add. ⟨'σὺ μάκαιρα' καὶ⟩

κὸν ἴαμβον. Ἡμεῖς δέ, ὡς ἐκ τῶν ἤδη ῥηθέντων ἐν τοῖς περὶ δακτυλικοῦ νοηθῆναι δυναμένων καὶ τούτων, τοῦ τε Αἰολικοῦ φημι ἀναπαιστικοῦ καὶ τοῦ λογαοιδικοῦ, παραδείγματα αὐτῶν οὐ τεθείκαμεν ἄνω τριῶν στίχων, ἀλλὰ μόνου ἑνός.

Ὥσπερ οὖν ἐλέγομεν, τὸ ἀναπαιστικὸν μέτρον δέχεται κατὰ πᾶσαν χώραν ἀδιαφόρως ἀνάπαιστον τὸν ὁμώνυμον τῷ μέτρῳ πόδα, ⟨καὶ⟩ σπονδεῖον, ὃς ἀνάπαιστός ἐστι δυνάμει, τῆς προτέρας αὐτοῦ λυθείσης εἰς δύο βραχείας· καὶ τούτους μὲν ὡς ἐπὶ τὸ πολὺ δέχεται, ◡◡◡◡ προκελευσματικὸν δὲ καὶ δάκτυλον ὡς ἐπ' ἔλαττον. πλὴν τὸν προκελευσματικόν, ὅς ἐστιν ἐκ τεσσάρων βραχειῶν οἷον 'ἄγε φέρε', διότι λύεται εἰς αὐτὸν ὁ ἀνάπαιστος· τοῦ γὰρ ἀναπαίστου ἡ μακρὰ συλλαβὴ εἰ λυθείη εἰς δύο βραχείας, προκελευσματικὸν ποιήσει. Προκελευσματικὸς δὲ ὁ πους οὗτος καλεῖται διὰ τὸ προκελεύειν οἱονεὶ καὶ προτίθεσθαι τῶν τετρασυλλάβων ποδῶν· ὃν τρόπον καὶ τὸν πυρρίχιον ἔνιοι ἀπὸ τοῦ προέχειν τῶν ἄλλων ποδῶν ὡς βραχύτερον οὕτως ὠνόμασαν. τὸν μὲν οὖν προκελευσματικὸν πόδα διὰ τὴν αἰτίαν ταύτην δέχεται τὸ ἀναπαιστικὸν μέτρον, τὸν δὲ δάκτυλον οἱ δραματοποιοὶ παραλαμβάνουσιν ὡς ἰσόχρονον τῷ ἀναπαίστῳ, κἂν ἀπὸ μακρᾶς οὗτος ἄρχεται. τὸ δὲ δακτυλικὸν οὐκ ἐδέχετο ὅλως τὸν ἀνάπαιστον διὰ τὴν ἐξαρχῆς τῶν βραχειῶν ἐπαλληλίαν· ἀνειμένον γὰρ ἂν καὶ χαῦνον ἐποίει τὸ μέτρον, εἰ ὅλως ἐν τῷ ἡρωϊκῷ παρελαμβάνετο ἀνάπαιστος. — Ἰστέον δὲ καὶ τοῦτο, ὡς ἔσθ' ὅτε, τῶν ὅλων μακρῶν συλλαβῶν τῶν ἀναπαιστικῶν εἰς βραχείας διαλυομένων, ἐκ προκελευσματικῶν ὁ ὅλος γίνεται στίχος, ὡς καὶ δοκεῖν τισι πυρριχιακὸν εἶναι τὸ μέτρον, ἀλλ' οὐκ ἔστιν.

Ἀποθέσεις δὲ ἤτοι καταλήξεις τὸ προκείμενον μέτρον ἔχει ἕξ, διότι καὶ κατὰ διποδίαν μετρεῖται· βραχυκατάληκτον, καταληκτικὸν εἰς συλλαβήν, καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτον, ὑπερκατάληκτον εἰς συλλαβήν, ὑπερκατάληκτον εἰς δισύλλαβον. — Μετρεῖται δὲ τὸ μὲν ἀναπαιστικὸν μέτρον καὶ κατὰ διποδίαν, τὸ δὲ δακτυλικὸν κατὰ μόνην μονοποδίαν δι' αἰτίαν τοιαύτην. οὐδέποτε μέτρον τι τὴν ἑξαμετρίαν ὑπερβαίνει. ἐπεὶ (

14—17 cf. Choer. 218, 1—3 ‖ 32—383, 7 cf. Mar. Vict. VI 75, 26 ‖ 34 schol.$^{A}$ 132, 8. Ps. Tricha (ed. Furia) 43, 8

4 ἄνω Jung, ἀνὰ *PK* ‖ 7 καὶ inser. Jung ‖ 10 πλὴν] παραλαμβάνουσι δὲ Jung | ὅς] ὡς P ‖ 25 βραχεῖαν PK

31) Cap. V.

ε'. *Περὶ χοριαμβικοῦ.*

*Ἐκ τῶν ποδῶν τὰ μέτρα συνίσταται. ἐπεὶ δὲ τῶν ποδῶν οἱ μὲν δισύλλαβοι, οἱ δὲ τρισύλλαβοι, οἱ δὲ τετρασύλλαβοι, εἰκὸς καὶ τὰ μέτρα εἶναι τοιαῦτα. διαλαβόντες οὖν περὶ τῶν ἐκ δισυλλάβων καὶ τρισυλλάβων ποδῶν συγκειμένων μέτρων καὶ περὶ τῶν ἐκ τετρασυλλάβων εἴπωμεν καὶ πρῶτον περὶ τοῦ καλουμένου χοριαμβικοῦ. Δύο γάρ εἰσι μέτρα τὰ ἐκ δισυλλάβων ποδῶν, ἰαμβικὸν καὶ τροχαϊκόν, δύο δὲ τὰ ἐκ τρισυλλάβων, δακτυλικὸν καὶ ἀναπαιστικόν, τὰ λοιπὰ δὲ τὰ ἐκ τετρασυλλάβων, πέντε· χοριαμβικόν, ἀντισπαστικόν, ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπ' ἐλάσσονος καὶ παιωνικόν.*

*Ἡμεῖς μέντοι τοῖς παλαιοῖς ἑπόμενοι μετρικοῖς, Ἡρωδιανῷ καὶ Ἡφαιστίωνι καὶ τοῖς ἄλλοις, τὸ χοριαμβικὸν μέτρον τῶν ἄλλων προτάττομεν, ὅτι σύνεγγύς ἐστι καὶ τρόπον τινὰ ἐγγίζον τοῖς πρὸ μικροῦ διδαχθεῖσι μέτροις, δακτυλικῷ τε καὶ ἀναπαιστικῷ. τοῦ γὰρ χοριάμβου ποδὸς – ∪ ∪ – εἰ μὲν τὴν τελευταίαν ἀφαιρήσειέ τις συλλαβήν, δάκτυλον ἀποτελέσει, εἰ δὲ τὴν προτέραν, ἀνάπαιστον. Καὶ γὰρ χορίαμβος πούς ἐστιν ὁ ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς συλλαβῆς, οἷον ‘ἐκτελέω’. Χορίαμβος δὲ ὀνομάζεται, ὅτι ἐκ τροχαίου καὶ ἰάμβου τρόπον τινὰ σύγκειται, τροχίαμβός τις ὤν. ἐπεὶ δὲ ὁ τροχαῖος καλεῖται καὶ χορεῖος διὰ τὸ ἐν τοῖς χοροῖς παραλαμβάνεσθαι τὰ τροχαϊκὰ μέτρα παρὰ τῶν κωμικῶν τε καὶ τραγικῶν, χορίαμβος ὁ τοιοῦτος ποὺς λέγεται διὰ τοῦτο.*

*Τὸ τοίνυν χοριαμβικὸν μέτρον, εἰ μὲν σύγκειται ἐκ χοριάμ-*
